E89
.Ydi

SCHOLIA GRAECA

IN

EURIPIDIS TRAGOEDIAS

EX CODICIBUS AUCTA ET EMENDATA

EDIDIT

GULIELMUS DINDORFIUS.

TOMUS IV.

OXONII:
E TYPOGRAPHEO ACADEMICO.
MDCCCLXIII.

Digitized by the Internet Archive
in 2010 with funding from
University of Toronto

http://www.archive.org/details/scholiagraecaine04dind

ΥΠΟΘΕΣΙΣ ΜΗΔΕΙΑΣ.

I.

Δικαιάρχου.

Ἰάσων εἰς Κόρινθον ἐλθὼν ἐπαγόμενος καὶ Μήδειαν ἐγγυᾶται καὶ τὴν τοῦ Κρέοντος τοῦ Κορινθίων βασιλέως θυγατέρα, Γλαύκην, πρὸς γάμον. μέλλουσα δὲ ἡ Μήδεια φυγαδεύεσθαι ὑπὸ Κρέοντος ἐκ τῆς Κορίνθου, παραιτησαμένη πρὸς μίαν ἡμέραν μεῖναι καὶ τυχοῦσα μισθὸν τῆς χάριτος δῶρα διὰ τῶν παίδων πέμπει τῇ Γλαύκῃ ἐσθῆτα καὶ χρυσοῦν στέφανον. οἷς ἐκείνη χρησαμένη διαφθείρεται· καὶ ὁ Κρέων δὲ περιπλακεὶς τῇ θυγατρὶ ἀπόλλυται. Μήδεια δὲ, τοὺς ἑαυτῆς παῖδας ἀποκτείνασα, ἐπὶ ἅρματος δρακόντων πτερωτῶν, ὃ παρ' Ἡλίου ἔλαβεν, ἔποχος γενομένη, ἀποδιδράσκει εἰς Ἀθήνας, κἀκεῖσε Αἰγεῖ τῷ Πανδίονος γαμεῖται. Φερεκύδης δὲ καὶ Σιμωνίδης φασὶν

Argumentum Medeae primus edidit Ioannes Lascaris in editione Florentina a. 1496. apographo usus codicis Parisini B. (2713.) quod in eadem bibliotheca servatur numero notatum 2818. de quo dixit Lentingius in Praefatione ad Medeam: post Lascarin Aldus, quem codice Vaticano Palatino 287. usum esse constat. Ego recensui ad A. (Vaticanum 909.) et B. (Par. 2713.) memoratis etiam ubi operae pretium erat H. (Havniensi), Par. 2712. et Veneto Marciano 468.

4. Ἰάσων —] Huic Argumento Δικαιάρχου nomen praescriptum in libro Florentino xxxii, 2. quemadmodum Alcestidis eodem in libro praescriptum est. Dicaearchus memoratur in iis quae infra de Neophrone narrantur: quae fortasse alius sunt grammatici quam qui praecedentem scripsit argumenti expositionem.

5. Γλαύκην] Creontis filiae, quae apud Euripidem non nominatur, nomen alios aliud tradidisse observat schol. ad v. 19. qui Γλαύκην ex Anaxicrate memorat.

7. πρὸς μίαν] ὡς μίαν Ven. 468.

8. μισθὸν τῆς χάριτος] Non hujus μισθὸν τῆς χάριτος, sed alio praetextu dona rivali miitit Medea, scilicet ut ejus rogatu exsilium liberis remittatur. Vide v. 946. et sequentes. ELMSL.

10. ἀπόλλυται] ἀπώλετο A.

ib. ἑαυτῆς] αὐτῆς A.

11. ἐπὶ] ἐφ' Ald.

12. κἀκεῖσε] κἀκεῖ H.

13. φασὶν om. A.

ὡς ἡ Μήδεια ἀνεψήσασα τὸν Ἰάσονα νέον ποιήσειε. περὶ δὲ τοῦ πατρὸς αὐτοῦ Αἴσονος ὁ τοὺς Νόστους ποιήσας φησὶν οὕτως,

αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα,
γῆρας ἀποξύσασα ἰδυίῃσι πραπίδεσσι,
φάρμακα πόλλ' ἔψουσ' ἐπὶ χρυσείοισι λέβησιν.

Αἰσχύλος δὲ ἐν ταῖς Διονύσου τροφοῖς ἱστορεῖ ὅτι καὶ τὰς Διονύσου τροφοὺς μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήσασα ἐνεοποίησε. Στάφυλος δέ φησι τὸν Ἰάσονα τρόπον τινὰ ὑπὸ τῆς Μηδείας ἀναιρεθῆναι. ἐγκελεύσασθαι γὰρ αὐτὴν ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς κατσκοιμηθῆναι, μελλούσης τῆς νεὼς διαλύεσθαι ὑπὸ τοῦ χρόνου· ἐπιπεσούσης γοῦν τῆς πρύμνης τῷ Ἰάσονι τελευτῆσαι αὐτόν.—Τὸ δρᾶμα δοκεῖ ὑποβαλέσθαι παρὰ Νεόφρονος διασκευάσας, ὡς Δικαίαρχος ἐν τῷ περὶ Ἑλλάδος βίου καὶ Ἀριστοτέλης ἐν ὑπομνήμασι. μέμφονται δὲ αὐτῷ τὸ μὴ πεφυλακέναι τὴν ὑπόκρισιν τῇ Μηδείᾳ, ἀλλὰ προπεσεῖν

1. ἡ Μήδεια om. Ven. 468.

ib. ἀνεψήσασα] ἐψήσασα Par. 2712. et Ven. 468. ἀφεψήσασα hic et infra Elmsleius collato Aristoph. Eq. 1318. 1333.

ib. ποιήσειε] ἐποίησε H.

4. ἀποξύσασα Elmsleius pro ἀποξύσασ'.

ib. ἰδυίῃσι pro εἰδυίῃσι restitutum ex B. et schol. Arist. Eq. 1318.

5. χρυσείοισι indidem restitutum pro χρυσείῃσι (χρυσίῃσι A.).

6. τροφοῖς] τροφαῖς A.

7. Στάφυλος] Staphylum dicit Naucratitam, rerum Thessalicarum scriptorem, cujus fragmenta v. ap. Mueller. in Fragm. Histor. vol. 4. p. 505.

8. φησι om. A.

ib. ὑπὸ τῆς M. post Στάφυλος δὲ A.

9. ἐγκελεύσασθαι] ἐκκελεύσασθαι A. B. aliique.

ib. αὐτὴν] οὕτως addunt codices, ut videtur, omnes, quod ante αὐτὴν habere dicitur H.

ib. Ἀργοῦς] αὐτὸν addunt editiones veteres.

10. ἐπιπεσούσης] ἐμπεσούσης A.H.

11. γοῦν] γὰρ A.

ib. αὐτόν] αὐτόν. τὸ δράμα . . . . | δοκεῖ ὑποβαλέσθαι:—A. Literae post δράμα in fine lineae evanuerunt.

11.—p. 3, l. 5. Τὸ —] Haec, omissa in A.B. et editionibus veteribus, primus edidit Brunckius ex Par. 2712.

12. ὑποβαλέσθαι] Subjectum verbi est Εὐριπίδης.

ib. παρὰ Νεόφρονος] παρὰ νεώφρονος Flor. 31, 15. πε (i. e. παρὰ) νεόφρονος Ven. 468. παναιόφρονος Pal. 287. πάνυ εὐφρόνως H. quae inepta grammatici conjectura esse videtur, ut γενναιοφρόνως, quod Brunckius edidit. Ceterum eandem famam memorant Diogenes L. 2, 134. ὥστε παίουσιν οἱ λέγοντες μηδὲν αὐτὸν ἀνεγνωκέναι πλὴν τῆς Μηδείας τῆς Εὐριπίδου, ἣν ἔνιοι Νεόφρονος εἶναι τοῦ Σικυωνίου φασίν. et Suidas, Νεόφρων, ἢ Νεοφῶν, Σικυώνιος, τραγικὸς, οὗ φασιν εἶναι τὴν Εὐριπίδου Μήδειαν.

ib. ὡς—ὑπομνήμασι om. Pal. 287.

ib. ἐν τῷ περὶ Ἑλλάδος Kirchhoffius pro τοῦ τε Ἑλλάδος.

14. τὸ μὴ Brunckius pro τῷ μή.

ib. τῇ Μηδείᾳ] τὴν Μήδειαν Beck-

εἰς δάκρυα, ὅτε ἐπεβούλευσε τῷ Ἰάσονι καὶ τῇ γυναικί. ἐπαινεῖται δὲ ἡ εἰσβολὴ διὰ τὸ παθητικῶς ἄγαν ἔχειν καὶ ἡ ἐπεξεργασία "μηδ' ἐν νάπαισι" καὶ τὰ ἑξῆς. ὅπερ ἀγνοήσας Τιμαχίδας τῷ ὑστέρῳ φησὶ πρώτῳ κεχρῆσθαι, ὡς Ὅμηρος

εἵματα δ' ἀμφίεσασα θυώδεα καὶ λούσασα. 5

II.

Ἀριστοφάνους Γραμματικοῦ Ὑπόθεσις.

Μήδεια διὰ τὴν πρὸς Ἰάσονα ἔχθραν, τῷ ἐκεῖνον γεγαμηκέναι Γλαύκην τὴν Κρέοντος θυγατέρα, ἀπέκτεινε μὲν Γλαύκην καὶ Κρέοντα καὶ τοὺς ἰδίους υἱοὺς, ἐχωρίσθη δ' Ἰάσονος, Αἰγεῖ συνοικήσουσα. 10 παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιία.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Κορίνθῳ, ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν πολιτίδων. προλογίζει δὲ τροφὸς Μηδείας. ἐδιδάχθη ἐπὶ Πυθοδώρου ἄρχοντος ὀλυμπιάδος πζ' ἔτει πρώτῳ. πρῶ-

ius. Respicit grammaticus ad v. 903. et sequentes.

P. 2. l. 14. προπεσεῖν Kirchhoffius pro προσπεσεῖν. πεσεῖν Brunckius.

1. ἐπεβούλευσε τῷ Ἰάσονι] ἐπεβούλευσεν ἰάσονι H. Fl. 31, 15. Pal. 287.

2. μηδ' ἐν νάπαισι] V. 3. Comparanda scholiastae annotatio ad v. 1.

4. φησὶ πρώτῳ] πρώτῳ φησὶ Pal. 287. ut p. 5, l. 12.

ib. Ὅμηρος] Od. 5, 264.

5. δ'] Sic etiam p. 5, l. 13 : τ' apud Hom.

8. Haec ὑπόθεσις legitur etiam apud Arsenium scholiis praefixa, Ἀριστοφάνους γραμματικοῦ μηδείας ὑπόθεσις. Sic etiam B.H. et Pal. 287. et qui ἄλλως praefigunt Lasc. et Ald., sed omisso in his omnibus μηδείας.

8. διὰ τὴν πρὸς Ἰάσονα] δυσφοροῦσα τὴν ἰάσονος H.

ib. γεγαμηκέναι Γλαύκην Lasc. et Ald. Γλαύκην omittunt codices et Arsen., post θυγατέρα posuit Brunck.

9. ἀπέκτεινε μὲν Γλαύκην καὶ κρέοντα Ald. et Arsenius. ἀπέκτεινε μὲν κρέοντα (γλαύκην superscriptum ab eadem manu) B. ἀπέκτεινε μὲν κρέοντα καὶ τὴν θυγατέρα Lasc.

10. συνοικήσουσα B. et Lasc. συνοικήσασα ceteri.

11. παρ' οὐδετέρῳ] Id est neque apud Aeschylum neque apud Sophoclem. Eodem modo in Argumento Orestis et Alcestidis.

12. Ἡ μὲν — Μηδείας om. H. et Ven. 468.

13. πολιτίδων] Hic in Pal. 287. sequuntur superiora Τὸ δρᾶμα δοκεῖ— λούσασα. illa vero προλογίζει δὲ τροφὸς μηδείας habet ante Ἡ μὲν σκηνὴ etc. Verba προλογίζει.—Μηδείας om. Arsen.

14. ἐδιδάχθη — σώζεται om. B. et Lasc.

ib. Πυθοδώρου Brunckius pro Πυθιοδώρου.

ib. ὀλυμπιάδος πζ' ἔτει (πρώτῳ addi-

τος Εὐφορίων, δεύτερος Σοφοκλῆς, τρίτος Εὐριπίδης Μηδείᾳ, Φιλοκτήτῃ, Δίκτυϊ, Θερισταῖς σατύροις. οὐ σώζεται.

III.

Ἰστέον ὅτι ἡ Κόρινθος πατρῷον ἦν κτῆμα Μηδείας τῷ λόγῳ τούτῳ. Ἄλωεὺς καὶ Αἰήτης ὁ πατὴρ τῆς Μηδείας παῖδες Ἡλίου καὶ Ἀντιόπης γεγόνασι· τούτοις ὁ Ἥλιος διένειμε τὴν χώραν, καὶ ἔλαβεν ὁ μὲν Ἄλωεὺς τὴν Ἀρκαδίαν, τὴν δὲ Κόρινθον Αἰήτης. οὗτος οὖν μὴ ἀρεσθεὶς τῇ ἀρχῇ Βουνῷ μέν τινι Ἑρμοῦ παιδὶ παραδέδωκε τὴν πόλιν, εἰπὼν φυλάσσειν αὐτὴν τοῖς ἐσομένοις ἐξ αὐτοῦ, αὐτὸς δὲ εἰς Κολχίδα ἀφικόμενος τῆς Σκυθίας ἄρκησε βασιλεύων. διδάσκει δὲ τοῦτο καὶ Εὔμηλος ποιητὴς ἱστορικὸς λέγων

ἀλλ' ὅτε δ' Αἰήτης καὶ Ἄλωεὺς ἐξεγένοντο
Ἠελίου τε καὶ Ἀντιόπης, τότε δ' ἄνδιχα χώρην
δάσσατο παισὶν ἑοῖς Ὑπερίονος ἀγλαὸς υἱός

καὶ τὰ ἑξῆς. ταῦτα δὲ ἀπὸ τοῦ ἀνεπιγράφου ὑπομνήματος τοῦ εἰς Πίνδαρον ἔγραψεν.

dit Matth.) H. ὀλυμπιάδι πζ' ἔτει (cum spatiolo vacuo) Ven. 468. ὀλυμπιάδος πζ' Pal. 287. κατὰ τὴν ὀγδοηκοστὴν (εἰκοστὴν Arsen.) ἑβδόμην ὀλυμπιάδα Ald. et Arsen.

1. Μηδείᾳ — σατύροις] μήδεια φιλοκτήτηι δίκτι θερισταὶ σάτυρος Ven. 468. μήδεια φιλοκτήτης δίκτης θερισταί. σάτυρος Pal. 287. Verba Δίκτυϊ—σώζεται om. H.

ib. Μηδείᾳ—σώζεται om. Arsen.

2. οὐ σώζεται] οὐ σώζονται Bentl. in Epist. ad Millium p. 15. (p. 465. ed. Lips.) Significant haec verba Θεριστάς, drama satyricum, non lectum fuisse ab grammaticis Alexandrinis. Sic in Argumento Aristophanis Acharnensium de Cratini Χειμαζομένοις dictum est οὐ σώζεται.

4. Ἰστέον—] Haec edidi ex B. excerpta, ut in fine dicitur, ex scholiis in Pindarum, ubi etiamnum leguntur ad Olymp. 13, 74, p. 278. ed. Boeckh. διὰ τί Μηδείας ἐμνημόνευσεν; ὅτι ἡ Κόρινθος et reliqua, additis post ἀγλαὸς υἱός quinque proximis Eumeli versibus verbisque Βοῦνος δὲ Ἑρμοῦ καὶ νύμφης τινὸς παῖς. Pars hujus excerpti, ὅτι ἡ Κόρινθος—ἄρκησε βασιλεύων, et Βουνὸς δὲ Ἑρμοῦ καὶ νύμφης τινὸς υἱὸς γέγονέν legitur etiam in A. in scholio ad v. 10. p. 7, 19—26.

ib. τῷ λόγῳ τούτῳ] τούτῳ τῷ λόγῳ schol. Pind.

6. καὶ Ἀντιόπης excidit in A.

7. ἔλαβεν] ἔλαχεν schol. Pind.

ib. ὁ μὲν Ἄλωεὺς τὴν Ἀρκαδίαν] Ἄλωεὺς (ὁ Ἄλωεὺς A.) τὴν ἐν Ἀρκαδίᾳ schol. Pind. et A.

ib. τὴν δὲ K. ὁ Αἰήτης] ὁ δὲ Αἰήτης τὴν Κόρινθον schol. Pind.

ib. οὗτος οὖν (οὖν om. A.) μὴ] Αἰήτης δὲ μὴ schol. Pind. Idem Βούνῳ μέν — υἱῷ παρέδωκε (παρέδωκε recte etiam A.)—φυλάττειν—τῆς Σκυθίας (τῆς Σ. om. A.) ἀφικόμενος—τοῦτο Εὔμηλός τις π. ἱ. εἰπών.

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΗΝ ΜΗΔΕΙΑΝ.

1. Εἰθ' ὤφελ' Ἀργοῦς: Τὸ ὤφελε τινὲς ἐπιρρηματικῶς δέχονται, ὡς τὸ "ὤφελε μηδ' ἐγένοντο θοαὶ νέες," ἵν' ᾖ παράλληλον τὸ σχῆμα, τῆς γραὸς συνεχέστερον ἀπευχομένης τῇ ἀφίξει τῆς Ἀργοῦς. ὁ δὲ ποιητὴς ῥῆμα αὐτὸ οἶδεν "οὐκ ὄφελον Τρώεσσι κοτεσσάμενος." "μὴ ὄφελες λίσσεσθαι ἀμύμονα Πηλείωνα." ἐπαινεῖται δὲ ἡ εἰσβολὴ διὰ τὸ περιπαθῶς ἄγαν ἔχειν καὶ ταῖς ὑπερβολαῖς εὖ κεχρῆσθαι. Ἄλλως. ἐπαινεῖται ἡ εἰσβολὴ διὰ τὸ παθητικῶς ἄγαν ἔχειν, εὖ δὲ καὶ τὸ ταῖς ἐκβολαῖς κεχρῆσθαι. πολὺ τὸ τοιοῦτον γένος παρ' Ὁμήρῳ. ὁ δὲ Τιμαχίδας, τὸν τρόπον τῆς ποιήσεως ἀγνοήσας ποιητικὸν ὄντα, τῷ ὑστέρῳ πρώτῳ φησὶ κεχρῆσθαι, ὡς καὶ Ὅμηρος "εἵματα δ' ἀμφιέσασα θυώδεα καὶ λούσασα." πρότερον γάρ φησι φῦναι τὰ δένδρα, εἶθ' οὕτως κατασκευασθῆναι τὴν Ἀργώ. B.I. ἢ ἀπὸ Ἄργου τοῦ ναυπηγήσαντος, οἱ δὲ διότι ἐταχυδρόμει· ἀργὸν γὰρ τὸ ταχύ. ἐντεῦθεν καὶ λήθαργος ὁ τῇ λήθῃ ταχύς. καὶ πρῶτόν γε αὐτὴν ναυπηγηθῆναί φασιν, ἄλλοι δὲ τὴν ὑπὸ Δαναοῦ γεγενημένην. ἔστι δὲ ὑπέρθεσις ὁ τρόπος· τὰ γὰρ δεύτερα τῇ τάξει πρῶτα ὑπέθετο. B.I.

Ἀργοῦς σκάφος: περιφραστικῶς ἡ Ἀργὼ, οὐκ ὤφειλεν ἡ Ἀργὼ

4. ὡς τὸ] Callimachi Epigr. 5.
6. οὐκ ὄφελον] Il. 18, 367.
7. μὴ ὄφελες] Il. 9, 698.
ib. Πηλείωνα om. B.
ib. ἐπαινεῖται δὲ ἡ εἰσβολὴ — καὶ λούσασα] Eadem in Argumento p. 3, l. 1—5.
10. καὶ τὸ] τὸ delet Matthiae.
11. Τιμαχίδας] Τίμαρχος B.I. Correxit Elmsl. ex p. 3, 3. Timachidas memoratur etiam ad v. 167.
ib. τῆς ποιήσεως] Haec fortasse delenda.
12. ὡς καὶ] καὶ om. B.
ib. Ὅμηρος] Od. 5, 264.
13. φησι φῦναι B. φησιν εἶναι l.
14. ἢ ἀπὸ ἄργου — οἱ δὲ διότι B. Ἀργὼ δὲ ἀπὸ ἄργου τοῦ (τοῦ om. B.) — ἢ διότι l.

παρελθοῦσα τὰς Συμπληγάδας εἰς Σκυθίαν ἐλθεῖν. τὸ δὲ εἴθε ἐπίρρημα εὐκτικόν, "εἴθ' ὡς ἠβώοιμι." ἀεὶ δὲ προτάττεται τῆς συντάξεως, τὸ δὲ ἄφελε ῥῆμα ὡς ἀπαρέμφατον ἔπεται, "ὡς ὄφελεν θάνατός μοι ἀδεῖν κακός." τὸ δὲ διαπτάσθαι τροπικῶς, ὡς ἐπὶ ὀρνέου. ἔδει δὲ εἰπεῖν διαπλεῦσαι. B.I.

2. Κόλχων ἐς αἶαν: πόλις ἐν Σκυθίᾳ οὕτω καλουμένη ὀνοματικῶς. B.I.

κυανέας: τὰς περὶ τὸ στόμα τοῦ Πόντου λέγει, αἳ δι' ἀπάτην τῆς ὄψεως δοκοῦσιν ὧδε κἀκεῖσε φέρεσθαι. A.B.I. Ἄλλως. ταύτας ὁ Σιμωνίδης συνορμάδας φησίν. εἰσὶ δὲ πέτραι ἐπὶ τῷ στόματι τοῦ Πόντου στεναὶ τὸ διάστημα, δι' ὧν ἔξεισιν ἡ θάλασσα ἀπὸ τοῦ Πόντου εἰς τὸν Ἑλλήσποντον. Ἐρατοσθένης δ' ἐν τῷ τρίτῳ τῶν γεωγραφουμένων φησὶ περὶ αὐτῶν "καλοῦνται δὲ Συμπληγάδες οὕτως. καθ' ὃν καιρὸν ἄν τις πρὸς τὰ δεξιὰ ἐκκλίνῃ σφόδρα φαντάζεται τὰς πέτρας συναγομένας, ὅταν δὲ κατὰ μέσον, ὁρᾷ διισταμένας καὶ ἔμπαλιν εἰς τὰ ἀριστερὰ διαλλάξας ὁρᾷ συντρεχούσας. τούτου δὲ πολλάκις γενομένου Συμπληγάδας αὐτάς φησι κεκλῆσθαι διὰ τὴν συνδρομὴν καὶ διάστασιν τῆς φαντασίας. οἱ δὲ νεώτεροι τὰς παρ' Ὁμήρῳ πλαγκτὰς ὑπενόησαν εἶναι." A.

1. In A. haec tantum ad v. 1. annotata, εἴθ' ὥρελ': περιφραστικῶς ἡ ἀργύ. οὐκ ὄφελε παρελθεῖν τὰς συμπληγάδας εἷς σκυθ' (sic) ἐλθεῖν. τὸ δὲ εἴθε—ὡς ὄφελε θάνατός μοι ἄδειν (sic) κακός. τὸ δὲ διαπτᾶσθαι—ὀρνέου. ἀπὸ κοινοῦ δὲ τὸ ὄφελε μὴ ἐρετμῶσα ἡ ἀργὼ τὰς χεῖρας, ἀντὶ τοῦ καθοπλίσαι ταῖς κώπαις τὰς χεῖρας:—

2. εἴθ' ὡς] Il. 7, 157.

3. ὡς] εἰς I.

ib. ὡς ὄφελεν] Il. 3, 173.

6. καλουμένη] ἐν Κόλχοις addit B.

ib. ὀνοματικῶς] ὀνομαστικῶς B.I.

8. κυανέας] δὲ add. B.I.

ib. λέγει om. A.

9. ὧδε κἀκεῖσε A. ἐνταῦθα κἀκεῖ B.I.

9.—19. Ἄλλως—ὑπενόησαν εἶναι] τὰς δὲ συμπληγάδας ὁ—φησίν. Ἐρατοσθένης δὲ ἐγγεωγραφουμένων φησὶ τὸν πλοῦν στενὸν εἶναι καὶ σκολιόν, δι' οὗ φαντάζεσθαι τοὺς πλέοντας τὴν ἀπόκλεισιν τῶν πετρῶν B.I. Eadem verba (nisi quod cum I. ἐν γεωγραφουμένοις habet) sunt in Flor. 10. addito alio scholio, Συμπληγάδας: τὰς συνδραμόντας πέτρας. καθ' ὃν γὰρ ἄν τις καιρὸν εἰς τὰ δεξιὰ ἐγκλίνας φαντάζεται τὰς πέτρας συναγομένας, ὅταν δὲ κατὰ τὸ μέσον εὐθυπορεῖ, διιστάμενα. καὶ ἔμπαλιν κατὰ τὰ ἀριστερὰ διαλλάξας, συντρεχούσας, τὰς παρ' Ὁμήρῳ πλάκτας, αἳ εἰσὶν ἐπὶ τῷ στόματι τοῦ Πόντου στεναὶ κατὰ τὸ διάστημα, δι' ὧν ἔρεισις (εἰσρεῖ Matth.) ἡ θάλασσα ἀπὸ τοῦ Πόντου εἰς τὸν Ἑλλήσποντον.

10. συνορμάδας] συναρβώδας A.

ib. εἰσὶ] ἔστι A.

13. αὐτῶν Cobetus. αὐτοῦ A.

17. φησι] Corrige φασι, nisi verba τούτου—εἶναι scholiastae sunt.

18. καὶ addidit Cobetus.

ib. Ὁμήρῳ] Od. 12, 61. 23, 327.

ib. πλαγκτὰς] πλακτὰς A.

κυανέας: μελαίνας. παρελθοῦσα Βόσφορον. Fl. 10.

4. τμηθεῖσα πεύκη: συνεκδοχῆ, ἀπὸ μέρους τὸ πᾶν. ἀπὸ κοινοῦ δὲ τὸ ὤφελε, ὤφελε μὴ ἐρετμῶσαι ἡ Ἀργὼ τὰς τῶν ἀρίστων χεῖρας. B.I. ἢ καθοπλίσαι τὰς χεῖρας τῶν ἀρίστων ἀνδρῶν. B.

5. οἵ: οἵτινες ἐπὶ τὸ πάγχρυσον δέρας ἀνῆλθον τοῦ ἀγαγεῖν αὐτὸ τῷ Πελίᾳ. B. πάγχρυσον δέρας: τὸ δέρμα. τοῦτο οἱ μὲν ὁλόχρυσον εἶναί φασιν, οἱ δὲ πορφυροῦν. καὶ Σιμωνίδης δὲ ἐν τῷ εἰς τὸν Ποσειδῶνα ὕμνῳ ἀπὸ τῶν ἐν τῇ θαλάττῃ πορφυρῶν κεχρῶσθαι αὐτὸ λέγει. B.I.

6. μετῆλθον: ἐκόμισαν. Fl. 10.

7. πύργους: εἰς. B.

8. θυμόν: τὴν ψυχήν. B. ἐκπλαγεῖσ': κατασχεθεῖσα. B.

9. οὐδ' ἂν κτανεῖν πείσασα: νέον τὸν Πελίαν ποιῆσαι ἐκ γέροντος, εἰ σφάξουσιν αὐτόν. καὶ τοῦτο ἔπεισε γοητείᾳ κριὸν αἰτήσασα, ὃν πάλιν ἀνεζώωσεν. Fl. 10. Πελιάδας κόρας: τὰς Πελίου θυγατέρας ἔπεισεν ἡ Μήδεια τὸν πατέρα σφάξαι καὶ ἑψῆσαι ὡς ἐσόμενον νεώτερον, ἑψήσασα πρότερον κριὸν καὶ ποιήσασα ἄρνα διὰ φαρμάκων. A.B.I.

10. Κορινθίαν: ὅτι ἡ Κόρινθος πατρῷον ἦν αὐτῆς κτῆμα τούτῳ τῷ λόγῳ. Ἀλωεὺς καὶ Αἰήτης ὁ τῆς Μηδείας πατὴρ παῖδες Ἡλίου γεγόνασι. τούτοις ὁ Ἥλιος διένειμε τὴν χώραν, καὶ ἔλαβεν ὁ Ἀλωεὺς τὴν ἐν Ἀρκαδίᾳ, τὴν δὲ Κόρινθον ὁ Αἰήτης. οὗτος μὴ ἀρεσθεὶς τῇ ἀρχῇ Βουνῷ τινι Ἑρμοῦ παιδὶ παρέδωκε τὴν πόλιν, εἰπὼν φυλάσσειν αὐτὴν τοῖς ἐσομένοις ἐξ αὐτοῦ, αὐτὸς δὲ εἰς Κολχίδα ἀφικόμενος τῆς Σκυθίας ὤκησε βασιλεύων. Βουνὸς δὲ Ἑρμοῦ καὶ νύμφης υἱὸς γέγονεν. A. πολυαΐκός τις λόγος φέρεται τῶν φιλοσόφων, ὃν καὶ Παρμενίσκος ἐκτίθησιν, ὡς ἄρα πέντε τάλαντα λαβὼν παρὰ Κορινθίων Εὐριπίδης μεταγάγοι τὴν σφαγὴν τῶν παίδων ἐπὶ τὴν Μήδειαν.

3. ὤφελε alterum addidi.
7. δὲ om. B.
8. τὸν om. B.
ib. θαλάττῃ B. θαλάσσῃ I.
15. Πελιάδας — φαρμάκων] Hoc scholion post proximum in A.B.
ib. Πελίου θυγατέρας] πελιάδας κόρας A.
20. 21. Ἀλωεὺς] ἀλωεὺς A.
22. ἐν Ἀρκαδίᾳ] Ἀρκαδίαν p. 4, 7.
23. Βουνῷ—Βουνὸς] Sic etiam p. 4, 8. Rectus accentus est Βούνῳ et Βοῦνος, ut ap. Pausan. 2, 3, 10. 2, 4, 7.
25. νύμφης] Ἀλκιδαμείας, ut novimus ex Pausan. 2, 3, 10.
26. φέρεται I. ἐκφέρεται B.
27. Παρμενίσκος] Vid. Heyn. ad Apollod. 1, 9, 28. et cf. infra ad 273. De Parmenisco vid. Voss. de histor. Gr. p. 313. MATTH.

ἀποσφαγῆναι γὰρ τοὺς παῖδας Μηδείας ὑπὸ Κορινθίων, παροξυνθέντων ἐπὶ τῷ βασιλεύειν αὐτὴν θέλειν, διὰ τὸ τὴν Κόρινθον πατρῴαν αὐτῶν λῆξιν εἶναι· ὃν μετήγαγεν ἐπὶ Μήδειαν. περὶ δὲ τῆς εἰς Κόρινθον μετοικήσεως Ἵππυς ἐκτίθεται καὶ Ἑλλάνικος. ὅτι δὲ βεβασίλευκε τῆς Κορίνθου ἡ Μήδεια Εὔμηλος ἱστορεῖ καὶ Σιμωνίδης. ὅτι δὲ καὶ ἀθάνατος ἦν ἡ Μήδεια Μουσαῖος ἐν τῷ περὶ Ἰσθμίων ἱστορεῖ, ἅμα καὶ περὶ τῶν τῆς Ἀκραίας Ἥρας ἑορτῶν ἐκτιθείς. B.I.

11. ἀνδάνουσα μέν: ἀντὶ τοῦ ἀνδανούσῃ. τὸ δὲ πολιτῶν ἀντὶ δοτικῆς τοῖς πολίταις. ἤρεσκε δὲ τοῖς Κορινθίοις, ἐπεὶ λιμώττοντας αὐτοὺς ἐπῳδαῖς τισιν ἰάσατο, καὶ αὐτὴ δὲ ἠρέσκετο τῇ Κορίνθῳ, ἐπεὶ λέγονται καὶ οἱ Κορίνθιοι φαρμακοὶ εἶναι. τὰ δὲ ὅμοια τοῖς ὁμοίοις φίλα εἶναι καὶ χαίρειν ἀλλήλοις ἴσμεν. A.B.I. συμφέρουσα δὲ ἀντὶ τοῦ συμπράττουσα, ἀπὸ τοῦ συμφέρεσθαι. A.

12. φυγῇ: τῇ ἀπὸ τῆς Θετταλίας φυγῇ. ἀρεσκομένη τῷ πρὸς τοὺς Κορινθίους πεφευγέναι. πολιτῶν γὰρ λέγει τῶν Κορινθίων. B.

πολιτῶν: τοῖς πολίταις. B. χθόνα: εἰς. B.

13. συμφέρουσ᾽: συμπράττουσα. B.

14. ἥπερ: ἡ ὁμόνοια. B. ἦθος ῥητορικόν. B. ὄντως. Fl. 10.

15. μὴ διχοστατῇ: μὴ διχογνωμῇ. ὅταν γυνὴ εὔνοιαν φυλάττῃ τῷ ἀνδρί. B.

16. τὰ φίλτατα: τὰ εἰς φιλίαν ἄγοντα. τὰ προσφιλῆ δὲ δυστυχεῖ. οὐχ ὑγιαίνει τὰ ἀναγκαῖα καὶ ἡ προτέρα διάθεσις. A. τὰ εἰς φιλίαν ἄγοντα, ἢ τὰ πρὸ τούτου προσφιλῆ. B.

19. αἰσυμνᾷ χθονός: αἰσυμνᾷ ἡγεῖται καὶ ἄρχει. ἰδίως δέ φησιν Ἀριστοτέλης ὑπὸ Κυμαίων αἰσυμνήτην τὸν ἄρχοντα λέγεσθαι. "αἰσυμνῆται δὲ κριτοὶ ἐννέα πάντες ἀνέσταν." τοὺς ἄρχοντας τῶν

3. λῆξιν B. κτῆσιν I.

4. Ἵππυς Vossius l. c. pro Ἱππεύς.

8. ἀνδάνουσα — πολίταις A. τὸ δὲ ἀνδάνουσα ὀρθῇ ἀντὶ δοτικῆς ἀντὶ τοῦ ἀνδανούσῃ B.I.

9. ἐπεὶ A. ἐπειδὴ B.I.

10. καὶ αὐτὴ—ἴσμεν om. A.

24. αἰσυμνᾷ ἡγεῖται καὶ ἄρχει A. αἰσυμνᾶν ἐστὶ τὸ ἡγεῖσθαι καὶ ἄρχειν B.I. Prima scholii verba αἰσυμνᾷ—ἄρχοντα λέγεσθαι infra repetita in A. Loco altero additum ὅμηρος. αἰσυμνηταὶ δὲ κριταὶ θεὶς τοὺς ἄρχοντας τῶν ἀγώνων ὅτι οἱ μὲν ἱππό᾽:—

25. ὑπὸ Κυμαίων] Sic Etym. M. p. 39, 15. qui verba ἰδίως—λέγεσθαι habet. Suid. in v. τύραννος, ὁ δὲ Ἀριστοτέλης ἐν Κυμαίων πολιτείᾳ τοὺς τυράννους φησὶ τὸ πρότερον αἰσυμνήτας καλεῖσθαι. MATTH. ὑποκειμένων A. ὑπὸ κυμέων I.

ib. αἰσυμνῆται] Hom. Od. 8, 258.

26. κριτοὶ B. κριταὶ I.

ib. ἐννέα] θ B.I.

ἀγώνων. A.B.I. φασὶ δὲ οἱ μὲν Ἱππότου, οἱ δὲ Κρέοντος παῖδα γαμῆσαι τὸν Ἰάσονα. περὶ δὲ τῆς Κρέοντος θυγατρὸς οὐχ ὁμοφωνοῦσι τῷ Εὐριπίδῃ οἱ συγγραφεῖς. Κλειτόδημος μὲν γὰρ Κρεουσάν φησι καλεῖσθαι, γήμασθαι δὲ Ξούθῳ, Ἀναξικράτης δὲ Γλαύκην. B.I.

20. Μήδεια δ' ἡ δύστηνος: Μήδειαν ὑπὸ Ἀκάστου ἐκπεσοῦσαν σὺν Ἰάσονι Ἱππότης ὑπεδέξατο Κρέοντος τοῦ Λυκαίθου. ὁ Λύκαιθος δὲ, ἐπεὶ Βελλεροφόντης ᾤχετο, ἦρξεν ἔτη κζ', ἔπειτα Κρέων λέ, εἶτα Ἱππότης. ἐπεὶ δὲ Ἰάσων ἔγημε τὴν Ἱππότου θυγατέρα, τότε δὴ κτείνασα τοὺς παῖδας ἑαυτῆς ἀπαλλάσσεται πρὸς Αἰγέα. ὅτι δὲ καὶ ἐβασίλευσε Κορίνθου ἱστοροῦσιν Εὔμηλος καὶ Σιμωνίδης λέγων οὕτω "οὐδὲ κατ' εἰς Κόρινθον, οὐ Μαγνησίαν ναῖεν. ἀλέχου δὲ Κολχίδος συνάστεος Θράνου Λεχαίου τ' ἄνασσε." B.I.

21. βοᾷ: μαρτυρεῖ. Fl. 10.

25. συντήκουσα: γρ. καὶ συντείνουσα. B. δακρύοις χρόνον: ἀνενδότως κλαίουσα, ἀντὶ τοῦ συντηκομένη τὸν πάντα χρόνον, οἷον συνεχῶς κλαίουσα καὶ ἄνεσιν οὐ λαμβάνουσα. A.B.I.

27. ὄμμ' ἐπαίρουσ': ἀντὶ τοῦ σύννους καὶ σκυθρωπὴ οὖσα οὐκ ἀκούει. A.B.

29. κλύδων: ἡ πολλὴ τοῦ ὕδατος χύσις. B. ἀκούει: ἀντὶ τοῦ οὐκ ἀκούει, ὡς οὐδὲ ταῦτα. τὸ δὲ δέρην, ἐὰν μὲν μετὰ τοῦ ι, ὀξυτόνως δειρήν, εἰ δὲ χωρὶς τοῦ ι, βαρύτονως δέρην. B.I.

33. ὅς σφε: τὸ χ ὅτι κακῶς τῷ σφε ἐχρήσατο· ἔδει γὰρ εἰπεῖν αὐτήν. B. ἀτιμάσας ἔχει: Ἀττικῶς, ἀντὶ τοῦ ἠτίμασε. τὸ γὰρ ἔχει ἐκ περισσοῦ. καὶ Σοφοκλῆς "παῖδας γάρ, οὓς ἔφυσ', ἀναλώσας ἔχει." καὶ πάλιν "εὐφημίαν μὲν πρῶτα κηρύξας ἔχω." B.I.

P. 8. l. 26. πάντες ἀνέσταν ex Homero additum.
ib. τοὺς] ὅπου ὁ ποιητὴς δηλοῖ τοὺς Barnesius.
1. φασὶ] ὅτι B. qui φασὶ post οἱ δὲ Κρέοντος habet.
ib. οἱ B. τινὲς I.
2. Ἰάσονα] προείπομεν addit B.
ib. δὲ] γὰρ B.
9. ἑαυτῆς B. αὐτῆς I.
11. κατ'—οὐ] κάτ'—οὐδὲ B., sed lineola per δὲ ducta.
15. κλαίουσα A. δακρύει B.I.
ib. τὸν π.] δὲ π. A.
16. κλαίουσα — λαμβάνουσα A. κλαίουσα ἄνεσιν οὐ λαμβάνει B.I.
17. ἀντὶ τοῦ om. A.
ib. οὖσα οὐκ ἀκούει om. B.
19. ἀντὶ τοῦ—ταῦτα om. I.
20. δὲ om. I. μὲν om. B.
21. βαρυτόνως om. I.
23. ἠτίμασε] ἠτίμησε I.
ib. τὸ γὰρ—περισσοῦ om. I.
24. καὶ] ὡς A. om. B.
ib. Σοφοκλῆς] Fragm. 764. Conf. ad schol. Orest. 451.
25. εὐφημίαν] εὐφήμιον A. qui totum scholion a m. recentiore habet.

35. οἷον: οἷον ἀγαθὸν τὸ μὴ λείπεσθαι τῆς πατρίδος. καὶ Ὅμηρος "ὡς οὐδὲν γλύκιον ἧς πατρίδος." A.B.I.

38. βαρεῖα: βαρυμένη καὶ λυπουμένη. B. βαρυνομένη λύπῃ. Fl. 10.

39. ἐγᾷδα: ἐγὼ οἶδα οἷα ἐστὶ τὸν νοῦν, εὐλαβοῦμαί τε αὐτήν. B.

40. φάσγανον δι' ἤπατος: ἐπὶ τῶν παίδων ἀκουστέον. καὶ γάρ φησι "στυγεῖ δὲ παῖδας, οὐδ' ὁρῶσ' εὐφραίνεται." δύναται δὲ καὶ ἐπὶ αὐτῆς ἀκούεσθαι. ὁ δὲ Εὐριπίδης τὰ μέλλοντα ἀναφωνεῖ. ὁμοία δὲ ἡ ἀμφιβολία καὶ παρ' Ὁμήρῳ "δείδιε γὰρ μὴ λαιμὸν ἀποτμήξειε σιδήρῳ." καὶ τὸ διὰ τοῦ ἤπατος δὲ τῶν παίδων λέγει· εἶπε γὰρ "στυγεῖ δὲ παῖδας." ἔθος γάρ ἐστιν αὐτῷ, ὡς εἴρηται, προλέγειν τὰ μέλλοντα. A.B.I.

41. σιγῇ δόμους ἐσβᾶσ': εἰς τοὺς ἑαυτῆς δόμους εἰσβᾶσα. B.

42. τύραννον: τὸν Κρέοντά φησι. τὸ δὲ ἑξῆς, ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ· δεινὴ γάρ. B.I.

συμφορὰν δὲ λάβῃ, οἱονεὶ μείζονι κακῷ περιπέσῃ πρὸς τῷ ἤδη μεμισῆσθαι ὑπὸ Ἰάσονος. B.I.

45. ἔχθραν: φιλονεικίαν. B. καλλίνικον: τὸν στέφανον. B. rec. Fl. 10.

46. ἐκ τρόχων: βαρυτόνως, ὡς νόμων. Ἀριστοφάνης "βαδίζει μοι τὸ μειράκιον ἐξ ἀποτρόχων." ὡς ἀπὸ γυμνασίας οὖν ἐλθόντας τοὺς παῖδας. B.I. τῶν γυμνασίων, τῶν δρόμων. βαρυτόνως. B.

48. νέα γὰρ φροντίς: ἡ γὰρ τῶν νέων διάνοια πονεῖν ἢ λυπεῖσθαι οὐ φιλεῖ. οἱ γὰρ νέοι ἔξω πάσης φροντίδος καὶ κακίας εἰσί. A.B.I.

1. οἷον: —Ὅμηρος A. οἷον: λείπει τὸ ἀγαθὸν, οἷον ἀγαθόν. ὅμηρος B. et, omissis verbis οἷον ἀγαθόν, I.

ib. Ὅμηρος] Od. 9, 34.

2. ὡς et ἧς πατρίδος om. I.

ib. ἧς] ἢ A.

6. φάσγανον δι' ἤπατος] μή τι βουλεύσῃ κακόν A.

ib. τῶν παίδων] τοὺς παῖδας A.

7. στυγεῖ — δείδιε] στυγεῖ δὲ παῖδας:—οὐ τοῦ αὐτῆς ἤπατος, ἀλλὰ τῶν παίδων. προεῖπε γὰρ στυγεῖ δὲ παῖδας. ἔθος δὲ αὐτὰ (corrige αὐτῷ) τὰ μέλλοντα λέγειν (εὐριπίδης. ὅμηρος δὲ ἡ ἀμφιβολία superscr. ab alia m.) καὶ παρ' ὁμήρῳ δέδιε A.

9. Ὁμήρῳ] Il. 18, 34.

10. εἶπε—παῖδας addidi ex B.

14. τύραννον] τυράννοις I.

16. συμφορὰν—] μείζω συμφοράν: αὐτὴν (corrige αὐτὴ vel ἀντὶ τοῦ) ἑαυτὴν φονεῦσαι. ἀλλὰ τῆς νῦν ἀντὶ παρούσης (corrige λείπει τῆς νῦν, ἀντὶ τοῦ τῆς παρούσης) δυστυχίας καὶ τοὺς παῖδας φονεύσει καὶ τὸν τύραννον. νῦν γὰρ κἂν ἀδίκως μισῆται (sic) ὑπὸ ἰάσονος:— A.

20. Ἀριστοφάνης] Fragm. 54. ἐβάδιζέ μοι τὸ μειράκιον ἐξ ἀποτρόχων conjecit Elmsl. ad Med. p. 85.

49. παλαιὸν οἶκων: ἀντὶ τοῦ παλαιὰ θεράπαινα. B.I.

51. θρεομένη δὲ ἤγουν συννοουμένη, ὁμιλοῦσα. εἴρηται δὲ ἀπὸ τοῦ θροῦ. Ὅμηρος "οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, οὐδ' ἴα γῆρυς." ἢ διαλεγομένη, παρὰ τὸν θροῦν. B.I. ταρασσομένη. Fl. 10.

52. πῶς σοῦ μόνη: διὰ τί μόνη σου ἡ Μήδεια ἀπολείπεσθαι θέλει. B.

54. χρηστοῖσι δούλοις: τοῖς χρηστοῖς δούλοις τὰ τῶν δεσποτῶν κακῶς πίπτοντα συμφορὰν φέρει καὶ ὀδύνας, κακῶς ἐπιπίπτοντα, εἰς κακὸν ἀποβαίνοντα τὰ τῶν δεσποτῶν. B.I.

55. κακῶς —: ὁ στίχος καὶ ἐν Βάκχαις κεῖται. B.

56. ἐς τοῦτ': εἰς τοσοῦτον. Fl. 10.

57. ὥσθ' ἵμερός μ' ὑπῆλθε: τὸ σχῆμα σολοικοφανὲς, διὰ τὴν ἐναλλαγὴν τῆς πτώσεως· μολούσῃ γὰρ ἀντὶ τοῦ μολοῦσα. οὕτω, φησὶ, πέπληγα τὴν ψυχὴν ὑπὸ τῶν κακῶν τῶν κατὰ τὴν Μήδειαν, ὡς ἀφιέναι εἰκῇ λόγους εἴς τε τὴν γῆν καὶ τὸν ἀέρα, ἀποδυρομένη τὰς ἐκείνης τύχας. οὐρανὸν γὰρ λέγει νῦν τὸν ἀέρα. οἱ δὲ στενοχωρούμενοι ὑπὸ τῶν κακῶν τῷ οὐρανῷ, ἢ τῷ ἡλίῳ, ἤ τινι ἄλλῳ θεῷ ὑφηγοῦνται τὰ καθ' ἑαυτοὺς πράγματα. Ἄλλως. καλῶς ὁ Εὐριπίδης μεμίμηται τοὺς ἐν μεγάλαις δυστυχίαις ἐξεταζομένους καὶ μηδενὶ τῶν ἀνθρώπων ἐθέλοντας εἰπεῖν τὰ δυστυχήματα, ἢ διὰ φόβον δεσποτῶν, ἢ διά τινα χρείαν συμφέρουσαν τοῖς πράγμασιν. οὗτοι γὰρ σιωπᾶν τὰς συμφορὰς μὴ δυνάμενοι καὶ λέγειν ἀνθρώποις φοβούμενοι οὐρανῷ, ἢ ἡλίῳ, ἢ γῇ, ἢ θεοῖς ἄλλοις διηγοῦνται. A.B.I.

2. δὲ ἤγουν om. I.
3. θροῦ B. θρόου I.
ib. Ὅμηρος] Il. 4, 437.
ib. ὁμὸς] ὁμῶς B.
5. ἡ μήδεια ἀπολείπεσθαι θέλει A. καταλείπεσθαι θέλει ἡ μήδεια B.
7. χρηστοῖσι—τῶν δεσποτῶν] ὀπαδὲ πρέσβυ: ὦ πρέσβυ ὀπαδὲ τῶν ἰάσονος τέκνων τοῖς χρηστοῖς δούλοις συμφορὰς φέρει καὶ ὀδύνας τὰ τῶν δεσποτῶν κακῶς πίπτοντα ἢ συμβαίνοντα :— A.
13. μολούσῃ — μολοῦσα addidi ex A.
ib. οὕτω A. οὕτω δὲ B.I.
14. τὴν M.] τὴν om. B.I.
15. εἰκῇ om. B.I.
ib. τὴν γῆν] τὴν om. I.
17. ὑπὸ τῶν κακῶν A. ὑπὸ κακῶν B. τῷ κακῷ I.
ib. ἤ τινι—ὑφηγοῦνται] ἢ ἄλλῳ τῶν θεῶν ὑφηγεῖται A.
18. καθ' ἑαυτοὺς om. A.
ib. πράγματα] πράγματα :—, omisso Ἄλλως, B. Lemma ὥσθ' ἵμερός με repetit A.
ib. καλῶς ὁ Εὐριπίδης addidi ex A.
19. μεμίμηται] ὑφηγεῖται ἢ προσμέμνηται A.
ib. καὶ μηδενὶ—τοῖς πράγμασιν addita ex A.B. Fl. 6. 15.
20. ἐθέλοντας εἰπεῖν A. θαρροῦντας ἀπαγγεῖλαι ceteri.
23. ἢ γῇ et ἄλλοις om. A.

60. ζηλῶ σε: ἠθικῶς, ὡς εἰ εἶπε, μακάριος εἶ τοιαύτην διάνοιαν ἔχων. Ἄλλως. θαυμάζω σε πῶς οὐκ ἔγνωκας· αὖθις γὰρ ἀρχὴν εἴληφε τὸ κακόν, καὶ οὐδὲ εἰς μεσότητα προῆλθε, τοσοῦτον ἀπέχει τοῦ πεπαῦσθαι τὸ κακόν. ἐν ἤθει δὲ εἴρηται, οἷον μακάριος εἶ τοιαύτην ἔχων διάνοιαν. τὸ γὰρ κακὸν οὐ μόνον οὐ λήγει, ἀλλ' οὐδὲ μεσάζει, οἷον ἀκμάζει. τὸ δὲ μεσοῖ τρίτης συζυγίας. B.I.

63. ὦ γεραιέ: ἀντὶ τοῦ ὦ γεραιά, ὡς "κλυτὸς Ἀμφιτρίτη." B.

67. ἤκουσά του: ἤκουσα, φησὶ, τινὸς λέγοντος τῶν ὠτακουστῶν προσποιούμενος μὴ ἀκούειν. A.B.I.

68. πεσσοὺς προσελθών: ἐπεὶ ἀπὸ τῶν ἐν τοῖς τόποις ὠνόμαζον τοὺς τόπους. πεσσοὺς γὰρ νῦν τοὺς τόπους τῶν κυβευτῶν, ὡς ὄψον καὶ μύρα ἔνθα ταῦτα συνήθως ἐστίν. ὅπου, φησὶν, εἰθισμένοι εἰσὶ πεσσεύειν, προελθὼν ἤκουσα, ἀντὶ τοῦ προελθοῦσα, καὶ τὸ οὐ δοκῶν ἀντὶ τοῦ οὐ δοκοῦσα. B.I.

69. Πειρήνης ὕδωρ: Πειρήνη κρήνη ἐν Κορίνθῳ, ἣν Ἀσωπὸς εὗρεν, Ὠκεανοῦ παῖς, χαριζόμενος Σισύφῳ τῷ Κορινθίῳ σπανίζοντι ὕδατος, ὅτι αὐτῷ Αἰγίνης τῆς θυγατρὸς τὴν ὑπὸ Διὸς ἐμήνυσεν ἁρπαγήν. A. B.I. θάσσουσι: καθέζονται. Fl. 10.

75. διαφοράν: διένεξιν. B.

76. λείπεται: ἡττᾶται, ἐλαττοῦται. B.

77. κοὐκ ἔστιν ἐκεῖνος: Ὅμηρος ἐπὶ τῆς γυναικὸς ἔλαβεν, "κείνου βούλεται οἶκον ὀφέλλειν, ὅς κεν ὀπυίῃ." ἔξωθεν δὲ τὸ ἔτι, καὶ οὐκ ἔστιν ἐκεῖνος ἔτι φίλος τοῖσδε δώμασι. B.I.

78. 79. παλαιὸν κακὸν τὸ διὰ τὸν Πελίου θάνατον ἐκβεβλῆσθαι τῆς Θετταλίας ὑπὸ Ἀκάστου τοῦ παιδὸς Πελίου, ἢ τὸ καταλειφθῆναι αὐτὴν ὑπὸ Ἰάσονος, ὃ καὶ μᾶλλον· νέον δὲ τὸ ἐκβληθῆναι αὐτὴν

2. αὖθις B. ἄρτι I.
8. τῶν ὠτακουστῶν om. A.
9. προσποιούμενος Barnes. et ut videtur A. προσποιουμένη B. (quocum conf. lin. 13.) προσποιουμένῳ I.
10. π. προσελθών] π. δὲ B.
16. παῖς om. A.
ib. τῷ Κορινθίῳ Barnes. τῷ κορίνθῳ A. τῶν κορινθίων B.I.
17. αὐτῷ—θυγατρός om. A.
21. Ὅμηρος] Od. 15, 21.
22. οἶκον ὀφέλλειν] ὀφέλλειν οἶκον B.
ib. ὀπυίῃ] ὀπυίοι B. ὀπύγη I.
ib. τὸ ἔτι B. τὸ ἔστι I.
23. οὐκ ἔστιν — δώμασι B. οὐκ ἔστιν ἐκεῖνος τοῖσδε φίλος δώμασι I.
24. παλαιὸν κακὸν τὸ A.B. παλαιὰ καινῶν τὸ I.
25. τῆς Θ.] τῆς om. B.I.
ib. τοῦ παιδὸς πελίου om. A.
ib. καταλειφθῆναι] καταληφθῆναι B.
26. ἐκβληθῆναι] ἐκβληθήσεσθαι A.
ib. αὐτὴν om. B.I.

τῆς Κορίνθου. A.B.I. τὸ δὲ ἐξηντληκέναι ἀντὶ τοῦ πεπαῦσθαι· ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς πλοίοις ἀντλούντων. B.I.

84. ἀτὰρ κακὸς ὤν: ἀρκεῖ αὐτῷ τοῦτο πρὸς τιμωρίαν. ἁλίσκεται δὲ φωρᾶται, ἐλέγχεται. A.

85. τίς δ' οὐχὶ θνητῶν: οὕτως ἀναγνωστέον "τίς δ' οὐχὶ θνητῶν," καὶ στικτέον. εἶτα ἀπὸ ἄλλης ἀρχῆς "ἄρτι γινώσκεις τόδε." καὶ μετὰ τοῦ σ γραπτέον, οἷον τίς οὐκ ἔστι κακὸς εἰς φίλους, εἶτα τὸ "ἄρτι γινώσκεις τόδε," οἷον ἄρτι ἔγνωκας ὅτι ἑαυτοὺς μᾶλλον φιλοῦσιν ἢ τοὺς πέλας. οἱ δὲ ὑποκριταὶ τοῦτο ἀγνοήσαντες τὸ τῆς ἀντιδιαστολῆς μετατιθέασιν εἰς τὸ "τίς δ' οὐχὶ θνητῶν τοῦτο γινώσκει σαφῶς." τῇ δὲ διανοίᾳ ταύτῃ καὶ ἐν Κρεσφόντῃ κέχρηται οὕτως

ἐκεῖνο γὰρ πέπονθ' ὅπερ πάντες βροτοί·
φιλῶν μάλιστ' ἐμαυτὸν οὐκ αἰσχύνομαι.

A.B.I.

87. οἱ μὲν δικαίως: περισσὸς ὁ στίχος πρόσκειται, ὁ τὴν ἐπεξεργασίαν περιέχων, καὶ ὅτι προκειμένου ἑνικοῦ τοῦ τίς ἐπήνεγκε τὸ οἱ μέν. καὶ ὁ πρότερος δὲ σεσημείωται ὅτι παροιμιώδης. ὁ δὲ νοῦς, πᾶς ἑαυτὸν τοῦ πέλας μᾶλλον φιλεῖ. A.B.I.

κέρδους χάριν: αἰσχροκερδίᾳ. B.

88. εἰ τούσδε: ἐπειδή. B. ἐπεί. Fl. 10.

89. ἴτ', εὖ γὰρ ἔσται: τὸ ἐξῆς, ἴτε δωμάτων εἴσω, τέκνα. τὸ δὲ "εὖ γὰρ ἔσται" εὐχομένη λέγει, τουτέστιν ἐπὶ καλῷ δὲ ἀποβαίη εἰσελθεῖν ὑμᾶς. B.I.

90. ἐρημώσας ἔχε: μονώσας. B. χωρίσας τῆς μητρὸς αὐτοὺς ἀπόκρυψον. B.I.

92. ταυρουμένην: ἀγριουμένην, καὶ διὰ τοῦ βλέμματος τὸ ὀργί-

5. οὕτως—οὐκ αἰσχύνομαι] In A. sic, τίς δ' οὐχὶ θνητῶν: τίς τῶν ἀνθρώπων, φησὶ, οὐχὶ μᾶλλον ἑαυτὸν βούλεται εὐπραγεῖν τῶν φίλων; οὐ μόνος οὖν ὁ ἰάσων τοῦτο πεποίηκε. τίς φησὶ τῶν ἀνθρώπων οὐκ ἔστι κακὸς περὶ φίλους. εἶτα τὸ ἄρτι γιγνώσκεις ἄρτι ἔγνωκας. ἄλλως. ἢ τὸ . . . (εἶναι?) κακὸς περὶ φίλους πρὸς τὸ ἑαυτοῦ συμφέρον. καὶ ἐν κρεωφόντι (sic) φιλῶν μάλισθ' ἑαυτὸν οὐκ αἰσχύνομαι. οὕτω δὲ ἀναγνωστέον τίς δ' οὐχὶ θνητῶν καὶ στικτέον, εἶτα ἀπ' ἄλλης ἀρχῆς, ἄρτι γινώσκεις τόδε.

13. πάντες B. ἅπαντες I.

16. περισσὸς om. A.

ib. πρόσκειται] πρόκειται A.

ib. ὁ τὴν om. A.

18. ὁ δὲ—φιλεῖ om. B.I.

24. ὑμᾶς Matth. pro ἡμᾶς.

25. μονώσας. χωρίσας] μονάσασα. χωρίσασα B.

λον ἐπιδεικνῦσαν, οἷον ὡς ταῦρος θυμικὸν καὶ φοβερὸν ὁρῶσαν, ἄστοργον, καὶ οὐχὶ μητρικόν. B.I.

93. δρασείουσαν: ἀντὶ τοῦ δράσουσαν. ἔστι δὲ Ἀττικόν. καὶ Σοφοκλῆς ἐν Αἴαντι μαστιγοφόρῳ "ὦ δέσποτ' Αἴας, τί ποτε δρασείειν δοκεῖς." B.I.

94. κατασκῆψαι δὲ ἀντὶ τοῦ βλάψαι, ἀπὸ τοῦ κεραυνοῦ τοῦ σκηπτοῦ, οἷον κεραυνῶσαι. B.I.

96. τάδε λέγει ἡ Μήδεια εἴσω οὖσα οὐδέπω ἐκκεκλημένη. B.

97. ἰώ μοί μοι: ἀσύμφωνα ταῦτ' ἐστὶ τοῖς ὑπὸ τῆς πρεσβύτιδος εἰρημένοις ὅτι ἄφωνος κάθηται. καὶ ἐν αὐτῷ δὲ τῷ προλόγῳ "Μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη βοᾷ μὲν ὅρκους" καὶ τὰ ἑξῆς. εἶτα μετ' ὀλίγα "κεῖται δ' ἄσιτος, σῶμ' ὑφεῖσ' ἀλγηδόνι, οὔτ' ὄμμ' ἐπαίρουσ' οὔτ' ἀπαλλάσσουσα γῆς πρόσωπον." ταῦτα δὲ λέγει ἔνδοθεν, καὶ οὐκ ἐν φανερῷ. ἡ δὲ φωνὴ μόνη ἐξάκουστος γίνεται. A.B.I.

πῶς ἂν ὀλοίμαν: ἀντὶ τοῦ ποίῳ τρόπῳ ἐμαυτὴν ἀνέλω; B.

98. τοῦτο ἐκεῖνό ἐστιν ὃ ἔλεγον. B.

105. ἴτε: πρὸς τοὺς παῖδας. B.

106. δῆλον δ' ἐξ ἀρχῆς: δῆλον γάρ ἐστιν ἀπὸ τῆς ἀρχῆς τῆς οἰμωγῆς ὅτι ἀνάψει. ἢ οὕτως· τοῦτο γὰρ τὸ ἐξ ἀρχῆς ἐξαιρόμενον νέφος τῆς οἰμωγῆς, δηλονότι τὸ δίκην ἐγκατασκῆψαί τινι, καὶ μέγα τι κακὸν κατεργάσασθαι. ἐὰν δὲ γράφηται ἀνάξει, οἷον ἐπιπολὺ ἀνάξει τὰ τῆς ὀργῆς, οἷον ἄνω ἄξει, εἰς ὕψος ἀνατείνει, ὅ ἐστιν αὐξήσει τὸν θυμόν. ἐξ οὗ πάλιν δῆλον ὡς αὐξανομένη ἐπιπολὺ ἡ ὀργὴ πάντως δεινόν τι ἐργάσεται. B.I.

1. ταῦρος] ταῦρον B.
4. μαστιγοφόρῳ add. B. Est v. 385.
ib. δρασείειν δοκεῖς B. δρασείεις φρενί I.
10. εἰρημένοις] λεγομένοις A.
ib. κάθηται] λέγεται καθῆσθαι B.I.
ib. καὶ ἐν αὐτῷ δὲ τῷ] ἐὰν αὐτῷ τῷ A.
ib. προλόγῳ A. προλόγῳ τὸ μαχόμενόν ἐστι B.I.
ib. Μήδεια —] V. 20.
11. ἠτιμασμένη] ἠτιμωμένη A.
ib. εἶτα μετ' ὀλίγα om. B. I.
12. ὑφεῖσ' B. ἀφεῖσ' A.I.
ib. οὔτ' ὄμμ'—πρόσωπον add. B.
13. ταῦτα δὲ B. ταῦτα I. καὶ ἑξῆς ταῦτα A.
18. δῆλον—] In A. δῆλον δ' ἀρχῆς: δῆλον ὅτι τὸ ἐξ ἀρχῆς ἐπαιρόμενον πλῆθος τοῦ θρήνου ὡς ἀνάψει τι καὶ καύσει. ἄλλως. ἀπ' ἀρχῆς δὲ τὸ νέφος τῆς οἰμωγῆς ἐξαιρόμενον δῆλόν ἐστιν ὅτι ταχέως εἰς μεῖζον κακὸν ἀνάξει καὶ αὐξηθήσεται:—
20. δηλονότι] δῆλον B.
21. γράφηται] γρ. B. γράφεται I.
22. ἀνατείνει] Praestat ἀνατενεῖ.

107. νέφος οἰμωγῆς: τὸ σύστημα τῆς οἰμωγῆς ἀνάγεσθαι καὶ αὔξεσθαι μέλλει. B. Fl. 10.

110. δηχθεῖσα: λυπηθεῖσα. B.

111. αἲ αἲ: κατὰ τὴν ὑπόθεσιν εἰσῆλθον οἱ παῖδες, ἡ δὲ πρεσβῦτις οὖσα ἔπαθον ἐπιστενάζει. B. Fl. 10.

112. ὦ κατάρατοι παῖδες: ἐωρακυῖα τοὺς παῖδας εἰσιόντας ἅμα τῷ παιδαγωγῷ ἀναβοᾷ, ὦ παῖδες, στυγερὰ δρῶσα, ὄλοισθε σὺν τῷ πατρί· τοῦτο γάρ ἐστι τὸ ἑξῆς τοῦ λόγου. A.

114. ἔρροι: φθειρέσθω. B.

115. ἔξωθεν ἡ τροφὸς ταῦτα καθ' ἑαυτὴν φησι. B.

117. τί δέ σοι παῖδες: ἡσύχως λέγει. Fl. 10. ἀμπλακίας: ἁμαρτίας. B. Fl. 10.

118. τί τούσδ' ἔχθεις: τί τούσδε μισεῖς οὐκ ὄντας αἰτίους; λέγει δὲ τοὺς παῖδας, Μέρμερον καὶ Φέρητα. A.B.I.

119. λήματα: φρονήματα, τὰ τῆς ψυχῆς παραστήματα. πέφυκε γὰρ ἀεὶ ἡ ἐξουσία ἐπαίρειν τῶν ἀνθρώπων τὸν λογισμόν. τὸ δέ πως παρέλκει. A.B.

120. ὀλίγ' ἀρχόμενοι: οὐδαμῶς πειθόμενοι. B. ἀντὶ τοῦ ἐξ ὀλίγου καὶ βραχέος ἀρχόμενοι τοῦ θυμοῦ καὶ ἐπιπολὺ τούτου κρατοῦντες. τὸ γὰρ πολλά ἀντὶ τοῦ ἐπιπολύ. ἔχομεν δὲ καὶ τὴν ἔννοιαν παρ' Ὁμήρῳ "εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ," καὶ "θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων." δύναται δὲ τὸ ὀλίγ' ἀρχόμενοι ἀντὶ τοῦ οὐδ' ὅλως ἀρχόμενοι, ἀλλ' εἰς τὸ ἐναντίον αὐτοὶ πολλῷ κρατοῦντες. πέφυκε δ' ἐξουσία ἐπαίρειν ἀεὶ τοῖς ἀνθρώποις τὸν λογισμόν. B.I. οἱ τύραννοι ἀεὶ εἰωθότες ἀνύειν ἐὰν λυπηθῶσιν, οὐ παύονται εἰ μὴ ἀνύσουσι δι' ὃ λυποῦνται. A. κρατοῦντες: ἐξουσιάζοντες. B.

122.—127. τὸ γὰρ εἰθίσθαι: ὁ γάρ ἀντὶ τοῦ δέ. τὸ δὲ ζῆν ἐπίσης ἀντὶ τοῦ μετὰ ἰσότητος καὶ μὴ ἐν τυραννίδι κρεῖσσον. ἔδει,

1. ἀνάγεσθαι καὶ om. Fl. 10.
4. πρεσβῦτις—ἔπαθον Matth. πρεσβύτης—ἔπαθεν Fl. 10. ἔπαθεν etiam B.
13. τούσδε] τούτους B.
14. Μέρμερον] μέρμηρον B.I.
ib. φέρητα A. φέρητον B.I.
15. τὰ τῆς ψ. παραστήματα A. παραστήματα τῆς ψ. B.
16. ἐπαίρειν] ἐπαίρουσα A.
ib. τὸ δέ πως παρέλκει (παρέλκεται A.) supra ante πέφυκε habent A.B.
21. Ὁμήρῳ] Il. 1, 81. 2, 196.
22. δὲ τὸ] τὸ om. A.
23. εἰς τὸ ἐναντίον] εἰς τοῦ ἐναντίου A. quasi ἐκ τοῦ ἐναντίου vel εἰς τοὐναντίον voluerit.

φησὶ, πάντας ἀνθρώπους μηδένα μηδενὸς ὑπερέχειν τῆς συμμετρίας, καὶ μὴ πλειόνων ἐπιθυμεῖν. τοῦτο μέγιστον ἀνθρώποις καὶ λυσιτελέστατον. τὸ γὰρ λῷστα ἀντὶ τοῦ λῷστον, ὅ ἐστι βέλτιστον, πληθυντικὸν ἀντὶ ἑνικοῦ. τὸ χρῆσθαι οὖν τῇ συμμετρίᾳ εἰς ὅλον τὸν χρόνον βέλτιον. κἀγὼ οὖν, φησὶ, τῆς μεγάλης καὶ ὑπερβαλλούσης εὐτυχίας τὴν συμμετρίαν προκρίνω. ἐν ταύτῃ γὰρ τὸ ἀσφαλέστερον. τὸ δὲ εἰ μὴ μεγάλως, ἀντὶ τοῦ εἰ μὴ μεγάλῃ καὶ ὑπερβαλλούσῃ εὐτυχίᾳ. I.

124. ὀχυρῶς τ' εἴη: ἀντὶ τοῦ μετρίως καὶ ἀσφαλῶς, ὡς τῆς συμμετρίας τὸ ἀσφαλὲς τῆς παραμονῆς ἐχούσης, τῆς δὲ ὑπερβολῆς μεγάλας καὶ τὰς ἐκπτώσεις ἐχούσης, ὡς ἐπάγει. ἀμφότερα δε λέγεται, καὶ ὀχυρῶς καὶ ἰσχυρῶς. Ἄλλως. αἱρετὸν μέν φησι τὸ εὐδαιμονεῖν· εἰ δὲ μὴ ἐνδέχεται ἀεὶ καὶ μέχρι γήρως εὐτυχεῖν, κρεῖσσον τὸ ζῆν ἐπίσης, ὅ ἐστιν ἐν μεσότητι, τῇ ἴσην ἀπεχούσῃ εὐτυχίας καὶ ἀτυχίας. ὁ τοιοῦτος γὰρ βίος κρείσσων, εἰ μόνιμος. B.I.

125. πρῶτα μέν: αὐτὸ γὰρ, φησὶ, καθ' ἑαυτὸ τὸ τῆς συμμετρίας ὄνομα καὶ τῇ προφορᾷ μόνῃ νικᾷ καὶ εὐφημότερόν ἐστι. λέγει δὲ καὶ ὁ σοφὸς, πᾶν μέτρον ἄριστον, ἐπὶ δὲ ὑπερβολῆς, μηδὲν ἄγαν. B.I.

127. τὰ δ' ὑπερβάλλοντ': αἱ δ' ὑπερβολαὶ, φησὶν, ἀσθενεῖς καὶ οὐ βέβαιοι τοῖς ἀνθρώποις, τῇ ἀρχαίᾳ μεταβολῇ. οὐδ' εἰ γεγόνασι τὴν ἀρχὴν νομιζόμεναι. ὁ γὰρ τὴν συμμετρίαν ἔχων, εἰ καὶ πέσοι ταύτης τρόπον τινὰ, οὐδεμίαν δοκεῖ πεπονθέναι παραλλαγήν. ἔπειτα τῷ μὲν ὑπερβολὴν ἔχοντι φθόνος παρακολουθεῖ, τοῖς δ' οὐχί. διὸ ἐπὶ πολὺ παραμένει ἡ συμμετρία. τὸ δὲ ὅταν ὀργισθῇ, εἰδικώτερον εἴρηκεν· ἔδει γὰρ μᾶλλον εἰπεῖν, ὅταν χολωθῇ. B.I.

133. οὐδέπω ἤπιος: ἔοικε, φησὶν, ἡ Μήδεια, μηδέπω πεπραῦνθαι. B.I.

P. 15. l. 29. ἐπίσης] ἐπίσοις B.
ib. ἐν τυραννίδι] ἐν om. I.
2. πλειόνων om. I.
5. ὑπερβαλλούσης] ὑπερβαλούσης I.
6. τὸ ἀσφαλέστερον huc transposuit Matth. Legebatur infra post εὐτυχίᾳ.
7. τὸ δὲ εἰ B. δὲ om. I.
12. ὀχυρῶς καὶ ἰσχυρῶς B. ἰσχυρῶς καὶ ὀχυρῶς I. Scribendum videtur ὀχυρῶς καὶ ἐχυρῶς.
ib. Ἄλλως om. A.
14. ἐπίσης] ἐπίσοις A. ut supra.
17. Post μόνῃ verba τὸ τῆς συμμετρίας ὄνομα repetit B.
21. ἀνθρώποις] Post ἀνθρώποις nonnulla excidisse videntur. MATTH.
26. μᾶλλον om. I.
27. μηδέπω] μηδέποτε B.

134. ἀμφιπύλου: λέγεται τὸ ἔχον δύο πύλας καὶ εἰσόδους, μίαν μὲν τὴν αὐθεντικὴν, ἑτέραν δὲ ἣν Ὅμηρος λέγει ὀρσοθύρην. ἐγὼ οὖν, φησὶν, ἐπὶ τοῦ ἀμφιπύλου οὖσα, τουτέστιν ἐπὶ τοῦ πυλῶνος, ἤκουσα φωνῆς ἔσω τοῦ μελάθρου. A.B.I. ἢ οὕτως, ἀμφίπυλος περὶ τὰς θύρας τόπος. A.

138. ἐπεί μοι φίλον: τὸ οἴκημα, λέγει, τετέλεσται ἐμοὶ φίλον, οἷον ὑπάρχει. B.I.

139. οὐκ εἰσὶ δόμοι: ἀντὶ τοῦ ἀνατέτραπται ὁ οἶκος καὶ ἠφάνισται. ἀπὸ δὲ ἀρσενικοῦ εἰς οὐδέτερον μεταβαίνει. φροῦδα γὰρ τὰ πάντα οἰκήματα λέγει. A.B.I.

143. παραθαλπομένα: εὐφραινομένη. Fl. 10.

144. φλὸξ οὐρανία βαίη: οἷον κεραυνωθείην, κεραυνοβοληθείην· φλόγα γὰρ οὐρανίαν τὸν κεραυνὸν λέγει. B.I.

148. ἄϊες, ὦ Ζεῦ: τὸ ἄϊες ὁ Δίδυμος ὡς πρὸς τὰς τοῦ χοροῦ φησι λέγεσθαι ἠκούσατε, καὶ οὐ πρὸς τὸν Δία. ἐν ἤθει οὖν τὸ ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς. τοῦτο δὲ Ἀπολλόδωρος τῆς Μηδείας φησὶν, ἀπὸ δὲ τοῦ ἰαχάν τοῦ χοροῦ, ἵν' ἔχῃ λόγον τὸ "κἀπιβοᾶται Θέμιν εὐκταίαν Ζῆνά τε," τοὺς δ' ὑποκριτὰς συγχέειν. B.I.

150. τίς σοί ποτε: τὸ μέγεθος θαυμάζει τοῦ ἔρωτος. τίς ἄρα, φησὶν, οὗτος ὁ ἔρως, ὁ τῆς ἀκορέστου ταύτης κοίτης, ὃς σπεύδει θάνατον ἐπιπέμψαι; ἄπληστον δὲ λέγει τὴν κοίτην, ἐπεὶ, δέον καταφρονητικῶς φέρειν καὶ μισεῖν τὸν Ἰάσονα ἑτέρᾳ συνελθόντα, ἡ δὲ καὶ οὕτως κνίζεται, ὅτι μὴ σύνεστιν αὐτῷ. B.I.

1. ἀμφιπύλου—ἔχον A. ἀμφίπυλον λέγει (λέγει om. I.) τὸ B.I.
2. Ὅμηρος] Il. 22, 132. 133.
ib. ὀρσοθύρην] ὁρωθύρην I.
3. ἐπὶ τοῦ πυλῶνος B. Fl. 6. 15. εἰς (fort. εἴσω) πυλῶνος A. τουτέστιν ἐ. τ. π. om. I.
4. ἔσω τοῦ μελάθρου] ἐπὶ τῶν μελάθρων Fl. 15.
6. λέγει B. φησὶ I.
8. ἀντὶ τοῦ] οἷον I.
ib. καὶ om. B.I.
9. μεταβαίνει—οἰκήματα] μετέστη. φροῦδα γὰρ τάδε τὰ οἰκήματα B.I.
14. τὸ ἄϊες—] In A. τὸ ἄϊε ἀπολλόδωρος τῆς μηδείας φησὶν, ἀπὸ δὲ τοῦ ἰαχάν. οἱ δὲ φησὶν τοῦ χοροῦ. ἐν ἤθει δὲ ἀφ' ἑτέρας ἀρχῆς τὸ ζεῦ καὶ γᾶ καὶ φῶς:—Tum a m. recentiore, γελοῖον γὰρ τῆς μηδείας ἐστραμμένης τὸν χορὸν λέγειν ἄϊε ζεῦ. Conf. p. 19, 3.
15. ὦ om. I.
17. κἀπιβοᾶται] V. 170.
18. συγχέειν] Conf. p. 18, 25.
19.—21. Haec etiam in A. a m. rec. sic scripta, τί σοί ποτε: διὰ τί ποτε, ὦ ματαία, ὁ ἔρως τῆς ἀκορέστου κοίτης ταύτης ὃς σπεύδει σοι θανάτου τελευτὴν ἐμβαλεῖν.
20. σπεύδει] σπεύσει B.
22. ἑτέρᾳ add. B. Fl. 6. 15., om. I.

152. τὸ δὲ σπεύσει θανάτου τελευτάν ἀντὶ τοῦ ἐπείξει καὶ ἐμβαλεῖ σοι θάνατον. B.I.

153. μηδὲν τόδε λίσσου: μὴ λίσσου, φησὶν, ὦ Μήδεια, τὸ θανεῖν. εἰ δὲ ὁ σὸς ἀνὴρ ἠθέτησε τοὺς ὅρκους, ἐκείνῳ λίσσου τοῦτο γενέσθαι, δηλονότι τὸ κεραυνωθῆναι καὶ ἀποθανεῖν. A.B.I.

156. κείνῳ τόδε: τουτέστιν ἐκείνῳ τόδε τὸ ἁμάρτημα μὴ λογίζου, καὶ δι' ἐλπίδος ἔχε τοὺς θεοὺς ἀπαιτήσειν αὐτὸν τιμωρίαν. A. B.I. σὺ, φησὶ, μὴ χαλέπαινε, μηδὲ θυμοῦ. σὺν δίκῃ δὲ ἀντὶ τοῦ σὺν τῷ δικαίῳ ἐπεξελεύσεται. B.I.

164. διακναιομένους: κεκαμμένους, ἠφανισμένους. Fl. 10.

166. ἀπενάσθην: ἀπῳκίσθην. B. Fl. 10.

167. κτείνασα κάσιν: Τιμαχίδας ἐπὶ τὰ πρόχειρα πᾶσιν ἐνεχθεὶς τὸν Ἄψυρτόν φησι λέγειν αὐτὴν, τοῦ Εὐριπίδου μήτε ἐνταῦθα μήτε ἐν τῷ Αἰγεῖ δηλώσαντος τὸν Ἄψυρτον ὀνομαστί. ὁ δὲ Φερεκύδης διὰ τοῦ ξ ὀνομάζει αὐτόν. Δικαιογένης δὲ ἐν τῇ Μηδείᾳ Μεταπόντιον αὐτὸν ὀνομάζει. ἀνῃρῆσθαι δὲ αὐτὸν οἱ μὲν ὑπὸ Μηδείας, οἱ δὲ ὑπὸ Ἀργοναυτῶν· Λέων δὲ ὁ ῥήτωρ οὐ σφαγῆναι, ἀλλὰ διαφθαρῆναι αὐτὸν φαρμάκοις. B.I. Ἄψυρτον λέγει τὸν ἐπιδιώξαντα αὐτὴν κατὰ πρόσταξιν τοῦ Αἰήτου. πέπεικε γὰρ αὐτὸν ἐλεεῖν εἴς τινα νῆσον ὑποβαλοῦσα τῷ Ἰάσονι καὶ δόλῳ τινὶ τοῦτον ἀνελεῖν. B.

169. Θέμιν εὐκταίαν: τῶν διαβεβοημένων ἐστὶ ζητημάτων καὶ τοῦτο, πῶς ἡ μὲν Μήδεια τὴν Θέμιν καὶ τὴν Ἄρτεμιν βοᾶται, ἡ δὲ πρεσβῦτις ἀντὶ τῆς Ἀρτέμιδος τὸν Δία φησὶν αὐτὴν ἐπιμαρτύρασθαι. A.B.I. Ἀπολλόδωρος μὲν οὖν φησίν ὁ Ταρσεὺς τῆς ἀμφιβολίας αἰτίους εἶναι τοὺς ὑποκριτὰς, συγχέοντας τὰ χορικὰ τοῖς ὑπὸ Μηδείας λεγομένοις. δεῖ δὲ τὴν διαστολὴν γεγονέναι μὲν ἐκ τοῦ τὴν Μήδειαν ἅπαντα ταῦτα λέγειν, "αἳ αἳ διά μου κεφαλῆς φλὸξ οὐρανία βαίη" ἕως τοῦ "ἄϊες, ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς," τὰ δὲ ἑξῆς τῷ χορῷ προσά-

4. ἠθέτησε] ἠθέτισεν A., omisso τοὺς ὅρκους.
ib. λίσσου τοῦτο γ. A. γ. λίσσου τόδε B.I.
8. σὺ] μὴ λίαν τάκου praefixum in B.I. delevit Matth.
13. τὸν om. I.
14. ὀνομαστί ante τὸν Ἄ. B.
15. ὀνομάζει] ὀνομάζειν I.
22. τοῦτο] αὐτὸ A.
23. αὐτὴν] αὐτὸν I.
ib. ἐπιμαρτύρασθαι] ἀντιμαρτύρασθαι A. qui pergit. ἄλλως. τὴν πάρεδρον τῷ διὶ δικαιοσύνην etc. quae v. ad v. 209.
28. τῷ χορῷ] τοῦ χοροῦ I.

ψαι. οὕτω γὰρ ἐχούσης τῆς διαστολῆς, ὡς αὐτῆς φησι τῆς Μηδείας διαρρήδην προσκαλεῖσθαι τὸν Δία, τὰ ἑξῆς τὸν χορὸν λέγειν "ἰαχὰν οἵαν ἁ δύστανος μέλπει νύμφα." εἰ δὲ μή, γελοῖον δοκεῖ εἶναι, τῆς Μηδείας καταρασαμένης ἑαυτῇ τὸν χορὸν λέγειν "ἄϊες, ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς." λελύσθαι οὖν τὴν ἀπορίαν εἰκότως, τὴν πρεσβῦτιν ἔνδοθεν κατηκοῦσθαι τῆς Μηδείας καὶ λέγειν "κλύεθ' οἷα λέγει." ὁ δὲ Δίδυμός φησιν ὅτι διὰ τοῦ λέγειν "διά μου κεφαλῆς φλὸξ οὐρανία βαίη" ἐπικαλεῖται τὸν Δία. τίς γὰρ εἶχεν αὐτῇ ἐπιπέμψαι τὸν κεραυνὸν εἰ μὴ ὁ Ζεύς; εἰ καὶ ἡ πρεσβῦτις μὴ πάντων ὢν ἡ Μήδεια ἐπεκαλέσατο ἐμνήσθη, οὐ παράδοξον· ἠρκέσθη γὰρ τοῖς σεμνοτάτοις. οἱ δέ φασι λείπειν τὸ "ὄμνυμι Ζῆνα καὶ Θέμιν." B.I.

171. ἔν τινι μικρῷ: λείπει τὸ κακῷ, ἔν τινι μικρῷ κακῷ. ἀλλὰ δηλονότι μέγα καταπραξαμένη κακὸν παύσεται τῆς ὀργῆς. B.I.

173. πῶς ἂν ἐς ὄψιν: πῶς, φησὶ, συντυχοῦσα αὐτῇ διαλεχθείην, καὶ πῶς τῶν παρ' ἐμοῦ ῥηθησομένων λόγων τὴν φωνὴν δέξαιτο. ὀμφὴν γὰρ νῦν τὴν φωνὴν λέγει, ἢ τὴν ὁμιλίαν, καὶ οὐχὶ τὴν κληδόνα. B.I.

174. αὐδαθέντων: αὐδηθησομένων. B. Fl. 10.

175. ὀμφάν: παραίνεσιν. Fl. 2.

177. τὸ ἔπαρμα καὶ ἡ ὁρμὴ τῆς διανοίας τὸ εἰς τοὺς φίλους σπουδαίαν εἶναι μὴ ἀπέστω μου. B. λῆμα: ἔπαρμα, ὁρμή. Fl. 10. φρενῶν: διανοίας. Fl. 10.

178. μήτοι τό γ' ἐμόν: ἡ ἐμοὶ παροῦσα προθυμία μὴ ἐκτὸς τῶν φίλων ἀπέστω. B.I.

183. κακῶσαι: κακὸν ποιῆσαι. Fl. 10. ἑαυτὴν λέγει κακόν τι ποιῆσαι ἢ τοὺς παῖδας. B.

τοὺς εἴσω: ἑαυτὴν ἢ τοὺς παῖδας. Fl. 10.

184. ἀτὰρ φόβος εἰ πείσω: ἀλλ' εἰ φοβερὸν καὶ δυσχερὲς πεῖσαι τὴν ἐμὴν δέσποιναν θυμουμένην ἐνταῦθα προελθεῖν, ὅμως ἐγὼ τήνδε σοὶ

2. προσκαλεῖσθαι] προσκαλεσαμένης Matth.
6. κατηκοῦσθαι] κατακοῦσθαι I.
9. καὶ] Fort. δέ.
10. ἐπεκαλέσατο] ἀπεκαλέσατο I.
12. τῷ (scripsi τὸ) κακῷ B. Sine articulo I.
ib. ἔν τινι μικρῷ κακῷ om. I.
22. ἡ ἐμοὶ] ἡ ἐμὴ I. Correxi ex B. qui οὕτως ἡ ἐμοί, omisso lemmate.
27. ἀλλ' εἰ om. A.
28. ἐνταῦθα post προσελθεῖν A.
ib. προελθεῖν Matth. pro προσελθεῖν.
ib. ὅμως—προσδεχομένην] ὅμως εἰς τὴν χάριν εἰσελεύσομαι ὑπὲρ τοῦ μὴ μοχθεῖν σε καὶ ἀδημονεῖν ποθοῦσαν αὐτῇ συντυχεῖν A. qui hoc scholion a m. rec. habet.

τὴν χάριν καταθήσω, καὶ εἰσελθοῦσα καλέσω αὐτὴν ὑπὲρ τοῦ μὴ μοχθεῖν καὶ ἀδημονεῖν σε ἑστῶσαν καὶ προσδεχομένην. A.B.I.

186. μόχθου δὲ χάριν : ὑπὸ τοῦ μόχθου οὗ περὶ ἡμᾶς ἔχεις. τὸ δὲ χάριν κατὰ κοινοῦ. B.I.

187. καίτοι τοκάδος : λείπει τὸ ἔχουσα. καίτοι, φησὶν, ἡ δέσποινα δεινὸν ὁρᾷ τοῖς τολμῶσιν αὐτῇ πλησιάζειν, ἔχουσα λεαίνης τετοκυίας τὸ βλέμμα, καὶ ὅμως, οὕτως ἐχούσης αὐτῆς θυμοῦ, εἰς σὴν χάριν εἰσελεύσομαι. τοῦτο γὰρ ἀπὸ κοινοῦ. A.B.I. γεννητρίας. B.

188. ἀποταυροῦται: ἀντὶ τοῦ ταυρηδὸν σχηματίζεται τῷ προσώπῳ, ὡς βλέμμα μὲν ἔχειν λεαίνης, σχηματίζεσθαι δὲ τῷ προσώπῳ ὁμοίως ταύρῳ θυμουμένῳ. οὕτω, φησὶν, ἀποβλέπει εἰς ἡμᾶς ὀργίλως, ὡς λέαινα ὀργισθεῖσα ὑπὲρ τῶν τέκνων αὐτῆς. A.B.I.

192. θαλίαις : θυσίαις, εἰλαπίναις, ἑορταῖς. λέγει δὲ τὴν παροινίαν. I.

197. ἐξ ὧν θάνατοι : ἐξ ὧν λυπῶν αἱ δειναὶ συμφοραὶ πταίειν καὶ ἀποτυγχάνειν ποιοῦσι τοὺς οἴκους. B.I.

199. κέρδος ἀκεῖσθαι : τὸ θεραπεύειν τὰς λύπας τῶν ἀνθρώπων κέρδος ἐστὶ καὶ ὠφέλεια. τίς δὲ χρεία ἐν συμποσίοις στρέφειν ὕμνους, ὅπου καὶ χωρὶς τῶν ὕμνων αὐτὴ ἡ παρουσία τῶν συμποτῶν τέρψιν ἔχει. A.B.I.

201. τί μάτην : τίς γὰρ ἐκεῖ χρεία μουσικῆς, αὐτῶν τῶν ἀπὸ θοίνης τερπόντων ; τείνουσι δὲ βοὰν ἀντὶ τοῦ ᾄδουσι μετὰ τόνου· καὶ γὰρ εὐωχία ἱκανή ἐστιν εἰς τὸ τέρψαι τοὺς ἀνθρώπους. B.I.

205. λιγυρὰ δ' ἄχεα : ἀντὶ τοῦ λιγυρῶς καὶ ὀξέως τὰ ἄχεα, φησὶν, ἡ μογερὰ Μήδεια βοᾷ. B.I.

3. ὑπὸ τοῦ μόχθου] Legendum videtur ὑπὲρ τοῦ μ. ut hoc dicat gramm., χάριν bis sumendum esse, μόχθου χάριν ἐπιδώσω σοι τήνδε χάριν. MATTH.

5. λείπει τὸ ἔχουσα om. A.

ib. ἡ δέσποινα δεινὸν ὁρᾷ] ὡς δεινὸν ὁρᾷ ἡ δέσποινα A.

7. καὶ ὅμως—κοινοῦ om. A.

9. ἀποταυροῦται] δὲ addit B.

ib. ἀντὶ τοῦ om. A.

10. βλέμμα] σχῆμα I.

ib. σχηματίζεσθαι δὲ τῷ προσώπῳ A. σχηματίζεται δὲ τὸ πρόσωπον B.I.

12. ὑπὲρ addidi ex B.

13. θαλίαις] In B. Fl. 10. θαλίαις. διὸ καὶ σεσημείωται.

15. οἴκους B. δόμους I.

16. κέρδος ἀκεῖσθαι A. στυγίους δὲ βροτῶν B.I.

ib. τὸ θεραπεύειν—λύπας] τὴν λύπην θεραπεύειν δι' ᾠδικῶν κέρδος ἐστὶ καὶ ὠφέλεια (καὶ ὠφέλεια om. B.) καίτοι τὸ ἀκεῖσθαι καὶ θεραπεύειν τὰς λύπας B.I.

17. συμποσίοις] συμποσίῳ B.I.

ib. στρέφειν] τρέφειν A.

18. χωρὶς τῶν ὕμνων om. A.

ib. αὐτὴ ἡ] αὐτὴ καὶ ἡ A.

21. βοάν] βοήν B.

ib. καὶ γὰρ] ἡ γὰρ B.

209. τὰν Ζηνὸς ὁρκίαν Θέμιν: τὴν πάρεδρον τῷ Διὶ Δικαιοσύνην. ὁρκίαν δὲ αὐτὴν εἶπεν ἢ τὴν ὅρκων ἔφορον καὶ συνθηκῶν πρύτανιν, ἢ τὸν θεὸν ἐπικαλεῖται, ὡς ἑξῆς ἐπάγει, ὥστε καὶ ἄνω ἐπὶ τῆς Θέμιδος τὸν Δία ἐπικαλεῖσθαι. A. ταῦτα δὲ τοῖς ἀξιοῦσιν ὑπὸ τῆς Μηδείας διὰ τῆς Θέμιδος προσειλῆφθαι τὸν Δία συμπράττει. οἱ γοῦν προϋπομνηματισάμενοι γράφουσιν οὕτως· δύναται τὸ λέγειν Ζηνὸς ὁρκίαν Θέμιν βοηθῆσαι τοῖς προκειμένοις, ὅτι διὰ τῆς Θέμιδος τὸν Δία ἐπεκαλεῖτο διὰ τὸ εἶναι Διὸς τὴν Θέμιν. λέγει οὖν ὅτι τῇ παρέδρᾳ τῷ Διὶ Δικαιοσύνῃ, ἤγουν τοῖς ταύτης ὅρκοις, πιστεύσασα ἔπραξεν ἃ ἔπραξεν. ὁρκίαν δὲ αὐτὴν εἶπεν ὡς τῶν ὅρκων ἔφορον καὶ συνθηκῶν πρύτανιν, ἥτις Θέμις αὐτὴν τὴν Μήδειαν καὶ διαβῆναι πεποίηκεν εἰς τὴν Ἑλλάδα διὰ τὴν ἀντίπορον τῆς Σκυθίας. ἀντίπορον δὲ τὴν ἐναντίαν κατὰ τὸν πόρον, ἢ κατὰ τὸν τόπον· ἡ μὲν γὰρ ἐν τοῖς δυτικοῖς κεῖται ἡ Ἑλλὰς, ἡ δὲ Σκυθία ἐν ταῖς ἀνατολαῖς. A.B.I. πῶς δὲ ἡ Θέμις διαβῆναι ἐποίησε τὴν Μήδειαν; ὅτι τοῖς ὅρκοις πεισθεῖσα ἠκολούθησεν Ἰάσονι. B.I.

211. δι' ἄλα νύχιον ἐφ' ἁλμυρὰν πόντου: ἀντὶ τοῦ, δι' ἁλὸς ἁλμυρᾶς, περιττευούσης τῆς ἐπί προθέσεως. ἢ τὸ ἁλμυρᾶς πρὸς τὸ ἑξῆς συναπτέον, τουτέστι διεβίβασεν αὐτὴν δι' ἁλὸς εἰς τὴν Ἑλλάδα ἐπὶ τὴν ἁλμυρὰν τοῦ πόντου κληῖδα. λέγει δὲ τὸ στενὸν, ὅθεν καὶ κλεῖδα τὸ στενὸν ἐκεῖνο ὠνόμασε, παρὰ τὸ ὥσπερ κλεῖδα εἶναι τοῦ προκειμένου Πόντου· ἀπὸ γὰρ τοῦ στενοῦ ἐπὶ τὸν Πόντον ἐξίασι. νύχιον δὲ λέγει τὴν θεὸν, ὡς ἑξῆς ἐπάγει, ὥστε καὶ ἄνω διὰ τῆς Θέμιδος τὸν Δία ἐπικαλεῖσθαι. ἡ Θέμις δὲ αὐτήν φησι διὰ νυκτὸς πεφευγέναι. B.I.

214. Κορίνθιαι γυναῖκες: χρὴ νοεῖν ὅτι κατὰ τὸ σιωπώμενον εἰσελθοῦσα ἡ γραῦς παρεκάλεσε τὴν Μήδειαν ἐξελθεῖν πρὸς τὸν χορόν. αὕτη οὖν ἐξελθοῦσά φησιν, ἐξῆλθον πρὸς ὑμᾶς, ὦ γυναῖκες, ἵνα μή μοί

4. ταῦτα δὲ A. δὲ om. B.I.
5. προϋπ—A. προσυπ—B.I.
8. λέγει οὖν et τῇ παρέδρᾳ—ἤγουν om. A.
9. ἃ ἔπραξεν—πρύτανιν om. A. qui pergit ἥτις θέμις ἐπόρευσεν αὐτὴν νυκτερινὴν εἰς τὴν ἑλλάδα τὴν ἐναντίαν κατὰ τὸν πόρον τῆς σκυθίας. ἡ μὲν γὰρ ἑλλὰς ἐν τοῖς δυτικοῖς κεῖται, ἡ δὲ σκυθία ἐν τοῖς ἀνατολικοῖς:—
18. δι' ἁλὸς post τὴν Ἑλλάδα B.
21. ἐξίασι] ἐξιᾶσι B I.
ib. νύχιον δὲ λέγει — πεφευγέναι] Haec sensu carent. Extrema intelligerem, si sic scripta essent: ἡ Θέμις δὲ αὐτὴν, φησὶ, διὰ νυκτὸς πεφευγέναι ἐποίησεν. MATTH.
25. ὅτι om. A.
26. τὸν χορόν A. τὰς ἀπὸ τοῦ χοροῦ B.I.
27. μή μοί τι] μήποτε A.

τι μέμψησθε ὡς δι' ὑπερηφανίαν μὴ προελθούσῃ. A.B.I. Ἄλλως. ὦ Κορίνθιαι γυναῖκες, ἐξῆλθον ἐκ τῶν δόμων, ἵνα μὴ μέμψησθέ μοι. καίτοι ἐπίσταμαι πολλοὺς τῶν ἀνθρώπων σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο, τοὺς δ' ἐν θυραίοις, οἷον ὑπερηφάνους νομιζομένους τοὺς μὲν ἀπὸ τοῦ χωρίζεσθαι καὶ ἄποθεν τῶν ὀμμάτων εἶναι, τοὺς δὲ διὰ τὸ προσέρχεσθαι καὶ συνεχῶς ἐπιφαίνεσθαι, ἐξ οὗ τὸ ἁπανταχόθεν ἐπίφθονον καὶ εὐδιάβολον τῶν ἀνθρώπων σημαίνει, ὅτι εἰς μηδὲν ἀρέσκονται. εἶτα πάλιν κατὰ τούτων ἐπιφέρει ὅτι καὶ οἱ ἀφ' ἡσύχου ποδὸς καὶ ἐν ἐρημίᾳ τὰ ἑαυτῶν πράττοντες δύσκλειαν κτῶνται καὶ ἀργίαν, οἷον καὶ οὗτοι διαβάλλονται ὑπὲρ τούτου. B.I.

216. σεμνοὺς γεγῶτας: πολλοὶ γάρ, φησὶ, τῶν ἀνθρώπων διὰ τὸ κεχωρίσθαι καὶ μὴ ὁμιλεῖν τισιν ἀλαζόνες καὶ ὑπερήφανοι ἔδοξαν εἶναι. οἱ δὲ ἐκ τῶν ἐναντίων συνεχῶς φαινόμενοι καὶ ἐπιπολάζοντες ὀχληροὶ καὶ ἐπαχθεῖς ἔδοξαν εἶναι. ἔνιοι δ' αὐτῶν ἡσύχιον βίον ἐλόμενοι, καὶ παρόντες μὲν, οὐδενὶ δὲ πελάζοντες εὐτελεῖς ἐνομίσθησαν καὶ νωθροί· ῥαθυμίαν γὰρ τὴν νωθρότητα λέγει. καὶ νῦν δὲ τὸ σεμνὸν ἀντὶ τοῦ ὑπερήφανον, ὡς καὶ ἐν Ἱππολύτῳ "μισεῖ τὸ σεμνὸν καὶ τὸ μὴ πᾶσιν φίλον." γεγῶτας δὲ δοκοῦντας εἶναι. ὀμμάτων ἄπο: ἀντὶ τοῦ κεχωρισμένους καὶ πόρρωθεν ὄντας, ἢ νοουμένους ἀπὸ τῆς τῶν ὀφθαλμῶν καταστάσεως. τοῦτο δὲ οὐκ οἰκεῖον τοῖς ἐπιφερομένοις. B.I. ὀμμάτων ἄπο: κατοικισθέντας εἰς ἐρημίαν. Fl. 2. μὴ ὁρωμένους. Fl. 10.

217. τοὺς δ' ἐν θυραίοις: τοὺς ἐν τοῖς οἴκοις τῶν ἑτέρων συνεχῶς φαινομένους, παρὰ τὸ Ἰσοκρατικὸν "τὰς ἐντεύξεις μὴ ποιουμένους." οἱ δ' ἀφ' ἡσύχου: οἷον ἡσύχιον βίον ἐπανῃρημένοι, ἀντὶ τοῦ φαινόμενοι, μηδὲν δὲ πράττοντες, ἀλλ' ἡσυχίαν ἄγοντες. ἄλλοι δὲ ἐπὶ ἡσυχίας ἰδιοπραγμονοῦντες ὑπόνοιαν ἔσχον δυσκολίας καὶ ἀργίας·

6. ἐπιφαίνεσθαι B. ἐπιφέρεσθαι I. συνεχῶς φαινόμενοι dicuntur in scholio proximo.

13. καὶ ἐπιπολάζοντας—δοκοῦντας εἶναι habent B. Fl. 6. 15. om. I.

17. Ἱππολύτῳ] 92.

18. ὀμμάτων] ἄλλως praefigit B.

19. ἢ ν.] ἤγουν I. Est haec alia explicatio verborum σεμνοὺς γεγῶτας ὀμμάτων ἄπο, i. e. σεμνοὺς νοουμένους ἀπὸ τῆς τῶν ὀφθ. pro superbis habitos esse propter conjectum oculorum et vultum MATTH.

23. τοὺς δ' ἐν—] τοὺς ἐν θυραίοις δέ φησιν ἀντὶ τοὺς ἐν τοῖς οἴκοις—ποιουμένους B. qui hoc scholion infra habet post πρᾷοι δὲ τὴν ψυχήν.

24. Ἰσοκρατικὸν] Ad Demon. p. 6.

25. οἷον om. I.

ῥᾳθυμίαν γὰρ τὴν ἀργίαν. οἱ ἡσύχιον βίον ἐπανῃρημένοι δυσκλεεῖς μὲν ἐνομίσθησαν, πρᾷοι δὲ τὴν ψυχήν. B.I.

218. δίκη γὰρ οὐκ ἔνεστιν ὀφθαλμοῖς βροτῶν: φησὶ γὰρ ὅτι διὰ τοῦτο προσῆλθον πρὸς ὑμᾶς, καίτοι ἐπισταμένη ὅτι καὶ τὸ ἐπιφοιτᾶν ἐπικίνδυνόν ἐστιν, ὅμως δ' οὖν, ἵνα μὴ δι' ἔργων καὶ ἐπ' αὐτῆς τῆς διανοίας γνωρίσητέ με ἥτις εἰμί. οὐ γὰρ, φησὶν, ἐν ὀφθαλμοῖς ἀνδρῶν καὶ ἐν τῇ ὄψει μόνῃ περί τινος δίκη καὶ κρίσις ἐστὶν, ἢ ὅτι τὸ δίκαιον οὐκ ἀπὸ μόνης τῆς ὄψεως εὑρίσκεται. τὸ δὲ κατάλληλον ἔτι μᾶλλον σαφὲς γίνεται ὅτι ἡ δίκη οὐκ ἔστιν ἐν ὀφθαλμοῖς βροτῶν, οὐδὲ δίκαιος οὗτος, ὃς, πρὶν τὸ σπλάγχνον σαφῶς ἐκμαθεῖν τοῦ πέλας, στυγεῖ ἀπὸ τῆς ὄψεώς τινα, οὐδὲν ἠδικημένος ὑπ' αὐτοῦ. οὕτως Εἰρηναῖος. εἰς δὲ τὸ "μή μοί τι μέμψησθε" προσληπτέον ἔξωθεν τὸ ὅπως· αἰτίαν γάρ φησι τοῦ ἐξεληλυθέναι, ὅπως μὴ ὑπὸ αἰτίαν πέσῃ. B.I. δίκη γὰρ οὐκ ἔνεστιν: διὰ τοῦτο δὲ συμβαίνει τὸ ἄλλοτε ἄλλως τοὺς ἀνθρώπους τὰ ἀλλήλων δοξάζειν, διὰ τὸ μὴ δύνασθαι ἐξ ὄψεως δοκιμάζειν ἑκάστου τὸν τρόπον, ὅπερ πάσχουσιν οἱ πολλοί, οἳ, πρὶν τὸν τρόπον σαφῶς κατανοῆσαι, ἁπλῶς ἐκ τῆς τῶν ὀφθαλμῶν προσβολῆς μισοῦσι τὸν δεῖνα, οὐδὲν ἠδικημένοι πρὸς αὐτοῦ. B.I.

222. χρή σε ξένον μέν: προσήκει δὲ πάντα ξένον πρὸς τὰ τῆς πόλεως νόμιμα χωρεῖν καὶ ἁρμόζειν ἑαυτὸν τοῖς ἤθεσι τῶν πολιτῶν. ὅθεν κἀγὼ πρόσειμι πρὸς ὑμᾶς, τὸ πρέπον τοῖς ἐπὶ ξένης πράττουσα. A.B.I.

226. βίου χάριν: τὴν ἐν τῷ βίῳ ἡδονήν, περιφραστικῶς αὐτὸ τὸ ζῆν. A.B.I.

227. κατθανεῖν χρῄζω: τοῦτο ἐν ἤθει ἀναπεφώνηται. B.I.

228. ἐν ᾧ γὰρ ἦν: ἐν ᾧ ἦν μοι πάντα, κάκιστος ἀνδρῶν ἐκβέβηκεν. οἱ δ' ὑποκριταὶ οὐ συμπεριφερόμενοι τῷ τρόπῳ λέγουσι "γινώσκειν καλῶς." B.I. ἦν: ἐλπίς. Fl. 10.

232. χρημάτων ὑπερβολῇ: χρημάτων λέγει τῶν εἰς τὴν φερνήν· τοῦτο δὲ ὁ Εὐριπίδης ἀπὸ τῆς καθ' αὐτὸν συνηθείας λέγει. οἱ δὲ ἥρωες οὐχ οὕτως ἐποίουν τοὺς γάμους, ἀλλ' ἐκ τῶν ἐναντίων αὐτοὶ

6. διανοίας] ἀγνοίας I.
12. μέμψησθε] ιέμφησθε B.I.
16. οἳ] ἤ I.
18. αὐτοῦ] αὐτῶν I.
20. χωρεῖν A. χαίρειν B.I.
21. πρόσειμι] πρόειμι A.
ib. ὑμᾶς—ξένης πράττουσα] ἡμᾶς —ξένοις—πράττουσιν A.
29. φερνήν B. φωνήν I.
30. καθ' αὐτὸν B. κατ' αὐτὸν I.

ἐδίδοσαν, καθάπερ καὶ αὐτὸς ἐν ἄλλοις παρίστησι καὶ Ὅμηρος· "πρῶθ' ἑκατὸν βοῦς δῶκεν, ἔπειτα δὲ χίλι' ὑπέστη." ἔστι δὲ ἀναχρονισμός. οἱ γὰρ ἥρωες τὸ ἐναντίον παρεῖχον. B.I.

234. κακοῦ γάρ: κακὸν μὲν τὸ χρημάτων ὑπερβολῇ πρίασθαι, ἀλγεινότερον δὲ κακὸν τὸ καὶ δεσπότην αὐτὸν ἄντικρυς λαμβάνειν. A.B.I.

236. οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαί: ὅτι, κἂν κακὸς ᾖ, στέργειν δεῖ. ἀκλεὲς γὰρ γυναικὶ ἀντιλυπεῖν τὸν οἰκεῖον ἄνδρα. A.B.I.

238. εἰς καινὰ δ' ἤθη: τοῦτο πρῶτόν ἐστι τῇ τάξει τοῦ πράγματος τοῦ κατὰ τὸν νόμον τοῦ γάμου. πρότερον γάρ ἐστι τὸ τὴν παρθένον πρὸ τῶν πραγμάτων ἀπιέναι πρὸς τὸν νυμφίον, εἶθ' οὕτως πειρᾶσθαι τούτου, εἴτε δεξιοῦ, εἴτε κακοῦ. καινὰ δ' ἤθη λέγει καὶ νόμους τοὺς παρὰ τῷ ἀνδρί. νόμους δὲ λέγει τοὺς τῆς οἰκίας κανόνας καὶ τύπους. A.B.I. τὰ ἤθη καὶ τοὺς νόμους τῶν ἀνδρῶν. B.I.

241. ἐκπονουμέναισιν: ὑπομενούσαις. Fl. 10.

242. μὴ βίᾳ φέρων: μὴ βίαν ἡγούμενος, μηδὲ ἀνάγκην τὴν συμβίωσιν. B.I.

244. ὅταν τοῖς ἔνδον: ὅταν τι τῶν κατ' οἰκίαν λυπῇ, προελθών που παρεμυθήσατο. B.I. ἔνδον: κατὰ τὸν οἶκον. Fl. 10.

545. ἄσην: ῥύπον. Fl. 10.

247. μίαν ψυχήν: τὴν τοῦ ἀνδρός. B. Fl. 10.

252. κἄμ' ἥκει λόγος: οὐχὶ περὶ σοῦ ταῦτά φησιν· οὐ γὰρ ὁμοίας ἔχεις ἐμοὶ τύχας. B.I.

256. λελῃσμένη: ἀντὶ τοῦ λελῃϊσμένη· συνείληπται γάρ· καὶ ὥσπερ αἰχμαλωτισθεῖσα. δεινοπαθοῦσα δὲ τοῦτο λέγει, ὡς προσδο-

1. Ὅμηρος] Il. 11, 244.
2. χίλι' ὑπέστη B. χίλια I., omisso ὑπέστη.
ib. ἔστι δὲ om. B. in quo sequentia versui proximo sunt adscripta.
5. αὐτὸν om. B.I.
7. κακὸς A.B. κακὸν I.
8. ἀκλεὲς — ἄνδρα A. οὐ γὰρ εὐκλεὲς γυναῖκα καταλιπεῖν τὸν οἰκεῖον ἄνδρα, ἀλλὰ ἀκλεές B.I.
10. τὸν νόμον] τὸν om. B I.
ib. παρθένον πρὸ (παρὰ B.) τῶν πραγμάτων] παρθενίαν πάντων A.
11. ἀπιέναι] ἐπιέναι I.
12. τούτου] τούτο (sic) I.
ib. εἴτε κ.] ἢ κ. A.B.
13. παρὰ] περὶ I.
14. τύπους A. τόπους B.I.
18. ὅταν τι—λυπῇ om. I.
22. φησι A. λεχθείη B.I.
23. τύχας] τύχης A.
24. συνείληπται A.B. ἀνείληπται I. Schol. συνήλιπται scripserat.
25. αἰχμαλωτισθεῖσα addidi ex A. B. Ut glossema habet etiam Fl. 10.
ib. δὲ τοῦτο A. δὲ om. B.I.
ib. λέγει] ἔφη B.

κήσασα μὲν σύνοικον ἕξειν τὸν Ἰάσονα, δεινότερα δὲ αἰχμαλώτου πάσχουσα. A.B.I. λαφυραγωγηθεῖσα. Fl. 2.

258. μεθορμίσασθαι: λείπει τὸ ὥστε, ὥστε μεθορμίσασθαι. B.I. τὸ δὲ ἑξῆς, οὐ μητέρα, οὐκ ἀδελφὸν, οὐ συγγενῆ σχοῦσαν πρὸς τὸ καταφυγοῦσαν πρός τινα τούτων μεταβληθῆναι τῆς συμφορᾶς. ἡ μεταφορὰ ἀπὸ τῶν μεθορμιζόντων εἰς τοὺς εὐδιεινοτέρους τόπους. A. B.I.

263. φόβου πλέα: ἀντὶ τοῦ δειλότατον. ἀπὸ κοινοῦ τὸ τίσασθαι. B.

264. κακὴ δ' ἐς ἀλκήν: ἀντὶ τοῦ ἀσθενής. ὁ δὲ λόγος, πᾶσα μὲν γυνὴ δειλοτάτη ἐστὶν ἐν τοῖς ἄλλοις ἅπασι καὶ ἀσθενὴς, οὐδὲ εἰς τὸ ὁρᾶν γυμνὸν ξίφος καρτεροῦσα· ὅταν δὲ εἰς κοίτην ἄλλην ὁ ταύτης πόσις εἰσέλθῃ, τολμηροτάτη γίνεται. A.B.I.

267. ἐκτίσῃ: τιμωρήσῃ. Fl. 10.

268. πενθεῖν δ' οὔ σε θαυμάζω: οὐ θαυμάζω σὲ ἐπὶ τῷ πενθεῖν τὰς τύχας· δικαίως γὰρ πενθεῖς. B.I.

273. δισσὰ σὺν αὐτῇ τέκνα: Παρμενίσκος γράφει κατὰ λέξιν οὕτως· ταῖς δὲ Κορινθίαις οὐ βουλομέναις ὑπὸ βαρβάρου καὶ φαρμακίδος γυναικὸς ἄρχεσθαι, αὐτῇ τε ἐπιβουλεῦσαι καὶ τὰ τέκνα αὐτῆς ἀνελεῖν, ἑπτὰ μὲν ἄρρενα, ἑπτὰ δὲ θήλεα. (Εὐριπίδης δὲ δυσὶ μόνοις φησὶν αὐτὴν κεχρῆσθαι.) ταῦτα δὲ διωκόμενα καταφυγεῖν εἰς τὸ τῆς Ἀκραίας Ἥρας ἱερὸν, καὶ ἐπὶ τὸ ἱερὸν καθίσαι. Κορινθίους δὲ αὐτῶν οὐδὲ οὕτως ἀπέχεσθαι, ἀλλ' ἐπὶ τοῦ βωμοῦ πάντα ταῦτα ἀποσφάξαι. λοιμοῦ δὲ γενομένου εἰς τὴν πόλιν πολλὰ σώματα ὑπὸ τῆς νόσου διαφθείρεσθαι. μαντευομένοις δὲ αὐτοῖς χρησμῳδῆσαι τὸν θεὸν ἱλάσκεσθαι τὸ τῆς Μηδείας τέκνων ἄγος, ὅθεν Κορινθίοις μέχρι τῶν

3. τὸ ὥστε scripsi pro τὸ ὡς.
4. ἀδελφὸν] ἀδελφοῦ I.
ib. οὐ συγγενῆ σχοῦσαν A. οὐχὶ συγγενῆ ἔχουσαν (ἔχουσα B.) B.I.
5. καταφυγοῦσαν] ἀντιφυγοῦσαν A.
ib. μεταβληθῆναι] ἀντιβληθῆναι A.
6. εὐδιεινοτέρους B. Fl. 6. 15. εὐδιεινωτέρους A. ἀδειπνοτέρους I.
ib. τόπους] τρόπους A.
10. ὁ δὲ λόγος om. A.
11. ἐστὶν ἐν τοῖς] ἐστὶ τοῖς A.
ib. οὐδὲ—τολμηροτάτη A. οὐδὲ ὅσον γυμνὸν ἰδεῖν ξίφος—εἰς κοίτην ἀδικηθῇ (ἀδικηθῆν I.) τολμηροτάτη B.I.
18. ταῖς δὲ Κορινθίαις οὐ βουλομέναις] τὰς δὲ Κορινθίας οὐ βουλομένας Barnes. Non ausus sum imitari, quamvis nec ego, quid illi dativi sibi velint, assequar. Sed tuentur eos Flor. 6. 15. nec intelligi potest quomodo locus tam expeditus, accusativis in dativos mutatis, tantopere depravari potuerit. MATTH.
19. αὐτῇ B. αὐτῆν (sic) I.

καιρῶν τῶν καθ' ἡμᾶς καθ' ἕκαστον ἐνιαυτὸν ἑπτὰ κούρους καὶ ἑπτὰ κούρας τῶν ἐπισημοτάτων ἀνδρῶν ἀπενιαυτίζειν ἐν τῷ τῆς θεᾶς τεμένει, καὶ μετὰ θυσιῶν ἱλάσκεσθαι τὴν ἐκείνων μῆνιν, καὶ τὴν δι' ἐκείνους γενομένην τῆς θεᾶς ὀργήν. Δίδυμος δὲ ἐναντιοῦται τούτῳ καὶ παρατίθεται τὰ Κρεωφύλου ἔχοντα οὕτως· τὴν γὰρ Μήδειαν λέγει διατρίβουσαν ἐν Κορίνθῳ τὸν ἄρχοντα τότε τῆς πόλεως Κρέοντα ἀποκτεῖναι φαρμάκοις. δείσασαν δὲ τοὺς φίλους καὶ τοὺς συγγενεῖς αὐτοῦ φυγεῖν εἰς Ἀθήνας, τοὺς δὲ υἱοὺς, ἐπεὶ νεώτεροι ὄντες οὐκ ἠδύναντο ἀκολουθεῖν, ἐπὶ τὸν βωμὸν τῆς Ἀκραίας Ἥρας καθιεῖν, νομίσασαν τὸν πατέρα αὐτῶν φροντιεῖν τῆς σωτηρίας αὐτῶν. τοὺς δὲ Κρέοντος οἰκείους ἀποκτείναντας αὐτοὺς διαδοῦναι λόγους ὅτι ἡ Μήδεια οὐ μόνον τὸν Κρέοντα, ἀλλὰ καὶ τοὺς ἑαυτῆς παῖδας ἀπέκτεινε. γεγονέναι δὲ παραπλήσιον μυθεύεται καὶ περὶ τὸν Ἄδωνιν. B.I.

276. τερμόνων: τῶν τελευταίων τόπων. B. Fl. 10. ἡ δὲ εὐθεῖα τούτου τὰ τέρμονα. B.

278. ἐχθροὶ γὰρ ἐξιᾶσι: οἱ ἐχθροὶ οὐριοδρομοῦσι καθ' ἡμῶν καὶ ὥρμηνται πάντα τρόπον ἐφ' ἡμᾶς, ἀπὸ μεταφορᾶς τῶν οὐριοδρομούντων καὶ χαλώντων πρὸς τὸ πνεῦμα τοῦ ἀρτέμονος. B.I. κάλων: μηχανήν. Fl. 10.

279. εὐπρόσοιστος: εὐεπιβούλευτος καὶ ῥαδία πρὸς τὸ διαφυγεῖν αὐτήν. B.I.

281. ἀποστέλλεις: ἀντὶ τοῦ ἀπάγεις. ἐξεδέξαντο δὲ κατὰ ἀναστροφὴν ἀπὸ γῆς στέλλεις. B.I.

282. δέδοικά σ': τὸ ἐξῆς, δέδοικά σε μή μοί τι δράσῃς παῖδα. A.B.I.

παραμπίσχειν: παραμπέχειν, ἀντὶ τοῦ περικαλύπτειν. ὁ δὲ νοῦς, εὐσχημόνως οὐ δεῖ τοὺς λόγους λέγειν καὶ περιστέλλειν καὶ περικαλύπτειν, ἀλλ' ἐκ τοῦ ἐναντίου ἐμφαίνειν καὶ ἄντικρυς λέγειν ὅτι

2. ἐν (delevi ἐν) ἀπενιαυτίζειν ἐν τῷ B. ἐναπενιαυτίζειν τῷ I.
4. τούτῳ B. Fl. 15. τούτων Fl. 6., om. I.
5. Κρεωφύλου] κρεοφύλου B.
9. καθιεῖν (καθίσαι Matth.) hoc loco B. post ἀκολουθεῖν I.
17. ἐφ' ἡμᾶς B. Fl. 6. 10. 15. πρὸς ἡμᾶς I.
18. τοῦ ἀρτέμονος (ἀρτέμωνος B.I.)] τὸ ἄρμενον Fl. 10. τὸν ἀρτέμονα Matth.
22. ἀντὶ τοῦ om. I.
ib. ἀπάγεις] ἐπείγεις B. quod gl. est in Fl. 10.
24. παῖδα om. A.

δέδοικά σε. ἡ δὲ μεταφορὰ ἀπὸ τῆς ἀμπεχόνης. A. φυλάσσεσθαι, ἤτοι φυλάσσειν, περιστέλλειν, ἀποκρύπτειν. B.I. κρύπτειν. B.I.

283. ἀνήκεστον: ἀμήχανον, ἀθεράπευτον. B.

284. συμβάλλεται: ὑπόνοιαν δίδωσιν. B. rec.

285. ἴδρις: ἔμπειρος, φαρμακὶς καὶ μάγος. B.

289. δράσειν τι: κακοποιήσειν. καὶ τὸ μαλθακισθέντα δὲ ἀντὶ τοῦ ἀμελῶς προσενεχθέντα, ἢ μαλακισθέντα τοῖς σοῖς λόγοις. B.I.

290. ἀπέχθεσθαι: ἐχθρωδῶς διακεῖσθαι. Fl. 2.

291. μαλθακισθέντα: τοῖς σοῖς λόγοις ἁπαλυνθέντα. Fl. 10.

294. ἔβλαψε δόξα: δόκησις. B. ἡ ὑπόνοια τῆς σοφίας. B. ἀντὶ τοῦ, ἡ δόξα μου βλάπτει με. σὺ γὰρ νομίζων με σοφὴν, φησὶν, ἀπελαύνεις με δεδοικώς. B.I.

297. ἧς ἔχουσιν ἀργίας: τὸ "ἧς ἔχουσιν ἀργίας" εἶπεν, οὐχ ὡς τῷ ὄντι ἀργῶν ὄντων τῶν σοφῶν, προφανὲς γάρ ἐστιν ὅτι μέγιστος πόνος περὶ τὴν φιλοσοφίαν ἐστὶ καὶ σπουδή· καὶ Ἡσίοδος "τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν·" ἀλλ' ὡς πολλῶν δοξαζόντων οὐκ ὀρθῶς ἀργοὺς εἶναι τοὺς σοφούς. οἱ σοφοὶ οὖν, φησὶ, πρὸς τῷ δόξαν ἀργίας ἔχειν καὶ φθονοῦνται ὑπὸ τῶν ἄλλων ἀνθρώπων, ὅθεν, φησὶ, καλῶς ἔχειν κρίνω μὴ χρῆναι εἰς ἄκρον παιδεύσεως ἥκειν τινὰ, ἀλλὰ καὶ τούτων ἐντὸς εἶναι. τοῦτο δὲ οὐ δογματίζων ὁ ποιητὴς λέγει, ἀλλ' ἁρμοζόμενος πρὸς τὸ ὑφεστηκὸς ἦθος, ἐπεὶ δοκεῖ ἡ Μήδεια σοφίας ἔχουσα δόξαν βλάπτεσθαι. A.B.I.

1. φυλάσσεσθαι] παραμπίσχειν δὲ φυλάσσεσθαι B.

6. κακοποιήσειν in scholio om. B., sed habet gl. κακοποιῆσαι.

ib. καὶ τὸ—λόγοις] Haec in I. leguntur post ἀποκρύπτειν (schol. v. 282.) post quae sequitur δράσειν τι: κακοποιήσειν, et sic quidem scripta καὶ τὸ μαλθαχθέντα ἀντὶ τοῦ—ἢ μαλθακισθέντα τοῖς λόγοις. Correctum ex B..Fl. 6. 15.

11. ν. με] με ν. I.

ib. σοφὴν addidit Matth. Id pro φησὶν posuerat Barnes. post quod lacuna in I.

13. τὸ ἧς] τὸ δὲ A.

ib. οὐχ ὡς] ὡς οὐχ ὡς I.

14. προφανὲς] προφανὴς I.

ib. ἐστιν om. A.

15. ἐστὶ καὶ σπουδὴ add. B. Fl. 6. 15., om. I. In A est πόνος τῇ φιλοσοφίᾳ καὶ σπουδή.

ib. καὶ (καὶ om. B.) Ἡσίοδος—ἔθηκαν om. A. Locus Hesiodi est Op. 289.

16. προπάροιθεν ἔθηκαν] πρ° B., omisso ἔθηκαν.

ib. ἀλλ' ὡς] ἄλλως A.B. Fl. 6. 15.

17. οὖν, φησὶ proximumque καὶ om. A.

ib. πρὸς τῷ] πρὸς τὸ I.

20. ἀλλὰ—ἐντὸς εἶναι om. A. In B. est ἵνα καὶ τούτων ἐντὸς ᾖ.

ib. λέγει A.B. φησὶν I.

22. δόξαν A. δύναμιν B.I.

298. ἀλφάνουσιν: εὑρίσκουσιν, ἀπὸ τοῦ ἄλφα στοιχείου. B.I.

299. σκαιοῖσι: ὁ σοφὸς, φησὶ, καθ' ἑκάτερον ἀδικεῖται. ὑπὸ μὲν γὰρ τῶν ἀπαιδεύτων οὐ σοφὸς εἶναι νομίζεται, τοῖς δὲ ἐλλογίμοις λυπηρὸς εἶναι καταφαίνεται, ὅταν τοῦτο κρείττων νομισθῇ. τὸ δὲ δοκούντων οὐκ ἐπὶ ἀμφιβόλῳ κεῖται, ἀλλ' ἐπὶ τῇ τῶν τῷ ὄντι ὑπαρχόντων, ἢ δοκούντων, ἢ καὶ πρὸς εἰσβολὴν τῶν δοκούντων ἐλλογίμων, εἰ καὶ τῇ ἀληθείᾳ ἐλλόγιμοί εἰσι διὰ τὸ νοσεῖν τὸν φθόνον, ὃς οὐ πρὸς σοφοῦ. A.B.I. τοῖς ἀπαιδεύτοις, τοῖς ἀνοήτοις. B. καινά: παράδοξα. B.

301. τῶν δ' αὖ δοκούντων: τῶν δοκούντων, φησὶν, εἰδέναι τι κρεισσων νομισθεὶς ἐπαχθὴς ἔσῃ. ὅθεν συμβαίνει καὶ παρὰ τοῖς ἀπαιδεύτοις ἐπαχθῆ εἶναι, διὰ τὸ μὴ προσίεσθαι αὐτοὺς, καὶ παρὰ τοῖς συνετοῖς ὁμοίως, ἕνεκα τοῦ διαφέρειν δοκεῖν αὐτῶν, ἐπίφθονον καὶ λυπηρὸν γίνεσθαι. B.I.

303. κοινωνῶ: μεταλαμβάνω. Fl. 2.

304. ἐπίφθονος μὲν ζηλωτὴ τοῖς εἰδόσι, φθονουμένη, ἡσυχαία δὲ ἀνόητος, ἄχρηστος. τὸ δὲ θατέρου τρόπου ἢ πρὸς τὸ ἡσυχαία, ἵν' ᾖ συνετὴ, ἢ πρὸς τὸ τοῖς μέν εἰμ' ἐπίφθονος, ὅ ἐστιν ἐπίμεμπτος παρὰ τοῖς ἀπαιδεύτοις καὶ ἀμαθέσι νομίζομαι. A.B.I. ἢ τὸ θατέρου τρόπου ἀντὶ τοῦ ἐξηλλαγμένης πολιτείας, ὅ ἐστι φαρμακὶς παρὰ τοῖς ἀπαιδεύτοις καὶ μαθέσι νομίζονται. Fl. 6.

305. ἡσυχαία: μωρά. θατέρου τρόπου: ὀργίλος. Fl. 10.

προσάντης: ἐναντία εἰμὶ τοῖς ἀπαιδεύτοις, οὐδ' ἄγαν σοφή. B.I. ἐναντία, βαρεῖα. Fl. 10.

318. τοσῷδε δ' ἧσσον: τοσούτῳ δὲ, φησὶν, ὅσῳ γλυκεῖα μὲν εἶ τῷ λόγῳ, ἄλλα δὲ φρενεῖς, τοσούτῳ μᾶλλον ἀπιστότερος περὶ σὲ τυγχάνω ἢ πρὶν τῶν λόγων σου τούτων ἀκοῦσαι. A. rec. B.I.

2. σκαιοῖσι] κρείσσων νομισθεὶς A.
ib. ἑκάτερον] ἕτερον A.
3. εἶναι om. A.
4. καταφαίνεται—τοῦτο] ἀποφαίνεται—τούτων A.
5. ἀλλ' ἐπὶ τῇ—πρὸς σοφοῦ om. A. "Haec vix sana. Saltem τῇ delendum." MATTH.
6. ἢ καὶ] καὶ om. B.
ib. δοκούντων] φθονούντων B.
7. ὃς B. Fl. 6. 15. ὃ I.
11. ὅθεν] ὥστε B.
ib. ἐπαχθῆ] ἐπαχθὴς B.
16. μὲν om. I.
ib. φθονουμένη] φωνουμένη A.
ib. ἡσυχαία] ἡσυχία A.
17. ἀνόητος] καὶ ἀνόητος I.
ib. τὸ δὲ om. I.
19. παρὰ om. A.
ib. καὶ ἀμαθέσι νομίζομαι om. A.
23. οὐδ' B. καὶ οὐκ I.
26. περὶ σὲ om. B.I.

319. γυνὴ γὰρ ὀξύθυμος: πᾶσα γάρ, φησίν, ὀξύθυμος γυνή, ὁμοίως δὲ καὶ ἀνὴρ εὐμαρέστερον ἂν φυλαχθείη ἢ ὁ κρύπτων τὴν ὀργήν· τοὺς γὰρ φανερῶς ὀργιζομένους εὐμαρῶς προορᾶμεν φυλάξασθαι, τοὺς δὲ ἐν ἀφανεῖ κρύπτοντας τὴν μῆνιν οὐχ οἷόν τε διὰ τὸ ἀπρόοπτον. καὶ σὲ οὖν, φησὶ, σιωπηλὴν οὖσαν, οὐκ εὐμαρὲς φυλάξασθαι. A.B.I.

320. ῥᾴων φυλάσσειν: ἀντὶ τοῦ φυλαχθῆναι καὶ τηρηθῆναι, ἐνεργητικὸν ἀντὶ παθητικοῦ. τοῦτο δὲ ἔθος ὡς ἐπὶ τὸ πλεῖστον τοῖς Ἀττικοῖς. λέγεται δὲ καὶ σιωπηρός. Ἄλλως. ῥᾴων ἐστὶ φυλάττεσθαι, φησὶν, ὀξύθυμος ἀνὴρ, ὡσαύτως δὲ καὶ γυνή· φανεροὶ γάρ εἰσι καὶ πάντα ἐκχέουσιν ὀργιζόμενοι. ὁ δὲ σιωπηλὸς δυσπαραίτητός ἐστιν, ἐν ἑαυτῷ κρύπτων καὶ καιροφυλακῶν τὴν ὀργήν. B.I.

322. ἄραρε: τετύπηται. Fl. 10. κέκριται. B.

324. μὴ πρός σε: μέμφονται τῷ Εὐριπίδῃ ὅτι πεποίηκε τὴν Μήδειαν ἐξ ὧν λέγει φανερὰν γινομένην τῷ Κρέοντι, ὡς ὑπούλως ἔχει πρὸς τὴν νύμφην. A. rec. B.I.

327. ἢ δόμους ἐμούς: ὁ ἤ ἀντὶ τοῦ ἀλλά. B.

329. ναὶ ἡ πατρὶς, γλυκὺ πρᾶγμα δὲ χωρὶς τῶν τέκνων. γλυκύτερα γὰρ τὰ τέκνα τῆς πατρίδος. A. rec.

331. ὅπως ἂν, οἶμαι: ἐπεὶ καθόλου ἡ Μήδεια τὸν ἔρωτα κακὸν ἀπεφήνατο, ἐπεισήγαγεν ὁ Κρέων τοῦτο ἀναιρῶν, καὶ φησὶν ὅτι ὁ ἔρως οὐκ ἀεὶ κακὸς, ἀλλ' ὡς ἂν ἄγηται ὑπὸ τῆς τύχης καὶ παραστῇ ἡ τύχη πρὸς τὸ ἐρᾶν. πολλοὶ γὰρ ἐρασθέντες ἔτυχον. βλασφημεῖ δὲ τὸν ἔρωτα ἡ Μήδεια, ἐπεὶ καὶ ἐρασθεῖσα τοῦ Ἰάσονος ἐξέστη τῆς ἐλπίδος. οὗτος δέ φησι, μὴ καταμέμφου τοὺς ἔρωτας· ἔσθ' ὅτε γὰρ ἀγαθόν τι ποιοῦσιν, ἔσθ' ὅτε δὲ κακὸν, ὡς ἂν ἡ τύχη παραγένοιτο. B.I.

1. γὰρ om. A.
2. δὲ καὶ B. δ' ἂν καὶ A.I.
ib. φυλαχθείη] φυλαχθῆ A.
3. τοὺς γὰρ A. τούς τε γὰρ B.I.
ib. εὐμαρῶς om. A.
ib. φυλάξασθαι] φυλάττεσθαι I.
9. λέγεται δὲ καὶ σιωπηρός B. Fl. 6. 15. λέγει δὲ σιωπηλός I. In Fl. 6. praeterea adscriptum est σιωπηλός· ὁ κρύπτων τὴν ὀργὴν οὐχ οἷόν τε διὰ τὸ ἀπρόοπτον ex scholio v. 319.
15. φανερὰν γινομένην om. B.I.
21. ὅτι om. I.
22. τῆς τύχης]ταῖς τύχαις B.Fl.6.I.
ib. καὶ παραστῇ ἡ τύχη πρὸς τὸ ἐρᾶν addit Fl. 6., om. B.I., sed habet B. in altera margine ὅπως ἂν ἄγηται ὑπὸ τῆς τύχης καὶ παραστῇ ἡ τύχη πρὸς τὸ ἐρᾶν.
24. ἐξέστη] ἐψεύσθη Fl. 6. 15.
25. ἔσθ' ὅτε —] In A. scholion m. rec. μὴ μέμφου, φησὶ, τοὺς δρῶντας. ἔσθ' ὅτε τι ἀγαθὸν ποιοῦσιν, ἔσθ' ὅτε κακὸν——παραγένοιτο.

334. πονοῦμεν ἡμεῖς: ἐπεὶ εἶπεν ὁ Κρέων, καί μ' ἀπάλλαξον πόνων, φησὶ, ποίων πόνων; ἐγὼ γάρ εἰμι ἐν πόνοις οὖσα, καὶ οὐκ ὀφείλουσα ἄλλους πόνους ἀναδέχεσθαι ἐφ' οἷς ἔχω, ἀλλ' οὐκ ἐν σπάνει κακῶν ἐσμεν. σὺ γὰρ οὐ πονεῖς καὶ ἐν κακοῖς τυγχάνεις. ἐπεὶ δὲ εἶπεν ὁ Κρέων "καί μ' ἀπάλλαξον πόνων," φησὶ, ποίων πόνων; ἐγὼ γάρ εἰμι ἡ ἐν πόνοις οὖσα, καὶ οὐκ ὀφείλω ἄλλους ἀναδέχεσθαι πόνους ἐφ' οἷς ἔχω· ὥστε μήτε ἀπέλαυνέ με τῶν Κορινθίων καὶ τοῦτόν μοι προστίθει τὸν πόνον ἐφ' οἷς ἔχω· ἱκανῶς γὰρ ἔχω πόνων τῆς τε πατρίδος ἐστερημένη καὶ νῦν τὸν ἄνδρα ἀπολέσασα διὰ τὴν σὴν θυγατέρα. ὥστε τὸ πονοῦμεν ἡμεῖς διασταλτικῶς εἶπεν, οἷον ἐγὼ πονῶ, τοιαῦτα δεινὰ πεπονθυῖα, σὺ δὲ οὔ, μηδὲν χαλεπὸν ὑποστάς. B.I.

337. ὄχλον: ἐνόχλησιν. B. Fl. 10.

342. παισίν τ' ἀφορμήν: ἣν ἡμεῖς προβολὴν καλοῦμεν εἰς τὸ ζῆν οἱ Ἀττικοὶ ἀφορμὴν λέγουσιν. B.I. ἔξοδον. Fl. 2.

345. εἰκὸς δ' ἐστὶν εὔνοιάν σ' ἔχειν: οὐδὲν δὲ, φησὶν, ἀπεικὸς πατέρα σε ὄντα εὔνοιαν καὶ στοργὴν ἔχειν, ἣν ἂν πρέπῃ πατρὶ πρὸς παῖδας. ὅθεν οἰκτείρου με, εἰδὼς αὐτῇ πεῖρα τὴν πρὸς τὰ φίλτατα διάθεσιν. A.B.I.

348. λῆμα: φρόνημα. B. Fl. 10. ἔφυ: πέφυκε. Fl. 10. τυραννικόν: ὑπερήφανον. B. Fl. 10.

349. αἰδούμενος δὲ καὶ ὑποστελλόμενος πολλὰ διέφθειρα τῶν

3. ἀναδέχεσθαι A. qui priorem scholii partem usque ad ἐφ' οἷς ἔχω habet a m. rec. ἀνέχεσθαι B.I.

ib. ἐφ' οἷς ἔχω—] Flor. 6. 15. [et B.] ἐφ' οἷς ἔχω. Ἄλλως. οὐκ ἐν σπάνει. male; cohaerent enim ἐγὼ γάρ εἰμι ἐν πόνοις οὖσα, ἀλλ' οὐκ ἐν σπ. κ. e quibus haec verbis poëtae, κοὐ πόνων κεχρήμεθα, respondent. Illud vero ἄλλως libenter inter verba ἐν κακοῖς τυγχάνεις et ἐπεὶ δὲ εἶπεν ὁ Κρ. ponerem, ubi ad verbum fere repetuntur quae praecesserant. Certe quae ibi leguntur, ex integriore codice sumta esse videntur. In iis Barn. et Musgr. ἄλλους πόνους ἀναδέχεσθαι πόνοις ἐφ' οἷς ἔχω. Mihi potius alterutrum πόνους delendum videtur. MATTH.

4. ἐσμεν addidi ex B.

6. ἀναδέχεσθαι πόνους B. πόνους ἀναδέχεσθαι πόνους I.

13. ἐνόχλησιν B. ὄχλησιν Fl. 10.

15. λέγουσιν B. καλοῦσιν I.

16. δ' et σ' om. B.

ib. οὐδὲν δὲ] δὲ om. I. et ex quo οὐκ pro οὐδὲν annotatum A.

17. πατέρα σε] σε πάτερα A.

ib. πρέπῃ] πρέπει I.

ib. πατρὶ] πατέρα I.

18. οἰκτείρου] οἴκτειρον B.

ib. αὐτῇ] αὐτὴν I.

21. ὑπερήφανον B. ὑπερηφανές I.

ἐμῶν, ἢ καταφρονητικῶς διακείμενος πρὸς τοὺς ἀδικοῦντάς με. ἢ οὕτως, αἰδούμενος καὶ ὑποστελλόμενος πολλὰ διέφθειρα καὶ ἠφάνισα τῶν ἐμῶν ἐξαμαρτάνων. καὶ κατὰ τοῦτο γὰρ ἁμαρτίαν λογίζομαι ποιῶν καθ' ὃ οὐ τιμωροῦμαι τοὺς ἀδικοῦντάς με, εἴπερ κακία λογίζεται τὸ ὑπεξίστασθαι καὶ τοῦ οἰκείου, καὶ νῦν ὁρῶ καὶ νοῶ (νοῦς γὰρ ὁρᾷ καὶ νοῦς ἀκούει) ἁμαρτάνοντά με κατὰ τὸ ὑποστέλλεσθαι ἐμὲ καὶ αἰδεῖσθαι καὶ οἰονεὶ μαλθακίζεσθαι τοῖς σοῖς λόγοις, ὅμως δὲ τεύξῃ τοῦδε τοῦ μεῖναι μιὰν ἡμέραν. A. rec.

356. οὐ γάρ τι δράσεις: Δίδυμος μετὰ τοῦτο φέρει τὸ "σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος," καὶ μέμφεται τοῖς ὑποκριταῖς ὡς ἀκαίρως αὐτὸν τάσσουσιν. B.I.

364. κακῶς πέπρακται πανταχῇ, τίς ἀντερεῖ: ἀντὶ τοῦ οὕτω φανερῶς καὶ ἐναργῶς δυστυχοῦμεν καὶ ἐν κακοῖς ἐσμεν ὡς μηδένα δύνασθαι ἀντιλέγειν ὅτι οὐχ οὕτως ἔχομεν δυστυχίας. B.I.

365. ἀλλ' οὕτι ταύτῃ ταῦτα: ἀλλ' οὐχὶ κατὰ τοῦτο τὸ μέρος, φησί, κακῶς ἔχει τὰ καθ' ἡμᾶς, καθὸ πεισθεὶς ἡμῖν ἀπῆλθε Κρέων. τὸ ταύτῃ οὖν ἀντὶ τοῦ κατὰ ταύτην τὴν ὁδὸν καὶ τοῦτον τὸν τρόπον ταῦτα καλῶς πέπρακται. ἢ τὸ ταὐτά ὀξυτόνως, τουτέστιν ἀλλὰ κατὰ τοῦτο τὸ μέρος, καθὸ πεισθεὶς ἀπῆλθεν, οὐ ταὐτὰ τὰ πράγματα, ἀλλὰ καλλίονα. ἀμφότερα δὲ εἰς ταὐτὸ ἀναστρέφουσιν. Ἄλλως. τὸ ταῦτα πῇ μὲν περισπᾶται, πῇ δὲ ὀξύνεται, ὅ ἐστιν, ἀλλὰ κατὰ τοῦτο τὸ μέρος, καθὸ πεισθεὶς ἀπῆλθε Κρέων, οὐ ταὐτὰ τὰ πράγματά ἐστιν, ἀλλὰ βελτίονα. B.I.

366. ἀγῶνες: πανουργίαι ἐν ἐμοί. B.

367. κηδεύσασιν: καὶ τῷ Ἰάσονι καὶ τῷ Κρέοντι. B.

375. πόσιν τ' ἐμόν: πῶς ἐπαγγειλαμένη ἀνελεῖν τὸν Ἰάσονα οὐκ ἀνεῖλε; ἢ τάχα ἐπεὶ ἐλθὼν ὁ ἄγγελος μετὰ θάνατον Γλαύκης καὶ Κρέοντος ἐθορύβησεν αὐτὴν λέγων χρῆναι τάχιστα φυγεῖν· ἔνθα

5. νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει] Verba Epicharmi.

9. Δίδυμος —] Hic versus in codicibus nunc legitur post v. 40. loco alieno et post v. 379. Didymi annotationem ad v. 283., post quem verba v. 379 (ap. v. schol.) aptiora esse quam post v. 356., refert Elmsleius p. 129.

ib. τοῦτο] τοῦτον I.

10. μέμφεται] μέμφονται I.

18. ταὐτὰ Barn. ταῦτα B.I., hic et infra.

21. πῇ μὲν Matth. μὲν πῇ μὲν B.I.

22. ἀπῆλθε K.] κ. ἀπῆλθε B.

26. ἀνελεῖν post τὸν Ἰάσονα B.

καὶ φησὶ "Μήδεια φεῦγε." ὅθεν οὐκ ἔσχε σχολὴν τοῦτο ἐργάσασθαι. εὐθὺς οὖν καὶ ὁ Ἰάσων παραγίνεται πρὸς αὐτήν. B.I.

376. ὁδούς: βουλάς. B.

379. ἢ θηκτόν: ὧδε καλῶς κεῖται. Δίδυμος σημειοῦται ὅτι κακῶς οἱ ὑποκριταὶ τάσσουσιν ἐπὶ τῶν δύο τὸ "σιγῇ δόμους εἰσβᾶσα," καύσω ἢ σφάξω αὐτούς. B.I.

381. πρόσαντες: ἐμπόδιον. B. ἐναντίον. Fl. 10. εἰ ληφθήσομαι: σοφοῦ ἐστι τὸ τὰ ἀντιπίπτοντα λύειν. B.I.

382. τεχνωμένη: πρὸς τὸ ἐπελθεῖν αὐτοῖς κοιμωμένοις. B.I.

384. πεφύκαμεν: ᾗ μηχανῇ σοφαὶ ἐσμέν. κράτιστον δὲ, φησὶ, φαρμάκοις αὐτοὺς κτανεῖν, κατὰ τὴν ὁδὸν ἐν ᾗ σοφαὶ πεφύκαμεν μάλιστα, δηλαδὴ τῇ τῶν φαρμάκων. B.I.

387. ἐχεγγύους: ἀσφαλεῖς. Fl. 10. τὸ κατησφαλισμένον καὶ βέβαιον. B.

388. ῥύσεται: φυλάξει ἢ σώσει με. B. Fl. 6. 15.

οὐκ ἔστι: ἢ προπετῶς πρᾶξαί τι οὐκ ἔστιν, ἢ οὐκ ἔστι μοι φίλος οὐδεὶς ὁ μέλλων με ὑποδέχεσθαι καὶ κρύπτειν. B.I.

389. πύργος ἀσφαλής: ἀντὶ τοῦ ὀχύρωμα σωτηρίας. καταχρηστικῶς δὲ τὴν σωτηρίαν πύργον ὠνόμασε, παρὰ τοὺς ὑποδεδραμηκότας ὑπὸ πύργον ἐν τῷ πολέμῳ σώζεσθαι. Ἄλλως. εἰ μὲν εὕρω ἐχυρὰν καταφυγὴν, σιωπῇ μετέρχομαι φαρμάκοις τὸν πόνον· ἐὰν δὲ ἐλαύνῃ με ἡ ἐξορία, τότε ξίφος λαβοῦσα κτενῶ σφε φανερῶς, εἰ καὶ ἐμοὶ πρόσκειται συναπολέσθαι αὐτοῖς. B.I.

391. ἀμήχανος: ὅ ἐστι μὴ παρέχουσα μηχανὴν πρὸς τὸ κατα-
γοητεῦσαι αὐτοὺς τοὺς ἐχθρούς. B.I. ἀβοήθητος. B.

396. Ἑκάτην: ὅταν ᾗ τριῶν ἡμερῶν, σελήνη ὀνομάζεται, ὅταν δὲ ἓξ, Ἄρτεμις, ὅταν δὲ δεκαπέντε, Ἑκάτη. B.

ἑστίας ἐμῆς: τῆς πατρίδος ἢ τῆς οἰκίας τῆς ἐμῆς. B.

397. τὸ ἑξῆς οὐ γὰρ χαίρων τις αὐτῶν. B.

1. Μήδεια —] 1122.
4. Δίδυμος —] V. ad schol. v. 356.
5. δύο] β B. δυοῖν I.
8. τὸ om. I.
11. ἐν ᾗ—] ᾗ μηχανῇ σοφαὶ ἐσμέν. ἐν ποίᾳ; ἐν τῇ τῶν φαρμάκων, κράτιστον φησὶ φαρμάκοις etc. Fl. 6. 15.
20. πύργον] πύργου I.
ib. τῷ πολέμῳ] τῷ om. B.
21. ἐχυρὰν] ὀχυρὰν Fl. 6. 10. 15.
23. πρόσκειται] πρόκειται B.
26. Ἑκάτην—] Scholion ab alia m. antiqua in A. scriptum.
ib. ᾗ] ἔνι A.

399. κῆδος: ἡ ἐπιγαμβρεία. B.

400. ἀλλ' εἶα: ἀλλ' ἄγε δή, μηδὲν κρύπτε. ταῦτα δὲ πρὸς ἑαυτὴν παρακελεύεται. B. ἄγε, κρύπτου. Fl. 10.

402. εὐψυχίας: εὐανδρίας. B.

404. τοῖς Σισυφείοις: τοῖς Κορινθίοις, ἀπὸ Σισύφου προπάτορος. λέγει δὲ τῷ Κρέοντι καὶ τῇ τούτου θυγατρὶ Γλαύκῃ. B. Fl. 10.

407. ἐπίστασαι δέ: ἐπίστασαι δὲ μηχανὰς μέν τινας, δι' ὧν αὐτοὺς φονεύσεις. εἰ δὲ μὴ ᾔδεις, εἶχεν αὐτὸ τὸ ἔμφυτον ταῖς γυναιξὶν εὑρεσίκακον. B.I.

408. γυναῖκές ἐσμεν: ἀντὶ τοῦ εἰς μὲν τὰ ἀγαθὰ ἄποροι καὶ οὐχ ἱκαναὶ ἐξευρεῖν τὸ αἴτιον, εἰς δὲ τὰ κακὰ εὔποροι καὶ ἱκαναὶ καὶ ἐξευρητικαί. B.I. ἀγαθὰ μὴ δυνάμεναι βουλεύσασθαι, κακῶν δὲ πάντων ἐργαστήρια. B. ἀμηχανώταται: ἀφυεῖς. Fl. 10.

410. ἄνω ποταμῶν: θέλει εἰπεῖν ὅτι ἀντέστραπται ἡ φύσις· οὐκέτι γὰρ δόλιαί εἰσιν αἱ γυναῖκες, ἀλλ' οἱ ἄνδρες. παροιμία δὲ τοῦτο ἐπὶ τῶν εἰς τὰ ἐναντία καὶ παρὰ τὸ προσῆκον μεταβαλλομένων πραγμάτων, οἷον ἀντέστραπται τὰ πράγματα, ὥστε δολίους μὲν καὶ ἐπιψόγους φαίνεσθαι τοὺς ἄνδρας, τὰς δὲ γυναῖκας εὐγνώμονας καὶ δικαίας. λέγει δὲ ταῦτα διὰ τὸν Ἰάσονα. ἀντεστράφη, φησίν, ἡ τάξις, καὶ ἄνδρες μὲν δόλιοι καὶ ἄπιστοι γεγόνασι, γυναῖκες δὲ αἱ πρώην διαβαλλόμεναι ἔνδοξοι καὶ πισταί. A.B.I. Ἄλλως. βεβαίως, φησίν, ὅτι τῶν ποταμῶν αἱ πηγαὶ ἄνω χωροῦσιν. A.

412. ἀνδράσι μὲν δόλιαι βουλαί: ἀντὶ τοῦ καὶ τῶν ὅρκων καταφρονοῦσιν οἱ ἄνδρες. ταῦτα δὲ διὰ τὸν Ἰάσονα λέγει διὰ τὸ παραβῆναι τὰς συνθήκας τὰς πρὸς τὴν Μήδειαν. μεταβάλλουσι δὲ αἱ φῆμαι εἰς τὸ τὴν ἐμὴν βιοτὴν ἔχειν εὔκλειαν, οἷον ἀντιστρέφουσιν, ὥστε τὴν ἐμὴν βιοτὴν ἔχειν εὔκλειαν. τὸ δὲ ἐμήν κατὰ κοινοῦ εἴρη-

8. εἰ δὲ] εἰ δὲ καὶ B.
ib. εἶχεν] εἶχεν ἂν Matth.
ib. ἔμφυτον B. Fl. 6. 15. αἴτιον I.
10. γυναῖκές ἐσμεν] ἄλλως B.
15. παροιμία δὲ τοῦτο] ἄνω ποταμῶν: παροιμία A.
16. τὰ ἐναντία A. τὸ ἐναντίον B.I.
19. ἀντεστράφη, φησίν, ἡ τάξις] ἀντεστράφη δὲ ἡ σύνταξις A.
21. ἔνδοξοι post γυναῖκες δὲ A.
ib. καὶ πισταί om. A.
25. μεταβάλλουσι δὲ αἱ φῆμαι hic om. B., sed habet μεταβάλλουσιν αἱ φῆμαι post proximum ἔχειν εὔκλειαν.
26. εἰς] εἰς δὲ B.
27. ἔχειν εὔκλειαν] εὔκλειαν ἔχειν B. qui sequentia omittit.

κεν, οὐ δὲ ἑαυτὴν μόνην. Ἄλλως. λείπει τὸ εἰσί, θέλει δὲ εἰπεῖν ὅτι ἀντέστραπται ἡ φύσις· οὐκέτι γὰρ γυναῖκες δύλιαί εἰσιν. A.B.

413. τὰν δ' ἐμάν: τὸ ἑξῆς, τὰν δ' ἐμὰν βιοτὰν οὐδὲν ὡς ὁ λόγος ἀναστρέφεται, ὅτι ἄπιστοι μὲν οἱ ἄνδρες, πισταὶ δὲ αἱ γυναῖκες, καὶ ἐροῦσι πάντες τὸν ἡμέτερον βίον, τουτέστι τὴν γυναικείαν φύσιν, εὐκλεεστέραν εἶναι. B.I. ἐκ τῶν κατὰ τὴν Μήδειαν ἀδικημάτων ἐπελεύσονται τιμαὶ τῷ γυναικείῳ γένει, ἀνδρῶν ἀδίκων ἀποδειχθέντων, τῶν δὲ γυναικῶν ἔμπαλιν δικαίων. οὐκέτι γὰρ ῥηθήσεται τὸ οὐ δεῖ πιστεύειν γυναικί. καθόλου οὖν λέγεται ὅτι ἀντέστραπται τὰ πράγματα, διὰ τὸ δολίους μὲν καὶ ἐπιψόγους φαίνεσθαι τοὺς ἄνδρας, τὰς δὲ γυναῖκας εὐγνώμονας καὶ δικαίας. ταῦτα δὲ λέγει διὰ τὸν Ἰάσονα. B.I.

422. ὑμνεῦσαι: καὶ ἐπὶ κακοῦ τὸ ὑμνεῦσαι. λοιπὸν δὲ, φησὶν, αἱ Μοῦσαι αἱ τοὺς παλαιγενεῖς ἄνδρας τοὺς σοφοὺς παρορμήσασαι διασύρειν τὸ γυναικεῖον ἔθνος λήξουσι τῶν ἀοιδῶν τῶν καθ' ἡμῶν, ἐν αἷς ὡς ἄπιστοι διαβεβλήμεθα, τουτέστιν οὐκέτι τοῖς ποιηταῖς ἐμπνεύσουσι τὸ καθ' ἡμῶν τι λέγειν. ἢ Μοῦσαι παλαιγενέων τὰ ποιήματα τῶν πάλαι σοφῶν ποιητῶν, τουτέστι τὰ δὲ εἰρημένα τοῖς πάλαι σοφοῖς καθ' ἡμῶν, καὶ ἐν οἷς ποιήμασι διαβεβλήμεθα ὡς ἄπιστοι, ταῦτα σχολάσει καὶ λῆρος εἶναι νομισθήσεται, ἵν' ᾖ τὸ λήξουσιν ἀντὶ τοῦ παύσονται καὶ ἀφανισθήσονται. B.I.

424. οὐ γὰρ ἐν ἁμετέρᾳ: οὐ καθ' ἡμετέραν, φησὶ, γνώμην, οὐδὲ ὡς ἡμῖν ταῖς γυναιξὶν ἀρέσκει, ἐδωρήσατο τοῖς ἀνδράσιν ἐξ ἀρχῆς ὁ Ἀπόλλων τὸ δύνασθαι λέγειν· ἔδει γὰρ καὶ τῇ γυναικείᾳ φύσει τοῦτο δεδωρῆσθαι. καὶ τάχ' ἂν πολλαὶ, ποιήτριαι γενόμεναι, ἑαυτὰς μὲν ὑμνήσαμεν, τοὺς ἄνδρας δὲ ἐψέγομεν. ἢ τὸ ἐν ἡμετέρᾳ γνώμῃ ἀντὶ τοῦ γυναικείᾳ φύσει, οὐ δέδωκεν ὁ Ἀπόλλων, ἤτοι ἡμῖν ταῖς γυναιξὶ, τὸ δύνασθαι λέγειν. τὸ αὐτὸ δὲ δηλοῦται. Ἄλλως.

2. ἀντέστραπται] ἀπέστραπται A.
ib. δύλιαί εἰσιν] Sequuntur in A. folia 130b—136a. quae scholiis carent. In folio 136b. unum reperitur scholion ad v. 640, folio 137a. unum ad v. 641.
6. ἐκ τῶν—] Lemma τὰν δ' ἐμὰν εὔκλειαν praefixum in B.I.
9. οὖν B. γὰρ I.
ib. ἀντέστραπται] ἀνέστραπται B.I.
10. ἐπιψόγους B. Fl. 6. 15. ἐπιβούλους I.
15. διασύρειν] διασῦραι B.
ib. ἡμῶν B. Fl. 6. 15. ἡμᾶς I.
16. ἐμπνεύσουσι B. Fl. 6. 15. ἐμποδίσουσι I.
19. ὡς ἄπιστοι add. B. Fl. 6. 15.
21. παύσονται B. Fl. 6. 15. παύσουσι I.
25. ποιήτριαι—ἢ] ἡ ποιήτριαι—καὶ I.

οὐ γὰρ ἐν ἡμετέρᾳ γνώμῃ τὴν τῆς λύρας θέσπιν ἀοιδὴν ἐδωρήσατο ὁ Ἀπόλλων, οἷον οὐ δυναταί ἐσμεν ἡμεῖς αἱ γυναῖκες πειθήματα γράφειν, ἐπεὶ τάχα ἂν αἱ γυναῖκες ἀντεκωμῴδουν τοὺς ἄνδρας, τὴν δὲ ἑαυτῶν φύσιν ἐπῄνουν, κατὰ τὸν τοῦ λέοντος μῦθον. λέων γὰρ ἰδὼν λέοντα ὑπὸ ἀνδρὸς ἀγχόμενον ἐν γραφῇ εἶπεν καὶ ἡμεῖς εἰ ἤδειμεν γράφειν, ἢ πλάσσειν, ἔμπαλιν ἂν οἱ ἄνθρωποι ἐτίθεντο ἀγχόμενοι ὑπὸ λεόντων. B.I.

425. θέσπιν ἀοιδάν: θείαν καὶ θαυμαστὴν, περιφραστικῶς τὴν ἀοιδὴν, παρόσον ἴσως καὶ ἐν λύρᾳ ἐλέγετο μέλη ὄντα. B.

426. ἀγήτωρ: ἡγεμών. Fl. 10. μελέων: τραγῳδιῶν. B.

ἐπεὶ ἀντάχησεν: ταῦτα καὶ εἰς τὰ Ἡσιόδου καὶ Ὁμήρου "ὃς δὲ γυναιξὶ πέπoιθε" καὶ "ἐπεὶ οὐκέτι πιστὰ γυναιξί." συμβήσεται δὲ τῷ μετὰ ταῦτα πολλῷ χρόνῳ τάς τε γυναῖκας κατειπεῖν τῶν ἀνδρῶν καὶ τοὺς ἄνδρας κατὰ τῶν γυναικῶν, καὶ οὐκέτι μόναι γυναῖκες βλασφημηθήσονται. ἢ οὕτως, οἱ ὕμνοι τῶν μελῶν ἀντήχησαν ἂν πρὸς τοὺς ἄνδρας, ἀντεκωμῴδησάν τε καὶ ἀντιδιέβαλον ἄν, εἰ ὁ Ἀπόλλων ἐδωρήσατο ταῖς γυναιξὶ τὸ λέγειν. B.I.

430. μοῖραν: τὴν ἡμῶν μοῖραν καὶ τῶν ἀνδρῶν. μοῖραν δὲ τὴν μερίδα, ἀντὶ τοῦ συμβαίνει κατ' ἀλλήλων εἰπεῖν ἄνδρας καὶ γυναῖκας τῷ χρόνῳ. B.I.

431. σὺ δ' ἐκ μὲν οἴκων: ἐπιχειρεῖ ἀνδρῶν καὶ γυναικῶν εἰπεῖν κατ' ἀλλήλους παραπτώματα. Fl. 10.

433. μαινομένᾳ κραδίᾳ: μανίαν ἐχούσῃ τοῦ ἔρωτος. Fl. 6. ὁρίσασα: ἀντὶ τοῦ διαστείλασα καὶ διεξελθοῦσα τὰς Συμπληγάδας, ἤτοι διαπλεύσασα καὶ διελθοῦσα, παρόσον δύο τινῶν ὑποκειμένων ὁ διὰ μέσου γινόμενος ἑκάτερον ὁρίζει. καὶ Ἡρόδοτος δείξειε "δεξιὰ μὲν ὁρίζων." ἀεὶ γὰρ ὁ μέσον τινῶν γινόμενος διορίζει τὸ μὲν ἔνθεν, τὸ δὲ ἔνθεν. B.I.

436. ἀνάνδρου: κακοάνδρου. B.

439. οὐδ' ἔτ' αἰδώς: παρὰ τὰ Ἡσιόδου "λευκοῖσιν φαρέεσσι καλυψαμένη καὶ αἰδὼς καὶ νέμεσις." Fl. 6. 15.

1. ὁ et οἷον om. I.
4. παρὰ (sic) τὸν τοῦ λέοντος μῦθον margo B.
11. Ἡσιόδου] Op. 375.
ib. Ὁμήρου] Od. 11, 456.
16. ἀντεκωμῴδησαν τε καὶ ἀντιδιέβαλον Elmsleius pro ἀντεκωμῳδήσαντο καὶ ἀντιδιέβαλλον.
26. διὰ μέσου] μέσων I.
27. μέσον] μέσων I.
30. Ἡσιόδου] Op. 198.

442. δόμοι: λείπει τὸ πάρεισιν. B.

444. μόχθων: διὰ μόχθους τῶν λέκτρων. Fl. 10.

445. βασίλεια: ἡ Γλαύκη. Fl. 10.

ἐπέστα: ἐπῆλθε τῷ ἀνδρί. οἴκου γὰρ σύστασις ὁ ἀνήρ. B.

447. ἀμήχανον: ἄμαχον. B.

449. κρεισσόνων: ἀντὶ τοῦ κρατούντων. κρατεῖ γὰρ γυναικὸς ὁ ἀνὴρ, καὶ κατὰ τοῦτο κρείττων ἐστὶν, ὑποτεταγμένην ἔχων τὴν γυναῖκα. κρειττόνων οὖν ἀντὶ τοῦ κρείττονος, πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ, ἐπὶ αὐτοῦ τοῦ Ἰάσονος. B.I. κρεισσόνων: ἐμοῦ τοῦ κρατοῦντος σοῦ. Fl. 10.

451. κἀμοὶ μέν: κἀμοὶ μὲν, φησὶν, οὐδὲν μέλει περὶ ὧν σὺ λέγεις κατ' ἐμοῦ· ὑπὲρ ὧν δὲ κατὰ τοῦ βασιλέως τετόλμηκας εἰπεῖν, ἀγάπα φυγῇ ζημιουμένη, καὶ μὴ μείζονι κακῷ περιπίπτουσα. οἷον, ἐπικερδὲς ἡγοῦ τὸ φυγῇ ζημιοῦσθαι μόνον καὶ μὴ μείζονι περιπεσεῖν αἰκίᾳ, διὰ τὰ εἰς τοὺς τυράννους εἰρημένα σοι δύσφημα. B.I. οὐδὲν πρᾶγμα: φροντὶς ὧν λέγεις κατ' ἐμοῦ. Fl. 10.

458. ὅμως δέ: ὅμως δὲ, καίπερ βλασφημησάσης με καὶ κακῶς διαθεμένης τὰ περὶ ἐμὲ καὶ σὲ καὶ μελλούσης ἐκβάλλεσθαι τῆς πόλεως οὐχ ὑπερηφανῶ, ἀλλ' ἦλθον πρὸς σὲ, οὐ παντελῶς ἀπεγνωκὼς τὴν πρὸς σὲ φιλίαν. B.I. τῶνδε: ὧν λέγεις κατ' ἐμέ. Fl. 10. οὐκ ἀπειρηκώς: ἀντὶ τοῦ οὐκ ἀπαρνούμενος τοὺς φίλους. B. Fl. 6.

459. τὸ σόν: τὸ κατὰ σέ. Fl. 10.

461. ἐφέλκεται: ἐπάγεται, ἐπισύρεται. B.

465. ὦ παγκάκιστε, τοῦτο γάρ σ' εἰπεῖν ἔχω: τοῦτο γὰρ εἰπεῖν ἔχω σοι μέγιστον κακὸν διὰ τὴν ἀσθένειαν τὴν ἐμήν· γυνὴ γάρ εἰμι καὶ ἀσθενὴς, μὴ δυναμένη χερσὶν ἐπιτιμωρήσασθαι· διὸ τῇ διὰ τοῦ στόματος κατηγορίᾳ κολάζω σε. ἢ εἰς ἀντὶ τῆς διά, δι' ἀνανδρίαν. τοῦτο δέ φησιν ὡς μὴ δυνηθέντος αὐτοῦ χωρὶς αὐτῆς ἀνύσαι τὸν ἆθλον. οὗτος γὰρ ὁ Ἰάσων ἀποσταλεὶς παρὰ τοῦ Πελίου ἀνεῖλε τὸ χρυσοῦν δέρας ἀπὸ τῶν Κόλχων διὰ φαρμάκων τινῶν τῆς Μηδείας, ὡς ἐρασθείσης αὐτοῦ. B.I.

466. εἰς ἀνανδρίας: ἤτοι ὡς θυμουμένη ἄνανδρον αὐτὸν ἀποκαλεῖ. τῶν γὰρ λοιδορουμένων οἰκεῖον καὶ τὰ μὴ προσόντα πολλάκις προφέ-

6. κρεισσόνων: ἀντὶ τοῦ om. I.
18. διαθεμένης B. διατιθεμένης I.
27. ἀντὶ τῆς] ἀντὶ τοῦ I.
33. προφέρειν] προσφέρειν B.

ρειν. ὀνειδίζει δὲ αὐτῷ ἀσθένειαν ὡς μὴ δυνηθέντι ἄνευ αὐτῆς ἀνύσαι τοὺς ἄθλους. B.I.

469. οὗτοι θράσος: οὐ θράσος ἐστὶ κακῶς φίλους δράσαντα ἐναντίον βλέπειν, ἀλλὰ μᾶλλον ἀναίδεια. τινὲς δὲ ἐπιλαμβάνονται τοῦ Εὐριπίδου ὡς κακῶς εἰρηκότος· τὸ γὰρ θράσος ἔδει μᾶλλον εἰπεῖν θάρσος. διαφέρει γὰρ ὡς ἀρετὴ κακίας· τὸ μὲν γὰρ ἐπὶ κακοῦ καὶ ῥιψοκινδύνου τάσσεται, τὸ δὲ ἐπὶ ἀγαθοῦ. ὅθεν οἱ παλαιοὶ αὐτὸ διώρισαν οὕτως, ὅτι θάρσος μὲν τὸ τῆς ψυχῆς παράστημα μετὰ λογισμοῦ, θράσος δὲ ἡ ἀλόγιστος τόλμη. B.I.

473. τὸ ἑξῆς, λέξασα κακῶς σε κουφισθήσομαι τὴν ψυχὴν καὶ σὺ ἀκούων λυπηθήσῃ. οἵδε γὰρ, φησί τις σοφὸς, καὶ νεφέλη τὸν ὄμβρον ἀποβαλοῦσα κουφίζεσθαι καὶ ψυχὴ τὰ ἑαυτῆς ἐξηγουμένη κακὰ ἐλαφρύνεσθαι. B.

475. ἐκ τῶνδε πρώτων: ἀπὸ τῶν πρώτων δὲ εὐεργεσιῶν προκατάρξομαι νυνί. πρῶται δὲ εὐεργεσίαι αἱ ἐπὶ Σκυθίᾳ, ὅτε ὁ Ἰάσων παρὰ τοῦ Αἰήτου ἐκτελέσαι τοῦτον τὸν ἆθλον κελευσθεὶς, τὸ σιδηραῖς ζεύγλαις τοὺς πυριπνόους ζεῦξαι βόας καὶ σπεῖραι τοὺς δρακοντείους ὀδόντας, δι' αὐτῆς τοῦτο ἐξετέλεσεν. B.I.

476. ἔσωσά σ', ὡς ἴσασιν: πλεονάζει ὁ στίχος τῷ σ. ὅθεν καὶ Πλάτων ἐν ταῖς Ἑορταῖς φησιν "ἔσωσας ἐκ τῶν σίγμα τῶν Εὐριπίδου." καὶ Εὔβουλος ἐν Διονύσῳ "Εὐριπίδου δ' ἔσωσας, ὡς ἴσασί σοι." καὶ

> ὦ παρθέν', εἰ σώσαιμί σ', ἔξεις μοι χάριν
> καὶ τοῖς ἐμοῖσιν ἐγγελῶσι πήμασι
> τὰ σίγμα συλλέξαντες, ὡς αὐτοὶ σοφοί.

B.I.

482. ἀνέσχον: ἀνέδειξα. Fl. 10.

3. Verba οὐ θράσος ἐστὶ et ἀλλὰ μᾶλλον ἀναίδεια et εἰρηκότος ex [B.] Flor. 6. 15. addidi. Iidem [et B.] paulo post οἱ παλαιοὶ suppeditarunt pro οἱ ἀγαθοί. MATTH.

4. τοῦ om. I.

6. διαφέρει γὰρ B. διαφέρει δὲ I.

15. εὐεργεσίαι add. B. Fl. 6. 15.

ib. ὁ Ἰάσων] ὁ om. I.

19. τῷ σ] τὸ σ B.

20. πλάτων B. ὁ πλάτων I.

ib. σίγμα τῶν Porsonus ad Med. 476. pro σιγμάτων.

21. Διονύσῳ Matth. pro Διονυσίῳ, quod est in B. Fl. 6. 15. In I. Διονυσίῳ Εὐριπίδου omissa.

23. ὦ παρθέν', εἰ σώσαιμί σ', ἔξεις] παρθενεύεις ἔξεις B. Fl. 6. 15. παρθενεύσης ἔξει I. Correctum ex versu Euripidis Andromedae ὦ παρθέν', εἰ σώσαιμί σ', εἶσει μοι χάριν ap. Diog. L. 4, 29. aliosque.

24. ἐγγελῶσι Porsonus pro ἀγγελοῦσι.

485. σὺν σοί, πρόθυμος μᾶλλον ἢ σοφωτέρα : ἀντὶ τοῦ ἔρωτι μᾶλλον τῷ πρὸς σὲ νικωμένη ἢ μετὰ λογισμοῦ τι πράττουσα. B.I.

487. πάντα δ' ἐξεῖλον : ἀντὶ τοῦ ἐπόρθησα· ἐὰν δὲ φόβον γράφηται, ἐξεῖλον ἀντὶ τοῦ διέφθειρα καὶ ἠφάνισα. B.I. φόβον : γρ. δόμον. B.

496. ἐλαμβάνου : παρακαλῶν δηλονότι. B. Fl. 10.

497. κεχρώσμεθα : παρεκλήθημεν καταχρωσθέντες καὶ σχεθέντες. οἱ γὰρ ἱκετεύοντες τῶν γονάτων ἐφάπτονται. B. παρεκλήθημεν. Fl. 10. ἐμολύνθημεν. B. Fl. 15.

499. κοινώσομαι : διαλεχθῶ. Fl. 10.

500. δοκοῦσα μέν τι : γρ. δοκοῦσα μή τι. B. ἀντὶ τοῦ οὐδὲν προσδοκῶσα παρὰ σοῦ πράξειν καλῶς. ταῦτα δὲ ἐν ἤθει προενεκτέον. φέρε δή, ὡς φίλῳ σοι διαλεχθῶ, καίτοι προσδοκῶσά τι πράξειν καλόν, καὶ διαλεγομένη καὶ οὐδὲν ὠφελήσοντί με, ὅμως ἐρωτήσω. οὕτω γὰρ ἂν πικροτέρως ἐλεγχθείης, οὐδὲν ἔχων πρὸς ἔπος ἀποκρίνασθαι. διαστῆσαι δὲ δεῖ κατὰ ἀνάγνωσιν τὸ τί. ἐκ δὲ τῆς ὑποκρίσεως ἐμφαίνει τὸ οὐδέν τι. παθητικὴν δὲ ὑπόκρισιν δηλοῖ τὸ τί. καίτοι γέ τι δοκοῦσα πράξειν παρὰ σοῦ. B.I.

501. αἰσχίων φανεῖ : οὐδὲν ἔχων ἀποκρίνεσθαι. Fl. 10.

506. οἴκοθεν φίλοις : συγγενέσι. Fl. 10.

516. κίβδηλος : ῥυπαρός. Fl. 10.

521. δεινή τις ὀργὴ καὶ δυσίατος πέλει : ἡ διστιχία τοῦ χοροῦ ἐστι. κατὰ δὲ τούτους ἤδη τὰ τῶν χορῶν ἠμαύρωτο. τὰ μὲν γὰρ ἀρχαῖα διὰ τῶν χορῶν ἐπετελεῖτο· ὅθεν καὶ Εὔπολίς φησι " τίς χορὸς

3. ἀντὶ τοῦ ἐπόρθησα] Haec interpretatio ad δόμον spectat in libris quibusdam pro φόβον lectum.
ib. φόβον scripsi pro φόβου.
ib. γράφηται] γρ. B. γράφεται Fl.
6. 15. γὰρ I.
6. δηλονότι om. Fl. 10.
9. ἐμολύνθημεν] ἐμόλυν (hoc accentu) B. ἐμολύνθη Fl. 15.
12. παρὰ σοῦ add. B.
ib. προενεκτέον] προσενεκτέον B.
13. δὴ om. B.
14. καὶ οὐδὲν] καὶ delet Elmsh.
22. διστιχία Elmsleius. δυστυχία B. Fl. 6. 15. δυστοιχία I.
23. ἠμαύρωτο Hermannus pro ἠμαύρωται (ἠμαύρωτε B.) Similiter Aeschylus τὰ τοῦ χοροῦ ἐλαττῶσαι ab scriptore vitae dicitur. Videntur autem post ἡ διστιχία τοῦ χοροῦ ἐστι nonnulla excidisse.
24. ὅθεν καὶ B. ὅθεν ὁ I.
ib. τίς Elmsleius pro τί. Verba Eupolidis defecta sunt, nonnullis post εἶπωμεν omissis. Literae corruptae πυριανι non constat utrum verba sint poetae an ex scholiastae oratione relictae, quae verbis ἵν' ἦ καὶ ταῦτα ἰαμβεῖα δύο finita fuit.

οὗτος, κλαίειν εἶπωνεν πυριανί," ἵν' ᾖ κατ' αὐτὰ ἰαμβεῖα δύο. B.I.

522. κακόν: ἀντὶ τοῦ ἀσθενῆ πρὸς τὸ λέγειν, ἀλλ' ἐκ τῶν ἐναντίων ῥήτορα καὶ δεινὸν εἰπεῖν. B. Fl. 6. ἀντὶ τοῦ ἐπιτήδειον εἰς τὸ λέγειν. Fl. 2.

524. κρασπέδοις: περιφραστικῶς εἶπεν ἀντὶ τοῦ παντὶ ἁρμένῳ. ὑπεκδραμεῖν δὲ, ἤγουν δεῖ μὲν ὑπεκδραμεῖν τὴν σὴν γλωσσαλγίαν, καθάπερ κυβερνήτης τοῖς κρασπέδοις τοῦ λαίφους χρώμενος ἐκφεύγει. B.I. κράσπεδα καταχρηστικῶς τὰ ἄκρα τέλη τοῦ ἁρμένου. ἄκροις οὖν κρασπέδοις τοῖς ἀνωτάτω μέρεσι. B.

526. πυργοῖς: ἀντὶ τοῦ αὔξεις καὶ μεγαλύνεις. χάριν δὲ λέγει τὸ προσεσωκέναι αὐτὸν πανταχοῦ. B.

527. Κύπριν νομίζω τῆς ἐμῆς ναυκληρίας: ἐγὼ νομίζω, φησὶν, ὑπὸ τῆς Ἀφροδίτης σεσῶσθαι, ἣν μόνην φησὶ τῶν ἄλλων ἀνθρώπων καὶ θεῶν ἰσχύειν πλέον· τοῦτο γὰρ λείπει. μόνην φησὶ τὴν Ἀφροδίτην σεσωκέναι αὐτὸν, καὶ οὐδένα ἀνθρώπων οὐδὲ θεῶν. τοῦτο δὲ ψεῦδος· φαίνεται γὰρ τὴν Ἥραν προστάτιν ἐσχηκὼς, ἐξ αὐτῆς ὅλως καὶ ὑπὸ ταύτης παρορμηθεὶς εἰς τὸν ἆθλον, ὑφ' ἧς εἰκὸς αὐτὸν σεσῶσθαι, ἵνα τὸν Πελίαν φονεύσῃ ἐχθρὸν ὄντα τῆς Ἥρας. ἔστι δὲ ἡ Ἀθηνᾶ, ἣ κινδυνεύουσαν τὴν ναῦν προσραγῆναι ταῖς πέτραις ἀνεσώσατο. B.I. ναυκληρίας δὲ ἤγουν ἀποδημίας καὶ πλοῦ. B.

529. ἐπίφθονος: ὑπὸ φθόνου κατεχόμενος ὁ λόγος οὗτος, λέγω δὲ

1. πυριανί B. πυρανί ex Fl. 6. 15. affertur. πυράμου I. quod Arsenii inventum esse videtur.
ib. κατ' αὐτὰ B. κατὰ ταὐτὰ I. Scribendum haud dubie καὶ ταῦτα.
ib. ἰαμβεῖα] ἰαμβία B.
ib. δύο (δύοι B.) add. B. Fl. 6. 15. om. I. Post δύοι B. pergit κρασπέδοις: περιφραστικῶς εἶπεν etc. in margine exteriore, illo vero scholio ἀντὶ τοῦ ἀσθενῆ—εἰπεῖν in margine interiore posito.
6. περιφραστικῶς] Hoc ex καταχρηστικῶς corruptum videtur, quod legitur in scholio proximo.
ib. ἁρμένῳ] ἁρμέῳ B. et mox ἁρμένου.
8. λαίφους] λέφους I.
11. μεγαλύνεις est etiam in Fl. 10. et (ad χάριν) τὸ πρὸς σὲ (σοῦ corrigit Matth.) σωθῆναί με.
14. ὑπὸ B. Fl. 6. 15. ἀπὸ I.
ib. τῶν ἄλλων I. μᾶλλον B. Fl. 6. 15.
15. πλέον add. B., om. I.
ib. λείπει B. Fl. 6. 15. ἐστιν I.
16. ἀνθρώπων—θεῶν B. ἄνθρωπον—θεὸν I.
ib. ψεῦδος B. ψευδές I.
17. ὅλως] ὅλον B.
18. εἰς B. ἐπὶ I.
22. ἐπίφθονος] δὲ addit B. in quo haec leguntur post scholion v. 530.
ib. οὗτος Barnesius (quod in Fl. 6. 15. esse Matth. ex silentio collegisse videtur.) οὕτως B.I.
ib. λέγω B. Fl. 6. 15. λέγη I.

τὸν ἔρωτα σεσωκέναι με. ἐρασθεῖσα γὰρ αὐτοῦ ἡ Μήδεια ἔσωσεν αὐτόν. δύναται δὲ καὶ οὕτως νοηθῆναι, ἐπίφθονος ὁ λόγος ῥηθῆναι, τουτέστι κινεῖ μοι φθόνον ὁ λόγος. ἀλαζονεύσομαι, φησὶν, ὑπὲρ ἐμαυτοῦ, ὅτι ὁ ἔρως ὃν ἠράσθης μου σέσωκέ με. Ἄλλως. ἐμὸς λόγος, φησὶ, λεπτὸς μὲν, ἐπίφθονος δὲ, τουτέστι φθονηθησόμενος μὲν, δυνάμενος δὲ διαδῦναι παντὸς τοῦ ἰσχνοῦ. ἐὰν γάρ τις ἀκριβῶς ἐξετάσῃ, ὁ ἔρως σ' ἠνάγκασε τόξοις ἀφύκτοις τοὺμὸν ἐκσῶσαι δέμας. οἷον, οὐκ εἰς χάριν τὴν ἐμὴν, ἀλλὰ κατὰ ἀνάγκην ταῦτα ἔπραξας, καὶ τῶν ἀφύκτων πόνων ἐξέσωσας τοὺμὸν σῶμα. ἢ οὕτως, καὶ σὺ μὲν, φησὶ, συνορᾷς, ἅτε δὴ λεπτὸν καὶ ὀξὺν ἔχουσα τὸν νοῦν, ὅτι ἡ Ἀφροδίτη με ἔσωσεν, ἀλλ' ὑπὸ φθόνου ὁ λόγος σοι ὑποφέρεται, ὅς ἐστιν ἀληθὴς, τὸ τὸν ἔρωτά με σεσωκέναι. B.I.

530. λόγος διελθεῖν: ἀντὶ τοῦ παρελθεῖν καὶ εἰπεῖν. B.I.

532. ἀλλ' οὐκ ἀκριβῶς: οἷον, οὐκ ἀκριβολογοῦμαι περὶ τούτου, ἀλλὰ δίδωμί σοι τῷ λόγῳ ὠφεληκέναι. κἀγὼ μὲν ὁμολογῶ ὅτι ἔνθα με ὠφέλησας καλῶς ἔχει. B.I.

533. ὅπη γὰρ οὖν ὤνησας: ἔνθα γὰρ, φησὶν, ὠφέλησας, οὐ κακῶς ἔχει, ἢ ὅτι ὠφέλησας. ὅθεν μεθίημι τὰς ἀποδείξεις τοῦ μηδὲν ὠφελῆσθαι παρὰ σοῦ, τοῦ πράγματος οὐ καλῶς ἔχοντος. B.I.

538. νόμοις τε χρῆσθαι: ἐπιλαμβάνονται τοῦ ἐπιχειρήματος· ἔδει γὰρ αὐτὸν ταῦτα λέγοντα ποιεῖν μηδὲν ἄδικον. πρὸς γὰρ τὸν λέγοντα ὅτι νόμοις ἐπίσταται χρῆσθαι εἶποι ἄν τις εἰκότως, ἀλλὰ σὺ οὐκ ἐπίστασαι νόμοις χρῆσθαι, ἀλλὰ καὶ τοὺς ὅρκους παραβέβηκας καὶ τὰς δεξιὰς, καὶ τὰ τέκνα καὶ τὴν γυναῖκα προδέδωκας, ὅπως τὴν τοῦ τυράννου θυγατέρα λάβῃς. τοῦτο δὲ ἕνεκα φιλοδοξίας. καὶ γὰρ ὅτε ἔλεγεν, ἧκω, ὅπως σοι ἐπαρκέσω, καταμωκώμενος ἔλεγεν. ἥκιστα οὖν ἔδει νῦν τὰ τῶν νόμων παραλαμβάνειν, μέλλοντα πρόσωπον τοιοῦτον εἰσάγειν παραβεβηκὸς τοὺς νόμους. ἢ οὕτως, μὴ βίᾳ πράττειν, ἀλλὰ νόμοις χρῆσθαι, μὴ πρὸς χάριν κειμένοις, ἀλλ' ἴσοις καὶ δικαί-

2. ἐπίφθονος] καὶ ἐπίφθονος I.
4. ἐμὸς] ἐμοὶ B.
6. διαδῦναι] διαδῦναται (literis αται per compendium expressis) B. διαδύναται I. διαδύεσθαι posuit editor Basileensis.
ib. ἐξετάσῃ] ἐξετάζῃ B.
11. ὑποφέρεται] οὐ προφέρεται B.
12. με σ. B. σ. με I.
14. οἷον B. ἀλλ' I.
18. ὠφέλησας Barnes. οὐκ ὠφέλησας B. Fl. 6. 15. 1.
19. οὐ καλῶς] οὐκ ἄλλως Fl. 6. 15. Post ἔχοντος I. pergit αὐχῶ παρακρύπτειν. πανουργεῖ τολμᾷ, ex scholio v. 582. omissis scholiis v. 538—579.

οις, τουτέστι μὴ τὸ κεχαρισμένον τοῖς δυνατοῖς ἔχουσιν, ἀλλὰ τὸ πᾶσιν. Ἄλλως. τὸ χάριν γράφεται θράσει. ἐπιλαμβάνονται δὲ τοῦ χωρίου τούτου· εἶποι γάρ τις, ἀλλὰ σὺ οὐκ ἐπίστασαι νόμοις χρῆσθαι, ὅρκους καὶ δεξιὰς παραβαίνων. B. Fl. 6. 15.

540. ἐσχάτοις: ἐν τῇ Σκυθίᾳ, ἐν τῇ Κολχίδι λέγει. B.

543. μήτ' Ὀρφέως: οὔτε τοῦ πλούτου, φησὶν, οὐδὲν ὄφελος οὔτε τῆς θειοτάτης σοφίας, εἰ μὴ καὶ διαβόητοι εἶεν καὶ ἐπισημότατοι οἱ ταῦτα κεκτημένοι, ὅτι πρὸς τὴν δόξαν ἅπαντα δεῖ πράττειν, καὶ μήτε πλουτοῦντα κρύπτειν τὸν πλοῦτον μήτε τοὺς ἐλλογίμους τὴν ἀρετήν. B. Flor. 6. 15.

552. πολλὰς ἐφέλκων: πολλὰ γὰρ ἐφέλκεται κακὰ ἡ φυγὴ σὺν αὐτῇ. ἀμηχάνους δὲ διὰ τὸ ἐκβεβλῆσθαι τῆς πατρίδος. B. Fl. 6. 10. 15.

555. οὐχ ᾗ σὺ κνίζῃ: οὐχ ᾧ τρόπῳ σὺ λυπουμένη νομίζεις ὅτι τὸ μὲν σὸν μισῶν λέχος, ἐκείνης δὲ ἐρῶν ἔγημα αὐτήν. B. Flor. 6. 15.

557. οὐδ' εἰς ἅμιλλαν: οὐ σπουδάζων πλείονα τέκνα ποιῆσαι. B. Flor. 10.

564. εἰς ταὐτό θείην: ἐξ ἴσης τιμήσαιμι. B. εἰς τὴν αὐτὴν αὐτοῖς τύχην προάξαιμι. B. Flor. 10.

συναρτήσας: συνάψας. B. Fl. 10.

566. ἐμοί τε λύει: καὶ ἐμοὶ, φησὶ, λυσιτελεῖ τὸ διὰ τῶν μελλόντων ἐκ ταύτης ἔσεσθαί μοι παίδων ὠφελῆσαι τοὺς ἐκ σοῦ· κοινωνοὶ γὰρ ἔσονται τῆς βασιλείας. B. Flor. 6. 15.

569. ὀρθουμένης εὐνῆς: ἀντὶ τοῦ ὑγιοῦς οὔσης, ὀρθῶς προχωρούσης, ἢ ὀρθῆς καὶ ἀμεταβλήτου οὔσης. ὑμεῖς συγκαθεύδουσαι τοῖς ἀνδράσι εὐδαιμονίαν ἔχειν νομίζετε. B. Flor. 6. 15.

579. ᾗ πολλὰ πολλοῖς: ὄντως δὴ, φησὶν, ἐγὼ κατὰ πολλὰ πολλῶν διαφέρω ἀνθρώπων καὶ ἀνόμοιός εἰμι, ἐπεὶ οὐχ, ὥσπερ ἂν ἕτεροι, τοὺς ἀδίκους καὶ δεινοὺς ἐν τῷ λέγειν ἀποδέχομαι, ἀλλ' ἡγοῦμαι τοσούτῳ μᾶλλον ζημίαν μείζονα ἔξειν ὅσῳπερ τὸ δίκαιον καὶ τὸ ἀληθὲς πειρῶνται διακρούεσθαι. B. Flor. 6. 10. 15.

582. γλώσσῃ γὰρ αὐχῶν: διὰ γὰρ τῆς γλώττης τὰ ἄδικα αὐχῶν παρακρύπτειν, πανουργεῖν τολμᾷ. B Flor. 6. 15. κομπάζων, θαρρῶν, σεμνυνόμενος τὰ ἄδικα καλῶς περικαλύψειν. B.

584. εὐσχήμων γένῃ : ἀντὶ τοῦ συσχηματίζων τοὺς λόγους πρὸς τὸ συναρπάζειν ἐμέ, τουτέστι κοσμίως τὸ λέγειν. τὸ δὲ μὴ νῦν κατὰ Ἀττικοὺς ἀναπέμπεται. B.I. εὐμορφολόγος. B.

585. ἓν γάρ σε κτενεῖ ἔπος : γρ. καὶ ἓν γὰρ ἐκτενεῖ σ' ἔπος. ἐκτενεῖ σε ἀντὶ τοῦ καταβαλεῖ σε, ἀπὸ μεταφορᾶς τῶν πιπτόντων καὶ ἐκτεινομένων εἰς τὸ ἔδαφος ἀθλητῶν ὑπὸ τῶν ἀντιπάλων. B. Flor. 2. κτενεῖ: οἷον, εἷς λόγος σε τιμωρεῖτσι καὶ ἑνὶ λόγῳ ἁλίσκῃ. B. Fl. 10.

591. οὐ τοῦτό σ' εἶχεν : ἀντὶ τοῦ οὐ ταύτην ἔχων τὴν διάνοιαν ἔγημας, οὐδὲ ἵνα τοῖς ἐμοῖς παισὶ τὸ ἀνενδεὲς τῶν τροφῶν παράσχῃς καὶ τῆς ἐν τῇ πόλει οἰκήσεως τὸ ἀσφαλές, ἀλλ' αἰσχυνόμενος ἐπὶ τῷ βάρβαρον ἔχειν γυναῖκα. τοῦτο δὲ ἀποδέδωκε πρὸς ἐκεῖνο, ἔνθα φησὶν ὁ Ἰάσων "ἀλλ' ὡς τὸ μὲν μέγιστον οἰκοῦμεν καλῶς" καὶ τὰ ἑξῆς. B.I.

592. οὐκ εὔδοξον : οἷον, ἀδοξίαν ἡγοῦ τὸ μέχρι γήρως βαρβάρῳ συνοικῆσαι, καὶ ἐσπούδασας Ἑλληνικοῖς γάμοις τὴν προτέραν ἁμαρτίαν καλύψαι, τουτέστιν ἡ ἐμὴ μέχρι γήρως συμβίωσις ἀδοξίαν σοι προσετρίβετο, οἷον αἰσχύνην ἡγήσω διὰ τέλους ἀνὴρ βαρβάρου γυναικὸς καλεῖσθαι. B.I.

598. λυπρὸς εὐδαίμων: ἀντὶ τοῦ λυπηρὸς κατὰ ἔλλειψιν τοῦ η, ὡς καὶ τὸ δοῦλος δύηλος ὤν, παρὰ τὴν δύην, ὃ σημαίνει τὴν ταλαιπωρίαν, B.I. μέμφεται οὖν αὐτῆς τὴν εὐχήν. εἰ θέλεις, φησὶ, σοφωτέρα φανῆναι, μετάθου τὴν προτέραν εὐχὴν, καὶ εὖξαι μηδέποτε τὸ χρηστὸν λυπηρόν σοι φαίνεσθαι. B.I.

599. μηδ' ὄλβος, ὅστις : οὐκ ἄν, φησὶν, εὐξαίμην τοιαύτην μοι εὐδαιμονίαν γενέσθαι δι' ἧς ἂν ἕτεροι λυπηθεῖεν, καθάπερ καὶ ὁ σὸς νῦν ὄλβος τὴν ἐμὴν λυπεῖ φρένα. οἷον, οὐ βούλομαι εὐδαιμονίζεσθαι λυπουμένη κατὰ ψυχήν. τοῦτο δὲ εἶπε πρὸς τὸν Ἰάσονος λόγον ἀντιτεινομένη, παρόσον αὐτὸς ἔλεγεν ἐπὶ τῷ συμφέροντι αὐτῆς τε καὶ τῶν παίδων εἰς τὸν γάμον προεληλυθέναι τὸν τῆς Γλαύκης. B.I.

600. οἶσθ' ὡς μετεύξῃ : τοῦτο κατ' ἐρώτησιν. οἶσθα, φησὶν, ὡς

1. γένῃ] φαίνῃ I.
3. ἀναπέμπεται B. παραπέμπεται I. Significat μή νυν esse scribendum.
10. ἐπὶ τῷ B. ἐπὶ τὸ I.
12. ἀλλ' ὡς—] v. 559.
16. ἡ ἐμὴ—ἀδοξίαν B. Fl. 6. 15. εἴ μοι μέχρι γήρως συνῴκεις, ἀδοξία I.
21. σοφωτέρα] σοφοτέραν (sic) I.
22. φανῆναι B. Fl. 6. 15. εἶναι I.
23. σοι ante λυπηρὸν I.
26. λυπεῖ ante τὴν ἐμὴν I.
27. λυπουμένη B. Fl. 6. 15. λυπουμένους I.
29. τὸν τῆς B. Fl. 6. 15. κατὰ τῆς I.

σε ἔδει μετεύξασθαι, ἵνα δόξῃς τὴν εὐχὴν φρονίμως ποιεῖσθαι; νῦν γὰρ εὐήθη λόγον εἴρηκας, ὥστε τὰ χρηστά σοι λυπηρὰ φαίνεσθαι, μηδὲ τὴν εὐτυχίαν νομίζεσθαι δυστυχίαν. Ἄλλως. οἶσθ' ὡς μετεύξῃ, καὶ τοῦτο ποιήσασα σοφωτέρα φαίνῃ; B.I.

601. φαινέσθω ποτέ: ὡς νῦν εἴρηκας μή μοι κακὴν εὐχήν. Flor. 10.

603. ὕβριζ': χλεύαζε. ἀποστροφὴ δὲ ἀντὶ τοῦ ἀποφυγὴ, ἀνάπαυσις. B. οἶκος, ἀνάπαυσις. Flor. 10.

606. γαμοῦσα καὶ προδοῦσα: σεσημείωται τὸ γαμοῦσα. θέλει δὲ εἰπεῖν, ἆρα τοιοῦτον ἔργον ποιοῦσα. οὐ γὰρ ἐφ' ἑαυτῆς λέγει, ἐπεὶ εἶπεν ἂν γαμουμένη, ἀλλὰ τὸν Ἰάσονος λόγον ἐφ' ἑαυτῆς μετέστρεψεν. γαμεῖ μὲν γὰρ ὁ ἀνὴρ, γαμεῖται δὲ ἡ γυνή. B.I.

608. ἀραία: ἐπικατηραμένη τοῖς σοῖς οἴκοις. B.

609. οὐ κρινοῦμαι: ἀντὶ τοῦ οὐκ ἀποκρινοῦμαι περὶ τῶν τοιούτων οὐδὲν πρὸς σὲ, ἀντὶ τοῦ οὐκ ἀκριβολογήσομαί σοι περὶ ἑκάστου σαφῶς. πολλὰ μὲν ἔχω δίκαια λέγειν πρὸς σὲ, μεθίημι δὲ τούτων τὰ πολλά. B.I.

611. προσωφέλημα χρημάτων: δαπάνην χρημάτων, εὐπορίαν. B.

613. σύμβολα: ἢ γράμματα, ἐπιστόλια. B. οἱ ἐπιξενούμενοί τισιν, ἀστράγαλον κατατέμνοντες, θάτερον μὲν αὐτοὶ κατεῖχον μέρος, θάτερον δὲ κατελίμπανον τοῖς ὑποδεξαμένοις, ἵνα, εἰ δέοι πάλιν αὐτοὺς ἢ τοὺς ἐκείνων ἐπιξενοῦσθαι πρὸς ἀλλήλους, ἐπαγόμενοι τὸ ἥμισυ ἀστραγάλιον ἀνανεοῖντο τὴν ξενίαν. Εὔβουλος Ξούθῳ

τί ποτ' ἔσθ' ἁπαξάπαντα διαπεπρισμένα
ἡμίσε' ἀκριβῶς ὥσπερεὶ τὰ σύμβολα;

οὕτως Ἑλλάδιος. B.I.

2. τὰ χρηστὰ] τὰ om. B.
4. φαίνῃ B. γένῃ I.
10. ἆρα (quod ad μῶν spectat) B. ἄρα I.
ib. ποιοῦσα B. Fl. 6. 15. ποιήσασα I.
ib. λέγει B. Fl. 6. 15. ἔλεγε I.
11. μετέστρεψεν] μετέτρεψε Fl. 6. 15.
14. ἀντὶ τοῦ—πρὸς σὲ add. B. Fl. 6. 15.
19. ἐπιξενοῦσθαι—ἀνανεοῖντο B. Fl. 6. 15. ἐπιξενῶσθαι—ἀνενεῶντο I.
24. τί ποτ' ἔσθ' ἁπαξάπαντα Cobetus Mnemos. vol. 5. p. 83. pro τί ποτ' ἐστὶν ἅπαντα. "Illud autem dubium est σύμβολα Eubulus utrum de hospitali an nummaria tessera intelligi voluerit. Eadem enim utriusque erat ratio, docente Polluce 9, 71." MEINEK. Com. vol. 3. p. 239.
25. ἡμίσε'—ὥσπερεὶ Meinekius pro ἡμίσεως—ὥσπερ εἰς.

615. κακοῦ γὰρ ἀνδρός: παροιμία ἐστὶν "ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα." μέμνηται Σοφοκλῆς ἐν Αἴαντι μαστιγοφόρῳ. B.I.

621. ἀρέσκει: ἀρκέσει. Fl. 10.

624. αἱρῇ: πορθῇ τῷ ἔρωτι. I. ἐξώπιος: ἀντὶ τοῦ ἀφεστηκὼς αὐτῆς, ἔξω τῶν ὀφθαλμῶν τῆς κόρης ὤν. I. ἀπὸ τοῦ ὄψ ὀπὸς ὁ ὀφθαλμός. Fl. 2.

626. ὥστε σ' ἀρνεῖσθαι: ὥστε μεταμεληθῆναί σε ἐπὶ τῷ γάμῳ. B.I.

627. ἔρωτες: τοῦτο ὁ χορὸς λέγει περὶ τῆς Μηδείας ὡς ἐρώσης τοῦ Ἰάσονος, εὐχόμενος μὴ τοιοῦτον ἔχειν ἔρωτα. ἐκ γὰρ τῶν τοιούτων ἐρώτων ταραχαὶ τοῖς ἀνθρώποις συμβαίνουσιν. B.I.

636. μηδέ ποτ', ὦ δέσποινα: τὸ ἑξῆς, μηδέποτε, ὦ δέσποινα, ἐκ τῶν χρυσέων τόξων ἐπ' ἐμοὶ ἐφείης ἄφυκτον ὀϊστὸν ἱμέρῳ χρίσασα, μὴ ποιήσῃς τοιοῦτον ἔρωτα ἐμπεσεῖν εἰς ἐμέ, ὦ Ἀφροδίτη, οἷον καὶ εἰς τὴν Μήδειαν. B.I.

637. ἀκόρεστά τε νείκη: μηδὲ εἰς νείκη, μηδὲ εἰς ὀργὰς καὶ ἐμφιλονείκους λόγους καὶ ὀργῆς κινητικούς. B.I. νείκη: τὰ νείκη κατ' εὐθεῖαν πληθυντικὴν εἴρηται, τουτέστι τὰς μάχας καὶ φιλονεικίας ἀκορέστους. B.I.

640. ἀπτολέμους: ἐν τῷ εἶναι ἀπολέμους. A.B.I. σεβίζουσα δὲ προκρίνουσα, προτιμῶσα. Ἄλλως. κρίνει τὰ λέκτρα τῶν γυναικῶν, ἢ ὅτι σεβίζουσα τὰς ἀπολέμους εὐνὰς, ὅ ἐστι παρασκευάζουσα ἀπολέμους, ἤγουν ἀφιλονείκους, οἷον, τιμάτω δὲ ἡ Ἀφροδίτη τὰς εὐνὰς τὰς ἀπολέμους, καὶ μὴ ἐάτω αὐτὰς στασιάζειν. ἢ ὀξύφρονα

P. 43. l. 26. οὕτως] οὐ τὴν Fl. 6. 15.

ib. Ἑλλάδιος] ἔλλα B. ἐλλάδα Fl. 6. 15.

2. μέμνηται add. B. Fl. 6. 15.

ib. Αἴαντι] 665.

4. ἀφεστηκὼς Barnes. ἐφεστηκώς I.

9. ὡς om. I.

13. τῶν om. I.

ib. ἐφείης scripsi pro ἐφίης.

15. τὴν Μήδειαν] τὴν om. B.

17. ἐμφιλονείκους B. cujus adjectivi duo exempla, Basilii et Athanasii, plura adverbii ἐμφιλονείκως allata sunt in Thesauro. εἰς φιλονείκους I.

18. καὶ φ. B. καὶ τὰς φ. I.

19. ἀκορέστους B. Fl. 6. 15. ἀπαύστους I.

20. ἀπολέμους A. ἀπόλεμος B. Fl. 6. 15. ἀπτόλεμος I.

21. προκρίνουσα B. Fl. 6. 15. προκρίνασα I. quod gl. etiam in A.

ib. κρίνει B. κρῖναι I.

24. μὴ B. Fl. 6. 15., om. I. add.

τὴν Ἀφροδίτην φησὶν, ἐπεὶ ὀξεῖς οἱ ἔρωτες αὐτῆς καὶ ὑπόπτεροι. B.I.

641. ὀξύφρων κρίνοι λέχη γυναικῶν: ὀξυτάτους ἔρωτας πέμπουσα εἰς τὴν διάνοιαν τῶν ἀνθρώπων. Ἄλλως. ὀξείας καὶ μεγάλας ἐπιθυμίας ἔχουσα. A.

645. τὸν ἀμαχανίας: ἀντὶ τοῦ ἐν ἀμηχανίᾳ ζῶσα τὸν δυσπέραντον αἰῶνα, ἤτοι δυσαπάλλακτον. B.

649. μόχθων οὐκ ἄλλος: τῶν μόχθων τῶν ἐν ἀνθρώποις οὐδεὶς ἄλλος μείζων ἢ τὸ στέρεσθαι τῆς πατρίδος. μόχθων δὲ λέγει τῶν συμφορῶν. Ὅμηρος ἐκ τοῦ ἐναντίου "ὡς οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων." Ἄλλως. τοῦτο δὲ αὐτὸ τὸ στερέσθαι τῆς πατρίδος ὅτι πάνδεινόν ἐστιν αὐταῖς ὄψεσιν ὁρῶμεν ἐπὶ τῆς Μηδείας, καὶ οὐκ ἐξ ἀκοῆς τοῦτο μανθάνομεν. B.I.

ὕπερθεν: ὑπεράνω. B.

652. εἴδομεν: τοῦτο ἐκ τῆς Μηδείας. B.

659. ἀχάριστος: ἄνευ πάσης χαρᾶς. B.

660. καθαράν: μὴ ἀπὸ πάσης καρδίας καὶ καθαροῦ λογισμοῦ, τουτέστιν ἀνυπούλως. τὸ ἐξῆς, ἀχάριστος ὢν ἐκεῖνος ὅλοιτο ὅστις μὴ τιμᾷ τοὺς φίλους ἐκ ψυχῆς. B.

665. σοφοῦ Πανδίονος: εὐεπίφορός ἐστιν ὁ Εὐριπίδης εἰς τὸ λέγειν σοφὸς καὶ σοφὴ, πρὸς μηδὲν χρήσιμον παραλαμβάνων τὸ ὄνομα. κατὰ τί γὰρ σοφὸς ὁ Πανδίων λέγεται; οὐ γὰρ δὴ ὠνόμασται τοιοῦτον αὐτοῦ τι ἔργον, ἀλλ' οὐδὲ πανουργίας ἐχόμενον, ὥστε διὰ τοῦτο λέγεσθαι αὐτὸν, ἀλλ' ὥσπερ παραπληρώματι χρῆται τῇ λέξει. B.I.

666. Αἰγεῦ, πόθεν: λέγουσι τὸν Αἰγέα εἰς Τροιζῆνα ἐληλυθέναι διὰ τὸ δεδοικέναι πεζῇ ποιεῖσθαι τὴν πορείαν, Σίνιδος κατ' ἐκείνους τοὺς χρόνους ἐπιπολάζοντος. Νεόφρων δὲ εἰς Κόρινθον τὸν Αἰγέα φησὶ παραγενέσθαι πρὸς Μήδειαν ἕνεκα τοῦ σαφηνισθῆναι αὐτῷ τὸν χρησμὸν ὑπ' αὐτῆς τῆς Μηδείας, γράφων οὕτως

καὶ γάρ τιν' αὐτὸς ἦλυθον λύσιν μαθεῖν
σοῦ· Πυθίαν γὰρ ὅσσαν, ἣν ἔχρησέ μοι

10. ἧς—τοκήων B. γῆς πατρίδος ἣ δὲ τοιούτων I. Est Od. 9, 34.
11. Ἄλλως add. B.
22. λέγεται B. Fl. 6. 15. γίνεται I.
23. τι Elmsleius pro τό.
24. παραπληρώματι] V. Hemst. ad Luciani Tim. c. 1. vol. 1. p. 99. VALCK.
32. Πυθίαν — ἀμηχανῶ· σοὶ δ' εἰς

Φοίβου πρόμαντις, συμβαλεῖν ἀμηχανῶ·
σοὶ δ' εἰς λόγους μολὼν ἂν ἤλπιζον μαθεῖν.

B.I.

668. τί δ' ὀμφαλὸν γῆς: τὸ μέσον τῆς γῆς καὶ τῆς οἰκουμένης τὸ μαντικόν. ἐστάλης δὲ ἐπεδήμησας, ἐνδημεῖς. B.I.

670. δεῦρ' ἀεί: ἀντὶ τοῦ μέχρι νῦν ἅπαις ὑπάρχεις. τὸ δὲ ἀεί ἀντὶ τοῦ ἕως τοῦ νῦν. σεσημείωται δὲ, ἐπεὶ τὸ δεῦρο χρονικὸν εἶπεν. ἢ οὕτως, ἀντὶ τοῦ ἕως χρόνου τούτου ἅπαις τυγχάνεις; τὸ γὰρ ἀεί Εὐριπίδης ἐπὶ χρόνου τάσσει ἀντὶ τοῦ ἕως τοῦ δεῦρο. νῦν δὲ ἐπὶ χρόνου, καὶ σεσημείωται. B.I.

673. οὐκ ἐσμὲν εὐνῆς: πρώτην ἔσχε Μελίτην τὴν Ὄπλητος, δευτέραν Χαλκιόπην τὴν Χαλκώδοντος, τρίτην τὴν Μήδειαν. B.I.

675. σοφώτερα: ἀντὶ τοῦ σοφὰ ὑπερβαίνοντα καὶ ἄνδρας εἰς τὸ γνῶναι. B. Fl. 10. τὸ δὲ θέμις μέν κατὰ ἐρώτησιν. περισσὸς ὁ μέν. B.

677. μάλιστ', ἐπεί τοι: σοφωτέρας διανοίας χρείαν ἔχει τὰ ἤδη λεγόμενα ῥήματα. B.I.

679. ἀσκοῦ με: χρησμὸς ὁ δοθεὶς τῷ Αἰγεῖ οὗτός ἐστιν

ἀσκοῦ τὸν πραίχοντα πόδα, μέγα φέρτατε λαῶν,
μὴ λύσῃς, πρὶν γουνὸν Ἀθηναίων ἀφικέσθαι.

ἀσκοῦ οὖν τῆς γαστρὸς, πόδα δὲ τὸ μόριον, παρόσον ὡς ὁ ποδεὼν τοῦ ἀσκοῦ προέχει. λέγει οὖν ὅτι ἔχρησέ μοι μὴ συνελθεῖν ἑτέρᾳ, πρὶν ἐπιβῆναι τῆς πατρίδος. τοῦτο γὰρ αἰνίττεται, ὅπερ αὐτὸς οὐ συνίησιν. ἀσκὸν τοίνυν λέγει τὸν περὶ τὴν γαστέρα τόπον. Ἀρχίλοχος

λόγους μολὼν Valck. ad Eur. Phoen. 709. pro πρὶν θείαν—ἀμηχάνως οἶδ' εἰς λόγους μολεῖν.

1. συμβαλεῖν] συλλαβεῖν B. Fl. 6. 15.

2. ἂν (γ' ἂν Porson. ad Med. 666.) scripsi pro γάρ.

4. γῆς καὶ τῆς add. B. Fl. 6. καὶ fortasse delendum.

8. τὸ γὰρ B. τὸ δὲ I.

9. ἐπὶ χρόνου om. B. ἐπὶ τόπου Matth.

10. σεσημείωται B. Fl. 6. 15. σημείωσαι I.

12. Χαλκώδοντος Elmsleius pro Χαλκίδοντος. Χαλκόδωντος I.

13. ἀντὶ τοῦ add. B.

ib. σοφὰ ὑπερβαίνοντα καὶ B. ὑπερβαίνουσα τοὺς Fl.

14. περισσὸς] περισσῶς B.

17. ὁ δοθεὶς B. Fl. 6. 15. ὁ om. I.

18. πόδα, μέγα φέρτατε] ποδεῶνα φίλτατε libri. Correctum ex Apollod. 1, 15, 6. et Plut. V. Thesei c. 3. Apud Tzetzam ad Lycophr. 494. est ποδάονα φέρτατε.

19. λύσῃς pro λῦσαι restitutum ex scriptoribus iisdem.

ib. γουνὸν Ἀθηναίων ἀφικέσθαι] δῆμον Ἀθηνῶν εἰσαφικέσθαι Plutarchus. ἐς ἄκρον Ἀθηναίων ἀφίκηαι Apollodorus et Tzetza.

20. ἀσκοῦ οὖν B. αὐτοῦ οὖν I.

22. ἐπιβῆναι B. ἀποβῆναι I.

καὶ πεσεῖν δρήστην ἐπ' ἀσκὸν κἀπὶ γαστρὶ γαστέρα
προσβαλεῖν μηρούς τε μηροῖς.

δρήστην λέγων οἷα δράσαντά τι. ποδεῶνα δὲ εἰώθασι λέγειν τὸ τοῦ ἀνδρὸς αἰδοῖον. B.I. *ἕως ἐν τῇ πατρίδι γένωμαι. ἐξέχοντα δὲ μάλιστα ἐν σώματι τέσσαρα, κεφαλή, χεῖρες, αἰδοῖον, πόδες.* B. *μὴ συνευνασθῇς γυναικὶ πρὶν ἀπέλθῃς εἰς τὴν πατρίδα.* B.

683. *Πιτθεύς: χρησμολόγος ἦν.* B.

Τροιζηνίας: πόλις Πελοποννήσου πλησίον Ἀθηνῶν. B.

686. *τρίβων τὰ τοιάδε: εἰς τὰ τοιαῦτα περιτετριμμένος, ἐντριβὴς ὢν τοῦ τὰ τοιαῦτα λέγειν, τουτέστι τοὺς χρησμούς.* B.I.

687. *δορυξένων: οἱ κατὰ τὸν πόλεμον πρὸς ἀλλήλους φιλίαν πεποιηκότες, ὡς Γλαῦκος καὶ Διομήδης.* B.I.

690. *κάκιστος: ὁ Ἰάσων ὁ φίλος σου κάκιστος τυγχάνει.* B.

693. *τί χρῆμα δράσας: σεσημείωται ὁ στίχος, ὅτι καὶ ἐν Ἡλιάσιν ἐστὶν, ὧν ἀρχὴ "Μήδεια πρὸς μὲν δώμασιν τυραννικοῖς."* B.I.

695. *ἦ που: ἀπιστῶν τοῦτο λέγει.* Fl. 10.

699. *ἴτω: ἀντὶ τοῦ ἐρρέτω.* B. Fl. 10.

703. *σύγγνωστα: συγγνώμην εἶχες λυπουμένῃ· δικαίως γὰρ λυπῇ.* B. Fl. 10.

708. *καρτερεῖν: ἀντὶ τοῦ κρατεῖν καὶ ἀντέχειν. καὶ τὸν ἐγκρατῆ λέγουσι καρτερόν. Ἀρχίλοχος "ὁ δ' Ἀσίη καρτερὸς μηλοτρόφος." φησὶν οὖν ὅτι τῷ λόγῳ μὲν προσποιεῖται, τῷ δὲ ἔργῳ οὐ θέλει κρατεῖν καὶ ἀντέχειν.* B.I. *καρτερεῖν δὲ βούλεται: γρ. καρδία δὲ βούλεται.* B.

722. *εἰς τοῦτο γὰρ δὴ φροῦδός εἰμι: κατὰ γὰρ τοῦτο τὸ μέρος τῆς παιδοποιίας ἔρημός εἰμι. ἢ τὸ φροῦδον ἀντὶ τοῦ πρόθυμον καὶ ἀσαφήνιστον, οὕτως, εἰς τὸ παῖδας ποιῆσαι πάνυ ἐσπούδακα καὶ πρόθυμός εἰμι. ἔστι δὲ κυρίως ὁ προωδευκώς.* B.I.

724. *προξενεῖν: ξενοδόχος εἶναι. προϊστασθαι ξένης οὔσης.* B.

1. κἀπὶ γαστέρα προσβάλλειν (προσβαλεῖν Matth.) add B. Fl. 6. 15., om. I.
9. εἰς τὰ — τοῦ τὰ B. Fl. 6. 15. ἐντριβὴς ὢν παρατετριμμένος τοῦ τὰ I.
14. Πελιάσιν — ἀρχὴ] πολιάσιν — ἄρχει I.
17. τοῦτο B. ταῦτα Fl. 10.
20. λυπῇ B. λυπεῖ Fl. 10.
22. ἀσίηι B. ἀσίη Fl. 6. 15. ἀσίη τε I. Apud schol. Hom. Od. 15. 534. ὁ δ' Ἀσίης κ. μηλοτρόφου. Scribendum videtur ὁ δ' Ἀσίης (vel Ἀσίδος) γῆς καρτερὸς μηλοτρόφου.
23. οὖν add. B.
26. γὰρ om. I.

726. ἐκ τῆσδε μὲν γῆς: ἴσως ἵνα μὴ λυπήσῃ τὸν Ἰάσονα, ἢ ἐπεὶ ἀπήει πρὸς Πιτθέα. B. Fl. 10.

728. κοὔ σε μὴ μεθῶ: προδῶ. B. τὸ μή ὑπερβιβαστέον, τουτέστιν οὐ μή σε μεθῶ τινι. ἄσυλος δὲ ἀνεπηρέαστος, ἀναπόσπαστος. B.

730. ἀναίτιος: ἀντὶ τοῦ ἀνέγκλητος, ἄμεμπτος. οὐδὲ γὰρ βούλομαι, φησὶ, παρὰ τῶν περὶ τὸν Κρέοντα αἰτιαθῆναι, ὡς αὐτός σε ἀπαγαγών. A.B.I.

734. Πελίου δ' ἐχθρός: κατὰ κοινοῦ τὸ ἐχθρός. ὁ δὲ νοῦς, σοὶ μὲν θαρρῶ καὶ πεπίστευκα, ἀλλὰ φοβοῦμαι μὴ ἄρα ὁ τοῦ Πελίου δόμος καὶ ὁ Κρέων ἐχθροί μοι ὄντες βιάσωνταί σε καὶ παρὰ προαίρεσιν προέσθαι με ἐν αὐτοῖς· ὅθεν ὁρκῶ σε, τοῦτο βουλομένη πιστώσασθαι, ὡς οὐκ ἄν με προδοίης. A.B.I.

735. τούτοις δ' ὁρκίοισι μὲν ζυγείς: ἐγκατειλημμένος, ἐμπεπλεγμένος, ἀντὶ τοῦ μετὰ βίας ἄγουσιν. τὸ δὲ ἑξῆς, ἄγουσιν οὐ μεθεῖ' ἄν. ὁ δὲ νοῦς, τούτοις δὲ τοῖς ἐχθροῖς ἄγουσί με καὶ βιαζομένοις οὐκ ἂν ἐκδοίης ὅρκοις προκατειλημμένος. διὸ βούλομαί σε ὀμνύναι· ἐὰν γὰρ ὀμόσῃς μοι, τοῖς περὶ τὸν Κρέοντα βουλομένοις με ἄγειν ἀπὸ τῆς Ἀττικῆς οὐκ ἂν μεθεῖο, οἷον ἐξαιτουμένοις οὐκ ἂν δοίης· μὴ ὀμόσας δὲ φίλος γένοιο ἂν διὰ τοῦ ἐπικηρυκεύματος. λείπει ἡ διά, ἵν' ᾖ ὁ πᾶς λόγος, πέποιθα μὲν ἐφ' οἷς λέγεις μοι, ὁ δὲ τοῦ Πελίου δόμος καὶ ὁ τοῦ Κρέοντος ἐχθροί μοι εἰσίν. τούτοις οὖν βου-

6. ἀντὶ τοῦ om. I.
ib. γὰρ om. A.
7. τῶν περὶ τὸν Κρέοντα] παρὰ τῶν κρέοντος A.
ib. αὐτός] ἑαυτός I. αὐτόν A.
8. ἀπαγαγών] ἀγαγών A.
10. ἄρα] ᾆρα B.
ib. ὁ τοῦ Πελίου δόμος] οἱ τοῦ πελίου διαφέροντες A.
11. μοι A. μου B.I.
13. προδοίης A. πρόῃ B.I. πρώη Fl. 6. 15.
14. ἐμπεπλεγμένος] ἐμπεπληγμένος B. ἐμπεπλησμένος I.
15. ἄγουσιν οὐ μεθεῖσαν (scripsi μεθεῖ' ἄν). ὁ δὲ νοῦς A. τούτοις ἄγουσιν οὐ μεθεῖσαν τούτοις δὲ ὅρκοις ἑνικῶς. ὁ νοῦς B. Fl. 6. 15. τούτοις ἄγουσιν οὐ μεθήσω. τούτοις δ' ἐν ὅρκοις ζυγείς. ὀνοῦς I.
16. ἐχθροῖς] ζυγοῖς I.
18. ὀμνύναι] ὀμνῦναι A. ὀμνύειν ceteri.
ib. γὰρ et μοι om. A.
19. μεθεῖο] μεθεὶς A.
ib. ἐξαιτουμένοις] με ἄγειν add. I.
20. ἄν A. αὐτοῖς B.I.
ib. διὰ τοῦ] διὰ δὲ τοῦτο A.
ib. ἐπικηρυκεύματος A. ἐπικηρυκεύματος θέλει εἰπεῖν ἀντὶ τοῦ ἐπικηρυκεύμασιν B.I.
ib. λείπει A. λείπει δὲ B.I.
21. ὁ πᾶς A. πᾶς ὁ B.I.
ib. ἐφ' A.B. ἐν I.
22. ἐχθροί μοι (μου B.) εἰσί A.B. ἐχθροὶ ἐμοὶ εἰσίν I.
ib. οὖν om. A.

λομένους ἐξαιτεῖσθαί με οὐκ ἂν ἐκδοίης ὁμόσας. εἰ δὲ διὰ λόγων μόνων σύνθοιο, ἴσως ἂν ἐκείνων γένοιο φίλος, καὶ διὰ τὰ ἐπικηρυκεύματα, ὅ ἐστι τὰς πρεσβείας, ἐξαιτουμένους με ἐκδοίης ἂν αὐτούς. A.B.I.

737. λόγοις δὲ συμβάς: εἰ δὲ, φησὶν, ἔλθοις εἰς σύμβασιν τῶν ἐμῶν λόγων καὶ συνθήκας ἐνωμότους ποιήσαιο πρὸς ἐμὲ, εὖ οἶδα ὅτι μοι φίλος γένοιο καὶ ἐπίκουρος ἀσφαλὴς, καὶ οὐκ ἂν τὴν πρὸς ἐκείνους φιλίαν προκρίναις. ἐπικηρυκεύματα γὰρ τὰ διὰ τῶν κηρύκων γινόμενα πρὸς φιλίαν. κεῖται οὖν ἡ λέξις ἐπὶ τῆς φιλίας. τῇ δὲ εὐθείᾳ ἀντὶ δοτικῆς κέχρηται· ἔδει γὰρ εἰπεῖν, καὶ τοῖς ἐκείνων ἐπικηρυκεύμασιν οὐκ ἂν πίθοιο. Δίδυμος δέ φησιν ἐλλείπειν τὴν διά, ἵν' ᾖ διὰ τὰ ἐπικηρυκεύματα. A.B.I.

743. ἐμοί τε γάρ: καὶ ἐμοὶ, φησὶν, ἀσφαλές ἐστι, πρὸς τὸ μηδεμίαν μέμψιν ἔχειν παρ' αὐτῶν, τὸ τὴν σκῆψιν ταύτην προβαλέσθαι, τὸ φθάσας ὁμωμοκέναι μὴ προδοῦναί σε, καὶ τὸ σεσῶσθαί σε βεβαιότερον ἔσται τὴν σκῆψιν ταύτην προϊσχοντί μοι. σκῆψιν οὖν λέγει τὸ ὀμωμοκέναι αὐτῇ. A.B.I. τὸ δὲ ἐξηγοῦ θεούς ἀντὶ τοῦ ὀνόμαζε τοὺς θεούς, οὓς βούλει με ὀμόσαι. B.I.

759. ἀλλά σ' ὁ Μαίας: ταῦτα ἔνιοι τῷ χορῷ, ἔνιοι τῇ Μηδείᾳ προσνέμουσιν. B. Fl. 10. ὁ χορὸς ἐπεύχεται Λίγεῖ ἐπὶ τῇ ἐπαγγελίᾳ. πομπαῖον δὲ τὸν Ἑρμῆν λέγει, ἐπεὶ παραπόμπιμος ὁ θεὸς καὶ εἰρηνικὸς, οἱ δὲ ὁδεύοντες μάλιστα εἰρήνης δέονται. A.B.I.

761. πράξειας: καὶ πράξειας ταῦτα ὧν ἔχων ἐπιθυμίαν σπουδάζεις. A.B.

1. ἐκδοίης] ἐπιδοίη (sic) A.
ib. εἰ δὲ] καὶ I.
3. ὅ ἐστι τὰς πρεσβείας om. A.
5. φησὶ add. A.
ib. σύμβασιν] τὴν σύμβασιν B.I.
6. ἐνωμότους] ἐνομότους A.
7. καὶ ἀντὶ τοῦ A.
8. προκρίναις] προκρίνεις A.
ib. γὰρ A. γάρ εἰσι B.I.
ib. κηρύκων] κηρυγμάτων I.
9. γινόμενα] γιγνόμενα I.
ib. ἐπὶ] ἀντὶ τοῦ I.
10. ἐκείνων om. B.I.
11. πίθοιο] πείθοιο A.
12. ἵν' ᾖ om. I.
ib. διὰ] καὶ διὰ A.
12. πρὸς τὸ] πρὸς τῷ A.
14. προβαλέσθαι] προβάλεσθαι I.
16. οὖν] δὲ I.
19. ταῦτα —] Haec hoc loco habet B., ad v. 743. adscripta sunt in Fl. 10.
21. πομπαῖον om. A.
ib. δὲ τὸν Ἑρμῆν] ἑρμῆν δὲ A.
ib. ὁ θ. καὶ εἰρηνικὸς B. καὶ εἰρηνικὸς ὁ θεὸς I. καὶ εἰρηνικὸς om. A.
22. δέονται] In A. additum a m. recentiore τινὲς δὲ καὶ ταῦτα τῇ μηδείᾳ προσάπτουσι.

764. ὦ Ζεῦ: τοῦτο μόνον ἡ Μήδεια αὐτὴ καθ' ἑαυτὴν ἀναφωνεῖ τῇ Δικαιοσύνῃ καὶ τοῖς λοιποῖς θεοῖς ὡς εὐχαριστοῦσα, τὰ δὲ λοιπὰ πρὸς τὸν χορόν. B.I.

765. φίλαι: φίλας λέγει τὰς ἀπὸ τοῦ χοροῦ. πρὸς αὐτὰς γὰρ νῦν διαλέγεται. A.B.I. εἰς ὁδὸν δὲ ἀντὶ τοῦ εἰς τὴν τῆς νίκης ἀρχὴν ἐληλύθαμεν. B.I.

768. ᾗ μάλιστ' ἐκάμνομεν: καθ' ὃ μέρος ἐδυστύχουν. ἀλλ' ἔχουσα πρὸς ὃν καταφύγω νῦν καθάπερ λιμένι τούτῳ προσώρμισα. A.B.I.

770. ἐκ τοῦδ' ἀναψόμεσθα: παυσόμεθα τῶν ταρασσόντων κακῶν. ὅταν γὰρ τὰ ἀπόγεια δεθῇ, παύονται τῶν καμάτων οἱ ναῦται. A.B.I. ἀναψόμεσθα: προσδήσομεν. B. κρεμάσομεν. Fl. 10.

771. ἄστυ: εἰς Ἀθήνας. B.

773. δέχου δὲ μὴ πρὸς ἡδονήν: μὴ νομίσῃς, φησίν, ἡδέα καὶ προσηνῆ εἶναι τὰ μέλλοντά σοι ῥηθήσεσθαι· ἔστι γὰρ ἀηδῆ μὲν εἰς ἀκοήν, ἀναγκαῖα δὲ ὅμως. ὡσεὶ ἔλεγεν, οὐκ ὤφειλον μὲν ὑμῖν τοιαῦτα ἀπαγγέλλειν, οὐδ' οὕτω πράξειν καλῶς· ὅμως δὲ ἐπειδὴ εἰς τοῦτο τύχης ἤλθομεν, ἀκούσατε τὰ βεβουλευμένα μοι, καίπερ ἀηδῆ ὄντα. αἰτήσομαι δὲ, φησίν, αὐτὸν τοὺς παῖδας ἐᾶσαι ἐνταῦθα μεῖναι, καὶ αὐτοὺς, φησὶ, συγκατακτενῶ, ἀλλ' ἵνα πρότερον διακονήσωσί μοι πρὸς τὸν τῆς Γλαύκης θάνατον. A.B.I.

785. τήνδε μὴ φεύγειν χθόνα: γράφεται δῆθεν μὴ φεύγειν χθόνα, ἵν' ᾖ ἀντὶ τοῦ ὡς δὴ παραιτησομένους τὴν φυγήν. τιθέασι γὰρ τὸ δῆθεν ἀντὶ τοῦ ὡς δή. A.B.I.

790. ἐνταῦθα μέντοι: μέχρι μὲν τούτου ἀποτερματίζω σοι καὶ ἵστημι τὸν λόγον σιωπῶσα. A.B.I. ἀπαλλάσσω: παύω. B.

4. λέγει] νῦν add. A.
5. δὲ B. γὰρ I.
7. ἀλλ'] οὐκ Fl. 6. 15.
8. καθάπερ λιμένι τούτῳ addidi ex A.
10. τὰ om. I.
ib. καμάτων Elmsleius pro κυμάτων.
14. σοι om. A.
ib. ῥηθήσεσθαι] ῥηθῆναι I.
ib. ἀηδῆ A. ἡδέα B.I.
15. ἀκοήν] ἐλθεῖν add. B.I.
16. ἀπαγγέλλειν] ἐπαγγέλλειν B.I.
ib. καλῶς] κακῶς B.
ib. δὲ om. B.I.
17. μοι om. B.I.
20. τῆς om. A.
21. φεύγειν] φυγεῖν I. Lemma om. A.B.I.
ib. γράφεται] τὸ γὰρ A.
ib. δῆθεν μὴ (δὴ I.)] Scriptura metro repugnans, nisi δῆθε μὴ scribatur cum Elmsleio.
ib. φεύγειν χθόνα om. I.
22. ἀντὶ τοῦ om. A.
ib. παραιτησομένους—ὡς δή om. I.
24. καὶ ἵστημι om. A.
25. σιωπῶσα B. Fl. 6. 15. σιωπῶντα I., om. A.

791. καὶ νῦν προλέγει ὡς εἴωθεν. B.

798. ἴτω: γινέσθω, προχωρείτω τὰ δόξαντα. τί μοι γὰρ ὄφελος ζῆν; A. γινέσθω, προχωρείτω. γρ. δὲ καὶ οὔτε μοι πατήρ. B.

804. τῆς νεοζύγου: λείπει ἡ ἀπό, οὔτε ἀπὸ τῆς νεοζύγου, ἤτοι νεογάμου. B.

807. φαύλην: ἀντὶ τοῦ εὐτελῆ, ἁπλῆν, δειλὴν, ἐπιεικῆ. ἡσυχαίαν δὲ ἐνταῦθα ἀντὶ τοῦ ἡσύχιον καὶ ἀνόητον. ἀλλὰ θατέρου τρόπου: ἀλλὰ τοῦ ἑτέρου τρόπου, τουτέστι θρασεῖαν. B. πανούργου. B.

811. ἐπείπερ ἡμῖν: τὸ ἐξῆς, ἐπείπερ ἡμῖν τόνδ' ἐκοινώνησας λόγον, δρᾶν σ' ἀπεννέπω τάδε. ἀπεννέπω δὲ καὶ σὲ ὠφελοῦσα καὶ τοῖς νόμοις βοηθοῦσα. B.I.

819. ἴτω: γινέσθω τὰ δόξαντα. B. πρὸς τὴν θεράπαιναν φησι. B. Fl. 10.

823. εἴπερ φρονεῖς γ' εὖ δεσπόταις: δέσποιναν ἑαυτὴν λέγει οὐχ ὡς θεραπαινῶν οὐσῶν τῶν ἀπὸ τοῦ χοροῦ, ὅπου κατ' ἀρχὴν τοῦ λόγου φίλας αὐτὰς ὀνομάζει, ἀλλὰ τὸ δεσπόταις ἀντὶ τοῦ τοῖς ἄρχουσι καὶ τοῖς κρατοῦσιν. τὸ δὲ πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ· θέλει γὰρ εἰπεῖν, ἐμοὶ τῇ κρατούσῃ. καὶ γὰρ βασιλέως θυγάτηρ ἐστὶ καὶ γυνὴ βασιλέως τοῦ Ἰάσονος, καὶ σώζει τὸ εὐγενὲς φρόνημα. μηδαμῶς δὲ θαυμάσωμεν εἰ Κορίνθιαι οὖσαι, δέον τῷ τοῦ Κρέοντος μέρει προσθέσθαι, ταύτην αἱροῦνται συγκρύπτειν. ἐλεύθεραι γὰρ οὖσαι τὸ παριστάμενον αὐταῖς δίκαιον προτιμῶσιν. ἔπειτα καὶ ἀεὶ ὁ χορὸς ἐν προσώπῳ τοῦ ποιητοῦ εἰσάγεται τῷ δικαίῳ προστιθέμενος. A.B.I.

παρόσυν γυναικὶ πέφυκας ἐπίκουρος καὶ μάλιστα εἰς εὐνὴν ἀδικουμένῃ. B.

824. Ἐρεχθεῖδαι τὸ παλαιόν: μακαρίζει νῦν τοὺς Ἀθηναίους ὡς εὐδαίμονας καὶ σοφίας πάσης ἐπιστήμονας, ἱερούς τε καὶ μύστας, ὅτι μέλλει τὰ κατὰ τὴν Μήδειαν ἐπάγειν μιάσματα. τῇ γὰρ παραθέσει βούλεται αὐτὴν ἀποτρέψαι τοῦ κατὰ τῶν παίδων φόνου. οὕτω

3. πατήρ] In textu πατρίς B.
15. οὐσῶν] ὄντων I.
ib. ὅπου] ἐπεὶ Elmsl. frustra. ὅπου γε est p. 56, 21.
18. ἐστὶ] ἦν I.
19. μηδαμῶς δὲ A. μὴ τοίνυν B.I.
20. θαυμάσωμεν A.B. θαυμάζωμεν I.
ib. οὖσαι—ἐλεύθεραι] οὖσαι τῷ τοῦ κρέοντος μέρει οὐ προσέκειντο, ἀλλὰ ταύτην συγκρύπτειν ᾑροῦντο. ἐλεύθεραι A.
22. ἐν προσώπῳ] ἐκ προσώπου A.
26. μακαρίζει νῦν τοὺς] μακαρίζειν αὐτοὺς I. Hoc scholion duobus proximis post positum in A.
28. τὴν om. A.
29. ἀποτρέψαι] ἀποτρέψασθαι B.I.

γὰρ ἐν τοῖς ἑξῆς ἐπάγει, ὅτι οὐκ εἰκὸς τοὺς οὕτως ἱεροὺς καὶ σοφοὺς ἄνδρας σὲ μιαιφόνον γενομένην ὑποδέξασθαι. A.B.I. Ἐρεχθεῖδαι: ἱκανὸν ἐγκώμιον ὁ χορὸς καταβάλλεται, τοὺς Ἀθηναίους δικαίους καὶ θεοσεβεῖς ἀποκαλῶν, ἀποτρέπων τῆς πράξεως τὴν Μήδειαν. καὶ οὐκ ἂν οἱ τοιοῦτοι τὴν τοιαῦτα δράσασαν δέξαιντο. A.B.I.

825. καὶ θεῶν παῖδες: ἢ ὡς ἀπὸ τοῦ Ἡφαίστου καταγόμενοι. ἀπὸ γὰρ τοῦ ἐρίου ἐν ᾧ ἡ Ἀθηνᾶ τὸ σπέρμα τοῦ Ἡφαίστου σπογγίσασα ἔρριψε. λέγεται γὰρ ὡς Ἀθηνᾶς ἠράσθη Ἥφαιστος καὶ ἐδίωκεν αὐτὴν φεύγουσαν καὶ μυσαττομένην αὐτόν. συγχωρηθεὶς οὖν συγγενέσθαι αὐτῇ ἀπεσπέρμηνε περὶ τὸν μηρὸν αὐτῆς. ἐκείνη δὲ μυσαχθεῖσα τὸ γεγονὸς ἐρίῳ ἀποσπογγίσασα τὸν θορὸν εἰς τὴν γῆν ἔρριψε καὶ ἐξ ἐκείνου ἀνέδειξεν ἡ γῆ τὸν Ἐρεχθέα. A.

826. χώρας ἀπορθήτου: ἡ σύνταξις οὕτως, ἀπὸ ἀπορθήτου χώρας. ἀπόρθητον δὲ αὐτὴν εἶπε διὰ τὰς θρυλουμένας πολλὰς νίκας αὐτῶν. αὐτοὶ γὰρ ἀπόρθητοι καὶ ἀήττητοι διετέλεσαν. τὸ δὲ φερβόμενοι σοφίαν ἀντὶ τοῦ προσλαμβάνοντες καὶ παιδευόμενοι πᾶσαν σοφίαν. οὕτω δὲ εἶπεν ὡς ἀναγκαίας αὐτοῖς οὔσης τῆς παιδεύσεως, καθάπερ ἄλλης τροφῆς. A.B.I.

827. ἀποφερβόμενοι: τρέφοντες. Fl. 10.

830. ἔνθα ποθ' ἁγνάς: ὅπου λέγεται ὑπὸ τῶν Μουσῶν τὴν ἐν μουσικῇ ἁρμονίαν γεγενῆσθαι. παρόσον οἱ σοφίας ἐντὸς καθαρώτερον τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς τὰ θεῖα φαντάζονται, μονονουχὶ καὶ θεοῖς αὐτοῖς ὁμιλεῖν πιστευόμενοι, ἢ ὡς τοῦ παρ' αὐτοῖς ἀέρος φύσιν ἔχοντος φέρειν ἀεὶ σοφοὺς ἄνδρας. τουτέστιν ἀεὶ βιοτεύουσι λαμπροτάτῃ παιδεύσει, ἁπλῶς καὶ εὐμαρῶς ταύτην μεταχειριζόμενοι, ἅτε δὴ τοῦ παρ' αὐτοῖς ἀέρος εἰς τοῦτο πεφυκότος, ἵνα τὸ μὲν βαίνοντες ἀντὶ τοῦ βιοτεύοντες, τὸ δὲ αἰθέρος ἀντὶ τοῦ ἀέρος ἐκδεξώμεθα.

2. ἄνδρας] ἀνθρώπους A.
4. καὶ οὐκ—δέξαιντο] ὡς οὐκ—δέξωνται A.
13. ἡ σύνταξις] ἡ δὲ σύνταξις A., omisso lemmate.
ib. οὕτως om. B.I.
14. θρυλουμένας] θρυλλουμένας libri.
16. προσλαμβάνοντες] προλαμβάνοντες A.
17. αὐτοῖς] αὐτῆς I.
18. ἄλλης] ἄλλοις B.
20. ὅπου λέγεται—γεγενῆσθαι om. A.
22. ψυχῆς] θείας ψυχῆς I.
23. παρ' αὐτοῖς—φύσιν] παρὰ τὴν—πίστιν Λ.
24. ἀεὶ] ἀεὶ δὲ A.
ib. βιοτεύουσι λαμπροτάτῃ] βιοτεύειν τῇ I.
26. εἰς τοῦτο] εἰσοῦ A.

ἔνιοι δὲ λέγουσι τὸν Εὐριπίδην τὰς Μούσας λέγειν Ἁρμονίας θυγατέρας, ἀγνοήσαντες· οὐ γὰρ τοῦτο λέγει, ἀλλ' ὅτι αἱ Μοῦσαι πρῶτον ἐπὶ τὴν Ἀττικὴν ἐλθοῦσαι τὴν ἁρμονίαν ᾠδὴν καὶ τὴν μελῳδίαν. διὰ γὰρ τοῦ φυτεῦσαι τοῦτο παρίστησι νῦν. περὶ δὲ τοῦ τὰς Μούσας ἐν τῇ Ἀττικῇ ἱδρῦσθαι ἀρκεῖ τὰ Παλαιφάτου. ὁ δὲ λόγος, ἔνθα φησὶν, ἐν ταῖς Ἀθήναις λέγονται αἱ Μοῦσαι γεννῆσαι καὶ καταστήσασθαι πάσης σοφίας τὴν ἁρμονίαν. λέγει δὲ τὴν παίδευσιν, παρὰ τὸ ἁρμόζεσθαι καὶ ἑνοῦσθαι τῇ ψυχῇ ταύτην. ἢ ὅτι συγκεχυμένας ψυχὰς αὐτὴ ἐπεισελθοῦσα εἰς ἁρμονίαν καὶ εὐστάθειαν εἰσάγει. σωφρονεῖν παρέχουσα. A.B.I.

834. ξανθάν: εὐανθῆ. Fl. 10.

835. τοῦ καλλινάου Κηφισοῦ: νῦν τοῦ ἐν Ἀττικῇ μνημονεύει. ἔστι γὰρ καὶ ἕτερος ὁμώνυμος ἐν Βοιωτίᾳ. εἰσὶ δὲ καὶ ἕτεροι, καθά φησι Πολέμων ἐν τῷ περὶ ποταμῶν, γράφων οὕτως "ἐν Ἀθήνῃσί τε Κηφισὸς καὶ ἐν Σικυῶνι καὶ ἐν Ἄργει." A.B.I.

836. κλῄζουσιν: ἀπὸ κοινοῦ τὸ κλῄζουσι, τουτέστι λέγουσι δὲ τὴν Ἀφροδίτην ἀεὶ καὶ διηνεκῶς ἐνταῦθα ποιεῖν, περιτιθέναι δὲ τοῖς ἑαυτῆς πλοκάμοις πολύν τινα κόσμον, καὶ οὕτως δὴ ἐρασμίαν ἑαυτὴν παρασκευάσασαν ἐξαποστέλλειν τοὺς ἐπὶ πᾶσαν σοφίαν ὁδηγοὺς ἔρωτας. ἐμφαίνει δὲ διὰ τούτων ὡς ἐρωτικῶς ἔχοντες πρὸς πᾶσαν σοφίαν οἱ Ἀθηναῖοι εἰκότως τὸν κατὰ πάντων ἔχουσι τῆς παιδεύσεως στέφανον. οἷον ὡς εἰ ἔλεγεν, ἀεὶ δὲ ἔρωτας ἔχοντες πρὸς πᾶσαν σοφίαν οἱ Ἀθηναῖοι οὗτοι περιτίθενται τὸν πολυανθῆ τῆς παιδεύσεως στέφανον, μόνοι πιστευόμενοι πάντας νικᾶν τῇ παιδεύσει. ἀεὶ γὰρ λέγουσι τὴν

1. ἔνιοι δὲ] δὲ om. A. qui lemma praefigit ξανθὰν ἁρμονίαν.
ib. τὸν om. A.I.
3. ἐπὶ A.B. ἐς I.
ib. τὴν Ἀττικὴν] τῆς ἀττικῆς A.
ib. τὴν ἁρμονίαν] τὴν om. I.
4. τοῦ φ.] τὸ φ. A.
5. ἀρκεῖ] ἀρκῆ I.
6. γεννῆσαι καὶ om. A.
7. τὴν ἁρμονίαν] τὴν om. B.I.
8. ἁρμόζεσθαι] ἁρμόσασθαι A.
9. ψυχὰς] τὰς ψυχὰς B. τῇ ψυχῇ A.
ib. αὐτὴ] αὐτ A.
ib. ἐπεισελθοῦσα] ὑπεισελθοῦσα A.
13. καθά—γράφων οὕτως om. A.
15. Κηφισὸς] κηρισσὸς (sic) I.
16. ἀπὸ A. κατὰ B.I.
17. ἀεὶ om. I.
ib. περιτιθέναι A. παρατιθέναι B.I.
18. ἑαυτῆς A. ἑαυτ B. ἑαυτοῖς I.
21. ἔχουσι] ἔχει A.
22. οἷον om. A.
ib. ἀεὶ δὲ] τοὺς δὲ I.
ib. ἔρωτας] ἔρωτα A.
ib. οἱ Ἀθηναῖοι οὗτοι addidi ex A. Solum οὗτοι habet B. et post περιτίθενται Fl. 6. 15.
24. μόνοι—παιδεύσει om. A.
ib. ἀεὶ γὰρ] ἀεὶ δὲ B. ἀεὶ δὲ ἐπιβαλλομέναν: ἀεὶ δὲ A.

Ἀφροδίτην στεφανοῦσαν τούτους εὐώδει ῥοδέῳ πλόκῳ πέμπειν αὐτούς, τῇ σοφίᾳ παρέδρους. A.B.I.

840. ἐπιβαλλομέναν: περιτιθεμένην. Fl. 10.

843. παρέδρους: ἀντὶ τοῦ συνοίκους, παρόσον οὐκ ἐκτός εἰσιν ἔρωτος οἱ περὶ σοφίαν καὶ πᾶσαν ἀρετὴν διακείμενοι. A.B.I.

846. πῶς οὖν ἱερῶν: πῶς οὖν τὴν τεκνολέτειραν ὑποδέξεται ἡ πόλις τῶν ἱερῶν ποταμῶν, ἡ χώρα τῶν φίλων, τουτέστι τῶν ἡδέων καὶ ἀγαθῶν. Λ. Ἄλλως. ἡ μεταξὺ τῶν ἱερῶν κειμένη ποταμῶν. τῷ προτέρῳ δὲ διαζευκτικῷ συνδέσμῳ τῷ ἢ τὸ ἡ ἄρθρον ἔξωθεν προσδεκτέον, τουτέστιν ἢ ἡ πόλις, ἢ ἡ χώρα. ὁ δὲ νοῦς, πῶς ἂν οὖν σε δέξαιτο ἡ πόλις αὕτη ἡ ἱεροὺς ἔχουσα ποταμοὺς καὶ καθαροὺς παντὸς μολύσματος, ἢ ἡ τῶν κατ' αὐτὴν ἀνδρῶν προσφιλεστάτη ἡμῖν πόλις, παιδοκτόνου γενομένην καὶ ἀνοσίαν τῷ κατὰ τῶν φιλτάτων φόνῳ. A.B.I.

847. ἢ φίλων: ἀντὶ τοῦ προσφιλεστάτων καὶ φιλοξενωτάτων. οὐκ εἰκῆ δὲ τοῦτο, ἀλλ' ἵνα αἰνίξηται πρὸς ἀποτροπὴν τὴν ὑπερβάλλουσαν ἀνοσιότητα τοῦ φόνου, ὅτι, καίπερ φιλόξενοι πεφυκότες, πρὸς σὲ τὴν τοιαύτην γενομένην ἀξενώτατοι γενήσονται. A.B.I.

848. πόμπιμος: ἡ τὴν ἐκπεμφθεῖσαν ὑποδεχομένη, οὐκ αὐτὴ πόμπιμος οὖσα. B.I.

851. πλαγάν: τὴν πληγήν, φησί, τὴν τῶν τέκνων καὶ τὸν φόνον μὴ προπετῶς δράσῃς, ἀλλὰ πρότερον μεθ' ἡμῶν ἢ ἄλλων τινῶν σκέψαι, εἰ τοῦτο χρή σε δρᾶσαι. A.B.I.

1. τούτους] τούτοις A.
ib. εὐώδει ῥοδέῳ πλόκῳ] εὐώδη ῥοδέων πλόκον A.
2. παρέδρους] δὲ add. A.
4. ἀντὶ τοῦ om. I.
ib. εἰσιν—οἱ—διακείμενοι] ἐστὶν—ὁ—διακείμενος A.
8. Ἄλλως add. A.
ib. ἢ] ἢ B.I.
ib. κειμένη (κειμένοις I.) ποταμῶν] ποταμῶν κειμένη A.
ib. τῷ προτέρῳ δὲ διαζευκτικῷ συνδέσμῳ] τῶν προτέρων δὲ διαζευκτικῶν συνδέσμων Fl. 6. 15.
9. ἔξωθεν προσδεκτέον (προστεθέον Fl. 6. 15. i. e. προσθετέον) om. A.
10. ἂν om. A.
11. ἡ ἱεροὺς] ἡ om. A.
ib. καὶ καθαροὺς] ἢ καθαροὺς B.I.
12. ἡμῖν] ἡμῶν A.
15. φιλοξενωτάτων] φιλοξενιστάτων libri, licet mox habeant ἀξενώτατοι.
16. εἰκῆ A.B. εἰκεῖ I. ἔχει Fl. 6.
ib. αἰνίξηται] ἐνδείξηται I.
17. ὅτι A. ὡς B.I.
18. τὴν om. B.I.
19. ἡ B. ἤγουν I.
ib. ὑποδεχομένη] ἐπιδεχομένη I. Simile scholion in Fl. 10. ἡ τὴν ἐκπ. δεχομένη, οὐκ αὐτὴ ἐκπέμπουσα ἡ χώρα.
21. τὴν ante τῶν om. I.
ib. τῶν τ.] ἐκ τῶν τ. A.
22. δράσῃς] δράσης I.
23. εἰ Barnes. εἰς A.B.I.

856. πόθεν θράσος: ἀντὶ τοῦ τίνι λογισμῷ χρησαμένη, τουτέστι τίς σε τῶν πάντων πείσας τοσοῦτον θράσος ἐνθεῖναι τῇ σαυτῆς ψυχῇ, ἢ τῇ δεξιᾷ ὁπλιζομένῃ κατὰ τῶν φιλτάτων παίδων παρεσκεύασεν. A.B.I.

858. καρδίᾳ τε λήψῃ: ἀντὶ τοῦ κατὰ τὴν σαυτῆς καρδίαν καὶ τὸν λογισμὸν προσλήψῃ, σχήσεις. B.I.

861. τέκνοις ἄδακρυν μοῖραν: μοῖραν τὸν καιρόν. καὶ Ἀριστοφάνης "ὃν ὄλβιαι Μοῖραι ξυνάγουσιν" ἐν Βατράχοις. A.

862. σχήσεις φόνον: λείπει ἡ εἰς. οὐ καρτερήσεις. B.

864. τέγξαι χεῖρα φόνῳ: τὸ ἑξῆς, φόνου χεῖρα φονίαν. εὖ οἶδα, φησὶν, ὅτι οὐ καρτερήσεις τῇ ἐργάσει τοῦ φόνου τέγξαι, μολῦναι, τὴν χεῖρα τῷ αἵματι τῶν παίδων γονυπετούντων σε. A.B.I.

866. ἦκω κελευσθείς: ἦκω, φησὶν, ὑπὸ σοῦ κελευσθεὶς καὶ μεταπεμφθείς· καὶ γὰρ οἶδα δυσμενῆ σε, ὅμως τούτου οὐκ ἂν ἁμάρτοις τοῦ ἐμὲ ἐλθεῖν. ἰδοὺ, φησὶ, καίπερ δυσμενῶς ἔχουσα πρὸς ἐμὲ τυγχάνεις τῆς ἐμῆς παρουσίας, καὶ κελευούσης οὐκ ἠπείθησα. A.B.I.

870. τάσδ' ἐμὰς ὀργὰς φέρειν: αἰτοῦμαι, φησὶν, ἃς πεποίημαι πρὸς σὲ μετ' ὀργῆς ὕβρεις ῥᾳδίως φέρειν καὶ μὴ μνησικακεῖν ὑπομιμνησκόμενον τῆς πρότερον ἡμῶν συνηθείας καὶ ὧν ἐπράξαμεν εἰς ἀλλήλους εὐεργεσιῶν. A.B.I.

871. ἐπεὶ ἡμῖν τοῖς δυσὶν ὑπείργασται, ὅ ἐστι πέπρακται, πολλὰ προσφιλῆ. A.B.

p. 54. l. 23. χρή σε δ. A. δ. σε χρὴ B. Fl. 6. δρᾶσαί σ' ἐχρῆν I.

1. ἀντὶ τοῦ add. A.

2. τῶν] ὁ τῶν I.

ib. τοσοῦτον θ.] θ. τοσοῦτον A.

3. παρεσκεύασεν B. Fl. 6. παρασκευάσαι I., om. A. qui post παίδων eadem fere ponit quae praecesserant, τὸ ἑξῆς οὕτως, πόθεν θράσος λήψῃ φρενὸς καρδίᾳ ἢ χειρὶ κατὰ τῶν τέκνων σου δεινὰν προσάγουσαν τόλμαν. λείπει γὰρ ἡ κατά. τὸ δὲ πόθεν ἀντὶ τοῦ τίνι λογισμῷ χρησαμένη, τουτέστιν τίς σε τῶν πάντων πείσει τοσοῦτον θράσος ἐνθεῖναι τῇ σεαυτῆς ψυχῇ ἢ τῇ δεξιᾷ ὁπλιζομένη κατὰ τῶν φιλτάτων. τὸ δὲ ἢ καρδίᾳ ἢ χειρὶ ἀντὶ τοῦ ἢ ἐννοίᾳ ἢ πράξει:—

8. Βατράχοις] 452.

10. τέγξαι χεῖρα φόνῳ] οὐ δυνάσῃ παίδων A.

ib. φονίαν] φόνου φονίαν A.

11. τέγξαι, μολῦναι, τὴν χεῖρα] χεῖρα μολύναι A.B.

12. τῷ om. B.I. σε om. A.

13. καὶ μεταπεμφθείς om. I.

14. ἁμάρτοις] ἁμάρτῃς B.

16. κελευούσης] κελευούσῃ B. Fl. 6. κελεύη A.

ib. ἠπείθησα] ἀπείθησα I.

19. καὶ om. I.

20. πρότερον] προτέρας Fl. 6.

ib. συνηθείας] φιλίας I.

ib. εἰς] πρὸς B.I.

22. ὅ ἐστι A. ἀντὶ τοῦ B.

ib. προσφιλῆ] φίλα A. a m. rec.

872. ἐγὼ δ'—ἐλοιδόρησα: ἐγὼ ἐμαυτῇ διὰ λόγων ἐπετίμησα. A.B.I.

879. τί πάσχω: τί κακοπαθεῖν βούλομαι. B. Fl. 10.

880. οὐκ εἰσὶ μέν μοι: ταῦτα, φησὶ, πρὸς ἐμαυτὴν διείλεγμαι, ὦ Ἰᾶσον, ὅτι παῖδας ἔχω τοὺς ἐκ σοῦ, καὶ οὐ δεῖ με λυπεῖσθαι τῷ νυνὶ γάμῳ· εἶθ' ὅτι καὶ φυγάδες ἐσμὲν ἐκβεβλημένοι τῆς Θεσσαλίας, καὶ διὰ τοῦτό με δεήσει τὴν ἐνταῦθα διατριβὴν ἀσπάζεσθαι, ἔρημον οὖσαν φίλων. ὑποκρίνεται δὲ νῦν καὶ μετ' εἰρωνείας ταῦτα λέγει. A.B.I.

886. μετεῖναι: συμμετέχειν καὶ κοινωνεῖν. B.

887. καὶ ξυμπεραίνειν: ἀντὶ τοῦ συμπεραίνειν σοι γεγαμηκότι καὶ ὑπηρετεῖσθαί σοι. ἑξῆς δὲ αὐτὰ σαφηνίζει λέγουσα "καὶ παρεστάναι λέχει." B.

891. ἀντιτείνειν: ἀντιφιλονεικεῖν. B.

892. παριέμεσθα: παυόμεθα, παραπεμπόμεθα, οἷον παραιτοῦμαι, συγχωρῶ. B.I.

899. λάβεσθε χειρός: τοῦτο ἠρέμα καὶ καθ' ἑαυτὴν, ὡς ἐννοοῦσα τὴν ἀπήνειαν τοῦ φόνου κατὰ τῶν παίδων. φεῦ μοι, φησὶ, τῶν κακῶν, ὡς ἀλγῶ τὴν ψυχὴν, ἐννοοῦσα τὸ κεκρυμμένον ἐν τῇ ἐμῇ ψυχῇ κακόν. λέγει δὲ τὸν τῶν παίδων φόνον. ἀπὸ δὲ τούτου φαίνεται τὸ μὴ κατὰ προαίρεσιν αὐτὴν ὁρμᾶν ἐπὶ τὸν φόνον, ὅπου γε περιαλγεῖ τὴν ψυχὴν τῷ πάθει, ἀλλὰ διὰ τὸ προτεθυμῆσθαι ἀμύνασθαι τὸν Ἰάσονα. δύναται δὲ καὶ εἰς ἐπήκοον τοῦ Ἰάσονος λεγόμενον πρὸς τοῦτον, ὅτι ἀγωνιῶ καὶ πάνυ τετάραγμαι, ἐκεῖνο ἐνθυμουμένη τῶν κεκρυμμένων καὶ ἀθήλων ἀνθρώποις πραγμάτων, εἰ ζήσονται οὗτοι σὺν ἡμῖν πολὺν χρόνον, ὡς ἕτερον μὲν αὐτὴν νοεῖν, ὅπερ ἔμελλε δρᾶν,

1. ἐγὼ δ'—ἐπετίμησα] Haec in A. B.I. leguntur in scholio proximo post οὖσαν φίλων.
ib. διὰ λόγων om. A.
5. ἔχω] ἔχων A.
ib. με om. A.
6. Θεσσαλίας] θετταλίας B.
7. με] μοι B.I.
17. καὶ καθ'] καὶ om. A. qui prima scholii verba repetit infra ad v. 925. οὐδὲν τέκνων: τοῦτο ἠρέμα πρὸς ἑαυτὴν ἐννοοῦσα τὴν ἀπήνειαν τοῦ κατὰ τῶν παίδων φόνου φεῦ μοι φησὶ τῶν κακῶν δι' οὐδὲν etc.
ib. ἐννοοῦσα] τῶν παίδων add. A.
18. κατὰ τῶν παίδων add. A.
20. λέγει — ἐπὶ τὸν φόνον add. A. B. Fl. 6.
ib. τὸν τῶν] τούτων Fl. 6.
22. τὴν ψυχὴν A.B. τὴν ἐμὴν ψυχὴν Fl. 6. I.
ib. προτεθυμῆσθαι] προτεθυμεῖσθαι I. προτεθεῖσθαι A.

ἑτέρως δὲ ἐκδέχεσθαι τὸν Ἰάσονα, ὅτι ἄρα ἄδηλα τὰ κατ' ἀνθρώπους κεκρυμμένα. A.B.I.

900. ὡς ἐννοοῦμαι: οὐκ ἀναγκαῖον ἦν ταῦτα λέγειν· φαντασίαν γὰρ παρέχει τῷ Ἰάσονι ὡς κακοτεχνοῦσα. ἀλλ' ἕνεκα τῶν κακῶν ἀνθρώπων τὰ τοιαῦτα παρεγχωρεῖ λέγειν. A.B.I.

901. ἆρ', ὦ τέκν', οὕτω καὶ πολὺν ζῶντες χρόνον: καὶ τοῦτο κατὰ διπλῆν ἔννοιαν, ἥν τε ὁ Ἰάσων ὑπολαμβάνει οὐχ ὑγιῶς καὶ ἣν αὐτὴ κρύπτει ἀληθεύουσα. A.B.I. ἆρ', ὦ τέκν': διὰ τὴν κοινὴν ἁπάντων τύχην λέγει ταῦτα. Fl. 10.

903. ὡς ἀρτίδακρυς: ἀντὶ τοῦ ἑτοιμόδακρυς καὶ προσφάτως δακρύουσα. χρὴ δὲ νοεῖν ὅτι ἐδάκρυσεν ὑπομνησθεῖσα τῆς πράξεως. ὁ δὲ Ἰάσων ᾤετο αὐτὴν δακρύειν, οἰκτείρουσαν τοὺς παῖδας ἐπὶ τῷ τοῦ πατρὸς ἐστερῆσθαι. ἐδάκρυσε δὲ ἀλγοῦσα τὴν ψυχὴν ὅτι πρὸς τοῦτο τῆς τύχης κατήντησε καὶ νῦν ἀναγκάζεται ταῦτα δρᾶν. A.B.I.

904. χρόνῳ δὲ νεῖκος: διὰ πολλοῦ, φησί, χρόνου τῆς πρὸς τὸν πατέρα ὑμῶν φιλονεικίας ἀποστᾶσα, καὶ νῦν διαλλασσομένη, πλήρης γέγονα δακρύων. A.B.I. χρόνῳ: μόλις. Fl. 10.

910. παρεμπολῶντι: πιθανῶς κέχρηται τῇ τροπικῇ λέξει, ἐμφαίνων αὐτὸν κέρδους ἕνεκα καὶ τοῦ τοὺς ἐκ Μηδείας παῖδας ὠφελῆσαι, τοῦτον ὡς πραγματευσάμενον ἑαυτῷ τὸν γάμον. τὸ γὰρ παρεμπολᾶν ἐπὶ τοῦ κερδαίνειν τίθεται. οἷον ἄλλοις γάμοις χρωμένῳ παρὰ τοὺς ὑπάρχοντας. Ἄλλως. προσκτωμένου, πορίζοντος. ἀντὶ τοῦ ἐμπο-

1. ἄρα] ἄρ' A.
4. κακῶν] κοινῶν A.
5. παρεγχωρεῖ] παραχωρεῖ Fl. 6.
ib. λέγειν] λέγειν . . . . . οῦτο ἡ γῆ (cum lacuna) A.
7. ἦν τε] ἦν γε A.B. ἣν I.
8. ἀληθεύουσα om. A.
10. ἑτοιμόδακρυς καὶ om. B.I.
11. ὑπομνησθεῖσα τῆς πράξεως addidi ex A. Post ἐδάκρυσεν (ἐδάκρυσε B.) in B.I. Fl. 6. pergitur μὲν ἀλγοῦσα—ταῦτα (ταῦτα om. I.) δρᾶν, quae rectius scripta ex A. posui infra post ἐστερῆσθαι.
12. ᾤετο] ὡς τὸ A.
ib. τοὺς παῖδας A. τὰ παιδία B.I.
13. τοῦ πατρὸς ἐστερῆσθαι] στέρεσθαι τοῦ πατρός A.
15. τῆς] ἡ A.
16. διαλλασσομένη] διαλλασσομένης I.
17. δακρύων] Addit A. ἄλλως. ὁ χορὸς φησὶ τῆς πρὸς τὸν πατέρα et reliqua ut supra.
18. ἐμφαίνων] ἐκφαίνων B. Fl. 6 15.
19. τοῦ τοὺς] τοῦ om. A.
ib. ὠφελῆσαι] ὠφελήσειν Fl. 6. 15. ὠφελήσειν ἑαυτὸν B.
20. τὸν γάμον] τὸν om. A.
21. ἐπὶ A.B. ἀντὶ I.
ib. τίθεται] τίθεσθαι A.
ib. ἄλλοις γάμοις B. ἄλλους γάμους A. ἀλλὰ γάμοις I.
ib. χρωμένῳ Barnes. χρωμένου B. Fl. 6. χρωμένοις Fl. 15. ἐμπορευομένῳ A.
22. Ἄλλως—δοτικῆς addidi ex A.

λῶντι, γενικὴ ἀντὶ δοτικῆς. ἢ τὸ πόσει ἀντὶ τοῦ πόσιος, δοτικὴ ἀντὶ γενικῆς. παρεμπολῶντος δὲ ἀντὶ τοῦ ὠνουμένου. πέφυκε γάρ, φησί, τὸ θῆλυ γένος δυσμενῶς ἔχειν τῷ ἀνδρί, ἕτερον, ὥσπερ εἰπεῖν, ἐμπορευομένῳ καὶ περιποιουμένῳ γάμον ἑαυτῷ, οἷον ἄλλοις χρωμένῳ γάμοις παρὰ τοὺς ὑπάρχοντας. ἰδίως δὲ εἴρηκε πόσει ἀντὶ τοῦ πόσιος. οἱ δὲ ὑποκριταὶ ἀγνοήσαντες γράφουσιν, ἀντὶ τοῦ πόσει ἐμοῦ, ὅπερ οὐ δεῖ. A.B.I.

912. ἔγνως δὲ τὴν νικῶσαν: ἀλλὰ νῦν ὥσπερ ἐκ μετανοίας τὸ κάλλιστον αὐτῇ βουλεύῃ. τὸ δὲ ἐξῆς, ἔγνως δὲ τῷ χρόνῳ τὴν νικῶσαν βουλήν. ὁ δὲ ἀλλά ἀντὶ τοῦ καί, τουτέστι καὶ τὴν νικῶσαν βουλὴν ἔγνως τῷ χρόνῳ. λέγει δὲ τὸ πεπαῦσθαι αὐτὴν τῆς πρὸς αὐτὸν ὀργῆς. A.B.I.

917. τὰ πρῶτ' ἔσεσθαι: ἀντὶ τοῦ τὰ πρωτεῖα ἀπενέγκασθαι καὶ βασιλεύειν Κορίνθου ἅμα τοῖς ἐκ Γλαύκης τικτομένοις ὑμῖν ἀδελφοῖς. τὸ δὲ ἔτι κατ' ἐπίτασιν, οἷον ἔτι μᾶλλον ὑμᾶς διαπρέψειν, συναπτομένους βασιλικῷ γένει, ἢ ὅσης ὑμῖν ἀξίας μετῆν ἐξ ἐμοῦ μόνου. A.B.I.

922. αὕτη, τί χλωροῖς: πάλιν εἰς τὴν αὐτὴν ἔννοιαν ταῦτα. ἔδει δὲ αὐτὴν μηδὲ κλαίουσαν εἰσάγεσθαι· οὐ γὰρ οἰκεῖον τῷ προσώπῳ τούτῳ· ὠμὸν γὰρ εἰσῆκται τοῦτο· ἀλλ' ἐκφέρεται τῇ ὀχλικῇ φαντασίᾳ, ποιήσας κλαίουσαν καὶ συμπάσχουσαν. ἀπιθάνως γὰρ τὴν

1. ἢ τὸ] ἢ τῷ A.
2. παρεμπολῶντος A. παρεμπολοῦντος B.I.
ib. ὠνουμένου—ἰδίως] ὠνουμένου, τουτέστιν ἄλλοις γάμοις χρωμένῳ τοῦ ἀνδρός. ἰδίως etc. A. qui separatum scholion habet, εἰκὸς γὰρ ὀργάς: πέφυκε γάρ, φησὶ, τὸ θῆλυ γένος χαλεπὴν ἔχειν τῷ ἀνδρὶ ἐμπορευομένῳ δευτέρους γάμους, οἷον ἄλλοις χρωμένῳ γάμοις παρὰ τοὺς ὑπάρχοντας:—
3. ἐμπορευομένῳ — χρωμένῳ] ἐμπορευομένων καὶ περιποιουμένων γ. ἑαυτῶν, οἷον ἄλλοις χρωμένου Fl. 6.
5. δὲ A. οὖν B.I.
ib. εἴρηκε] εἴη I.
8. ἀλλὰ νῦν — τὸ δὲ ἐξῆς om. A., sed infra post ὀργῆς addit ὥσπερ δὲ ἐκ μετανοίας τὸ κάλλιστον αὐτῇ βουλεύει. τὸ ἐξῆς ἔγνως δὲ τῷ χρόνῳ:—
9. δὲ τῷ χρόνῳ om. A.
10. ὁ δὲ] δὲ om. A.
11. τῷ χρόνῳ om. A.
ib. δὲ τὸ] τὸ om. B.I.
ib. αὐτὴν] αὐτὸν A.
12. αὐτὸν] αὐτοῦ I.
13. ἀντὶ τοῦ om. B.I.
14. βασιλεύειν] βασιλεύσειν B.
ib. Κορίνθου] κατὰ τὴν κορινθίαν A.
ib. ὑμῖν] ἡμῖν A.
15. ἔτι μᾶλλον] ἐπὶ μᾶλλον I. ἐπιμᾶλλον B.
16. μετῆν] μετ͂ (i. e. μετῆς) A.
17. ταῦτα om. I.
18. δὲ] γὰρ A.
ib. κλαίουσαν] μέλλουσαν Fl. 6.
ib. οὐ γὰρ om. I.
19. τούτῳ] τοῦτο B.
ib. ὠμὸν—τοῦτο addidi ex A.
ib. ἐκφέρεται] ἐκφέρεσθαι I.

τοιαύτην διαχειριζομένην τὰ τέκνα εἰσάγει. ἄμεινον δὲ Ὅμηρος· "ὀφθαλμοὶ δ' ὥσει κέρα ἔστασαν." A.B.I.

925. οὐδὲν τέκνων τῶνδε: δι' οὐδὲν γάρ, φησὶ, δακρύω ἕτερον ἢ ἐννοουμένη πῶς ἕξουσι τύχης οἱ παῖδες, ἀναχωρησάσης ἐμοῦ. A.B.I.

927. δράσω τάδ': ἀντὶ τοῦ παύσομαι τῶν δακρύων καὶ θαρσήσω σοι. A.B. τὸ δὲ ἕξῃς, γυνὴ δὲ θῆλυ ἔφυ καὶ ἐπὶ δακρύοις ἔφυ. A. θαρρήσω σοι. Fl. 10. σιωπήσω. B.

928. γυνὴ δὲ θῆλυ: ἀντὶ τοῦ ἀσθενὲς τὸ γυναικεῖον γένος πέφυκε πρὸς τὰς καταλαμβανούσας συμφορὰς καὶ ἕτοιμον εἰς δάκρυα. A.B.I.

930. ἔτικτον αὐτούς: σύγγνωθί μοι, φησὶ, δακρυούσῃ· ἔτικτον γὰρ αὐτούς. νῦν δὲ, ὅτε ἐθάρσουν τοὺς παῖδας τὸ ἀσφαλὲς ἕξειν τοῦ ζῆν, εἰς τοῦτο παρελθόντας ἡλικίας καὶ τῆς ἐν βρέφεσιν ἐπισφαλοῦς ἀνατροφῆς ἀπαλλαγέντας, καὶ λοιπὸν ἐσεμνυνόμην παῖδας ἐγγὺς ἡβῶντας ἔχειν, τότε δι' ἕτερον ἀγωνιῶ, εἰ τὸ ἀσφαλὲς αὐτοῖς τῆς σωτηρίας ὑπάρξει ὑπὸ μητρυιὰν γενομένοις. τοῦτο γὰρ ἐμφαίνει. A.B.I.

931. εἰσῆλθέ μ' οἶκτος: ἐν γὰρ τῇ βραχείᾳ ἡλικίᾳ ἐν πλείονι ἀδείᾳ ζωῆς εἰσιν οἱ ἄνθρωποι. A.B.I.

935. κἀμοὶ τάδ' ἐστὶ λῷστα: ἀντὶ τοῦ καλῶς ἔχειν κρίνω, μετὰ γνώμης ὑμῶν, σοῦ τε καὶ τοῦ Κρέοντος καὶ τῆς τούτου θυγατρὸς, οἰκεῖν τὴν Κόρινθον. ἢ οὕτως, κἀμοὶ αὐτῇ συναρέσκει. B.I.

942. σὺ δ' ἀλλὰ σήν: τὸ ἕξῃς, ἀλλὰ σὺ τὴν σὴν γυναῖκα κέλευσον αἰτήσασθαι τοῦτο παρὰ τοῦ πατρὸς, τὸ τοὺς παῖδας μὴ ἀπελαθῆναι τῆς Κορίνθου. A.B.I.

944. μάλιστα: προσδοκῶ. τὸ δὲ σφέ ἀντὶ τοῦ αὐτόν. B.

945. εἴπερ γυναικῶν: ἀντὶ τοῦ φιλάνδρων, οἷον εἴπερ φίλανδρός ἐστι, πάντα σοι πεισθήσεται ἡ Γλαύκη. A.B.I.

946. πόνου: τῆς εἰς τὴν Γλαύκην αἰτήσεως. B.

1. Ὅμηρος] Od. 19, 211.
3. γὰρ om. B.I.
4. ἢ ἐννοουμένη A. ἐννοουμένη δὲ B.I.
ib. τύχης post οἱ παῖδες A.
ib. ἐμοῦ ante ἀναχωρησάσης A.
8. ἀντὶ τοῦ om. I.
ib. ἀσθενὲς] φησὶ add. B.I.
ib. γ. πέφυκε] πέφυκε γ. B.I.
9. καὶ] ὡς I.
12. γὰρ addidi ex A.
ib. ἕξειν A. ἔχειν B.I.
13. τοῦτο] τοῦτο γὰρ A.
14. ἐγγὺς om. B.I.
16. μητρυιὰν B. μητρυιᾶς A.I.
ib. γενομένοις A. γινομένοις A.I.
18. ἀδείᾳ] δειλίᾳ A.
22. τὸ ἕξῃς om. A.
ib. σὺ om. B.I. σὴν om. I.
23. τοῦ om. A.
27. πάντα] ταῦτα I.
ib. ἡ Γλαύκη om. B.I.

947. ἃ καλλιστεύεται: ἅπερ προτιμᾶται καὶ κάλλιστα νομίζεται τῶν νῦν δώρων παρὰ τοῖς ἀνθρώποις. τὸ δὲ πολύ πρὸς τὸ καλλιστεύεται· ἢ πολύ ἀντὶ τοῦ πάνυ. A.B.I.

950. ἀλλ' ὅσον τάχος: ἀλλ' ὅσον οὐδέπω, φησὶ, δεήσει τῶν θεραπόντων τινὰ ἅμα τοῖς παιδίοις ἀποκομίζειν τὰ δῶρα τῇ Γλαύκῃ. B.I.

955. ἐκγόνοισιν οἷς: ἤτοι τοῖς αὐτοῦ γονεῦσιν, ἢ τοῖς ἑαυτοῦ μὲν ἐκγόνοις, τουτέστι παισὶν, ἵνα τοῦτο λείπῃ. A.B.I.

956. φερνάς: φερνὴ ἡ προῖξ. λάβετε, φησὶ, τὴν ἐμὴν φερνὴν, ἣν εἰσηνεγκάμην τῷ πατρὶ ὑμῶν, καὶ ἀποκομίζετε τῇ νύμφῃ. A.B.I.

958. οὗτοι δῶρα: τοῦτο διπλῆν ἔχει τὴν ἔννοιαν, μίαν μὲν, ἣν ὁ Ἰάσων ἐκδέχεται, ὅτι οὐκ ἀπόβλητα αὐτῇ τὰ δῶρα, ἀλλὰ θαυμαστὰ, ἑτέραν δὲ, ἣν αὐτὴ κρύπτει, ἀντὶ τοῦ οὐ γελάσει τὸ δῶρον ὡς ἀσθενὲς ἀναιρήσει γὰρ αὐτόν. A.B.I.

962. εἴπερ γὰρ ἡμᾶς: εἴπερ, φησὶ, τῷ ὄντι πᾶσα γυνὴ ἡμᾶς τοὺς ἄνδρας ἀξιοῖ λόγου τινὸς κρίνειν, προτιμήσει καὶ χρημάτων τὸ πείθεσθαι τῷ ἀνδρί. ἢ ἰδίᾳ νοητέον ἐπὶ τῆς Γλαύκης, εἴπερ με τῷ ὄντι στέργει ἡ γυνὴ καὶ ἄνευ τοῦ λαβεῖν τὰ δῶρα πεισθήσεται. A.B.I.

966. κείνης ὁ δαίμων: ἀντὶ τοῦ ἡ εὐδαιμονία, τουτέστιν ἐκείνῃ καιρὸς εὐδαιμονεῖν, ἡμῖν δὲ ταῦτα οὐκ ᾠκείωται ὡς δυστυχοῦσιν. A.B.I.

967. νέα τυραννεῖ: ἀντὶ τοῦ ἡ Γλαύκη, φησὶ, νέα οὖσα τὴν ἡλικίαν ἄρχει καὶ κρατεῖ. ἐπιπληκτικῶς δὲ τοῦτο, ὡς τοῦ Ἰάσονος διὰ τὸ νέον τῆς ἡλικίας προτετιμηκότος τὴν Γλαύκην. A.B.I.

968. ψυχῆς ἂν ἀλλάξαιμ': ἀντὶ τοῦ ἑλοίμην ἂν καὶ ἀποθανεῖν, ὑπὲρ τοῦ μὴ τοὺς παῖδάς μου ἀπελαθῆναι. καὶ τοῦτο δὲ κατ' εἰρωνείαν. A.B.I.

7. ἐκγόνοισιν οἷς] παῖδες φέροντες A. πατρὸς πατήρ B. πατρὸς πατρὶ δίδωσιν ἐ. οἷς I.
ib. τοῖς αὐτοῦ] ἀντὶ τοῦ B.I.
8. ἐκγόνοις] ἐγγόνοις I.
ib. λείπῃ] λείπει A.
9. φερνὴ ἡ προῖξ A. φερνή τις ἐστιν ἡ προῖξ B. Fl. 6. 15. φερνήτης ἡ προῖξ I.
ib. φερνὴν] φερνὰν A.
10. εἰσηνεγκάμην] εἰσενεγκάμην B.I. εἰσενέγκαμεν A.
14. αὐτὸν] αὐτήν A.B. αὐτ̃ I.
16. λ. τινὸς] τινὸς λ. A.
17. ἐπὶ] καὶ ἐπὶ I.
20. ἡμῖν—δυστυχοῦσιν addidi ex A.
ib. ᾠκείωται] ἀ ὠκείωται (sic) A.
23. ἐπιπληκτικῶς] αἰνιγματῶδες A.
ib. διὰ om. B.
26. μου ἀ. A. ἀ. μου B.I.
ib. ἀποκτεῖναι μου I.
ib. ἀπελαθῆναι] ἀποκτεῖναι I.
ib. εἰρωνείαν] εἰρωνίαν I.

972. κόσμον διδόντες: καὶ τοῦτο πιθανὸν τὸ παρεγγυᾶσθαι τοῖς παισὶν ἐντελλομένην ἐκείνην αὐτῇ διδόναι, ὑπόληψιν ἔχουσαν φαρμακίδος. A.B.I. τοῦδε γὰρ μάλιστα: ἕνεκεν τοῦδε τοῦ μὴ φεύγειν ὑμᾶς δεῖ αὐτὴν λαβεῖν τὰ δῶρα. A.

976. νῦν ἐλπίδες: ἐκ τοῦ ἀπελθεῖν τὰ δῶρα πείθεται ὁ χορὸς ὅτι μέγα κακὸν γενήσεται, ἐξ οὗ ἀναγκασθήσεται ἡ Μήδεια πάντως φονεῦσαι τὰ τέκνα. οὐκέτι μοι εἰσὶν ἐλπίδες τοῦ ζήσεσθαι τὰ τέκνα. A. ἀντὶ τοῦ οὐκέτι μοι ἐλπίδες τοῦ σώζεσθαι τοὺς παῖδας. Fl. 6.15.

980. θήσει τὸν Ἅιδα: θάνατον, φησὶ, μᾶλλον περιθήσεται ἢ κόσμον. A.B.I.

983. αὐγὰ πέπλων: τὸ ἑξῆς, αὐγὰ καὶ χάρις ἀμβρόσιος πέπλων πείσει περιθέσθαι χροΐ χρυσεότευκτον στέφανον. A.B.I. ἀμβρόσιος δὲ ἀντὶ τοῦ ἀμβροσία, θεία. αὐτὴ δὲ ἡ λαμπηδὼν τοῦ χρυσέου στεφάνου καὶ τῶν πέπλων πείσει αὐτὴν ταῖς ἰδίαις χερσὶ λαβοῦσαν περιτίθεσθαι ταῦτα, ἵνα τῇ τοῦ παντὸς σώματος διακοσμήσει καὶ ἡ κεφαλὴ πρὸς ἀξίαν κεκόσμηται. A.

985. νερτέροις: ἀντὶ τοῦ παρὰ τοῖς νερτέροις καὶ τοῖς κατοιχομένοις αὐτὴν κοσμήσει ταῦτα τὰ δῶρα. νυμφοκοσμῆσαι δέ ἐστι τὸ τὴν νύμφην κοσμῆσαι. νυμφοκοσμήσει οὖν ἀντὶ τοῦ νυμφευθήσεται. A.B.I. νὰ ποιήσῃ τὴν Γλαύκην νυμφευθῆναι. B. rec.

986. ἔρκος: ὄλεθρον. Fl. 10.

989. σὺ δ', ὦ τάλαν: τοῦτο πρὸς τὸν Ἰάσονα ἀποτείνει. κηδεμὼν δὲ παρὰ τὸ κῆδος, ἀντὶ τοῦ γαμβρέ. σὺ δὲ, φησὶν, ὦ ἐπ' ὀλέθρῳ γενόμενε νυμφίε τῆς Γλαύκης, καὶ ἐπιγαμβρίαν οὐκ εὐτυχῆ ταύτην πρὸς τοὺς βασιλεῖς ἐσχηκὼς, ὄλεθρον τοῖς αὐτοῦ παισὶ καὶ τῇ νύμφῃ κατασκευάζεις, οὐ συνεὶς τὸ ἐπ' ὀλέθρῳ μηχάνημα. βιοτᾷ δὲ παισὶν ἀντὶ τοῦ τῇ ζωῇ τῶν παίδων. A.B.I. οὐ γινώσκων τῇ τῶν παίδων βιοτῇ ὄλεθρον προσάγεις. B. κηδεμών: κηδεστά. Fl. 2.

995. δύστανε, μοίρας: μοίρας ἀντὶ τοῦ τοῦ πρέποντος. καὶ τοῦτο

2. ἔχουσαν] ἔχουσα I.
11. αὐγὰ—αὐγὰ] αὐτὰ—αὐτὰ B.I.
ib. αὐγὰ πέπλων—πείσει] αὐτὴ χεροῖν λαβοῦσα: αὐτὰ χάρις ἀμβρόσιός τε αὐγὰ πέπλων πείσει A.
12. περιθέσθαι] παραθέσθαι I.
13. αὐτὴ δὲ ἡ λαμπηδών] Haec verba etiam B., αὐτή pro αὐγή scripto.
19. οὖν] δὲ I.
22. τὸν om. I.
24. γενόμενε] γινόμενε I.
26. βιοτᾷ Elmsleius pro βιοτάν.
27. τῇ ζωῇ A.B. τὴν ζωὴν Fl. 6.
15. τῇ βιοτῇ I.
29. μοίρας ἀντὶ τοῦ A. τουτέστι B.I.

δὲ πρὸς Ἰάσονα ἀποτείνει. τί δὲ πρὸς τὴν Μήδειαν; ἵνα φονεύσῃς τὰ παιδία σου. τὸ δὲ παροίχῃ, παρελθεῖν πεποίηκας, ὦ Ἰᾶσον, πολὺ μέρος τῆς θανατηφόρου μοίρας τῇ Γλαύκῃ, ὡς ἐγγὺς εἶναι τὸν θάνατον αὐτῆς, ἀφ' οὗ τὸν καιρὸν τοῦ θανάτου τῇ Γλαύκῃ συνήγαγες καὶ πλησίον εἶναι πεποίηκας, συγχωρήσας ὑπ' ἀγνοίας ἀποκομισθῆναι τὰ δῶρα. μοίρας δὲ τῆς θανατηφόρου φησίν. τὸ δὲ ὅσον ἀντὶ τοῦ πολύ. A.B.I. Ἄλλως. ὦ ταλαίπωρε Ἰᾶσον, ὅσον ἐκπέπτωκας τῆς εὐμοιρίας. ἢ οὕτως, ὅσον τοῦ καθήκοντος ἐξέδραμες ὥστε μὴ συνιέναι ὅτι ἐπὶ φόνον τὰ τέκνα σου ἄγεις. A.

996. μεταστένομαι: ἢ μετά ἀντὶ τῆς ἐπί, καὶ τὸ σὸν ἀντὶ τοῦ σοί, τουτέστι, στένω δὲ καὶ ἐπὶ σοὶ ἄλγος ἔχω. μεθίσταμαι δὲ καὶ ἐπὶ τὸ σὸν ἄλγος, καὶ στένω τὴν σὴν τύχην, ἐφ' ᾗ τὴν ψυχὴν ἀλγεῖς. λέγει δὲ τὸ διημαρτηκέναι αὐτὴν τοῦ Ἰάσονος. A.B.I.

1002. ἀφεῖνται: ὁ παιδαγωγὸς ἀγαγὼν τοὺς παῖδας διαλεχθέντας τῇ Γλαύκῃ λέγει, συγκεχώρηται τοῖς παισὶν ἐνταῦθα μεῖναι. A.

1008. ξυνῳδά: σύμφωνα. Fl. 10.

1009. μῶν τιν' ἀγγέλλων τύχην: ἡ μὲν Μήδεια ἐννοουμένη τὸν ὅσον οὐδέπω μέλλοντα δι' αὐτὴν ἔσεσθαι φόνον τοῖς παισὶν εἰστήκει κατεστυγνασμένη, ὁ δὲ παιδαγωγὸς ἐνόμιζεν αὐτὴν ἐφ' οἷς ἀπήγγειλε λυπεῖσθαι. ἆρ' οὖν, φησὶ, μὴ οὐ χρηστά σοι ἀπήγγειλα, καὶ ἐσφάλην, νομίσας εὐαγγελίσασθαι πρὸς σὲ ταῦτα; A.B.I.

1012. κατηφεῖς: κατηφὲς ποιεῖς καὶ καταστυγνάζεις. B.

1013. πολλή μ' ἀνάγκη: ὡς μὲν πρὸς τὸν πρεσβύτην, ὅτι κατα-

1. δὲ om. I. et οὐ ποτείνει pro ἀποτείνει.
ib. φονεύσῃς τὰ παιδία] φονεύσῃ τέκνα I. φονεύσῃς τὰ τέκνα B. Fl. 6. 15.
3. τῇ Γλαύκῃ om. I.
5. ἀγνοίας A. Fl. 6. 15. ἀνοίας B.I.
6. τῆς θανατηφόρου] τὰς θανατηφόρους μοίρας A.
10. τῆς] τοῦ I.
ib. καὶ τὸ σὸν ἀντὶ τοῦ σοί addidi ex A. In B. Fl. 6. 15. καὶ τὸ σόν μοι.
11. σοὶ] τὸ σὸν A.
ib. ἄλγος ἔχω] καὶ ἄλγος ἔχω B. Fl. 6. 15. μεθίσταμαι—ἄλγος om. A.
13. αὐτὴν add. A. Idem τῶν pro τοῦ.
14. In B. ἀντὶ τοῦ σ. τοῖς παισί σου ἐ. μ. καὶ μὴ ἀπελαθῆναι. ὁ π. δέ ἐστιν ἐνεγκὼν τοὺς π. ἤδη δ. πρὸς τὴν γλαύκην:—
17. ἐννοουμένη A. ἐννοοῦσα B.I.
18. ὅσον οὐδέπω μέλλοντα om. A.
ib. αὐτὴν] αὐτὸν I.
ib. ἔσεσθαι] ἐσόμενον A.
ib. τοῖς παισὶν om. I.
ib. εἰστήκει κατεστυγνασμένη] αὐτῆς θάνατον φόνον ἐστύγναζεν A.
19. ἐνόμιζεν] νομίζων A.
ib. ἀπήγγειλε] ἐπήγγειλε I.
23. ὡς μὲν—λείπει δὲ τὸ ὀδύρεσθαι om. A., sed habet similia infra.

λείψει αὐτὰ, ὡς δὲ πρὸς ἀλήθειαν, ὅτι φονεύσει αὐτά. λείπει δὲ τὸ ὀδύρεσθαι. ἀνάγκη, φησὶ, πολλή μοι ὀδύρεσθαι ἐπὶ τοῖς παροῦσι κακοῖς· ὑπό τε γὰρ τῆς ἐμῆς ἀνοίας καὶ τοῦ παρὰ τῶν θεῶν χόλου τὰ κατ' ἐμὲ κακῶς διάκειται. ταῦτα δὲ λέγει προπέτειαν ἑαυτῆς καταγινώσκουσα καὶ ἐμέμψατο ἑαυτῇ ἐπὶ τῇ τῶν δώρων ἀποστολῇ. ἀνάγκη γὰρ, εἰ ἔμελλεν ἡ Γλαύκη ἀπόλλυσθαι, καὶ αὐτῆς τὰ τέκνα ὑπ' αὐτῆς ἀναιρεῖσθαι, ἵνα μὴ ὑπὸ ἄλλου τοῦτο γένηται. αὕτη μὲν οὖν ἐπὶ τοῦτο μετανοεῖ, αὐτὸς δὲ ᾤετο αὐτὴν ὀδύρεσθαι, ὅτι φυγὰς ἔμελλε γενέσθαι. A.B.I.

1014. ἐμηχανησάμην: πέμπουσα τὰ δῶρα τῇ Γλαύκῃ. Fl. 10.

1015. θάρσει: ἔτι θαρσεῖν ὀφείλεις. καὶ γὰρ εἰ φυγεῖν μέλλεις τῇ τῶν παίδων ὑποστάσει καὶ ζωῇ, ὅμως ἰσχὺν ἔχει τὰ κατὰ σὲ, καὶ εὔελπις εἶ τούτοις πρὸς τὸ μέλλον συμβιῶναι. τὸ δὲ ἔτι καὶ ἐπὶ τοῦ μέλλοντος κεῖται. τὸ οὖν κρατεῖς ἀντὶ τοῦ νενίκηκας καὶ εὐτύχηκας ὅσον τὸ ἐπὶ τοῖς τέκνοις, ὡς εὔελπις εἶ πρὸς τὸ μέλλον. A.B.I.

1016. ἄλλους κατάξω: τὸν ἐσόμενον τῶν παίδων φόνον πάλιν προοδύρεται, ἀσήμως δὲ ὑπὲρ τοῦ μὴ συνιέναι τὸν παιδαγωγόν. τὸ μὲν οὖν ἄλλους ἀντὶ τοῦ τούτους, τὸ δὲ κατάξω ἀντὶ τοῦ πέμψω εἰς Ἅιδου. A.B.I.

1. λείπει δὲ τὸ] τὸ δὲ τὸ I.

2. πολλή μοι ὀδύρεσθαι ἐπὶ addidi ex A.

3. κακοῖς A. κακοῖς κλαίειν B.I.

ib. ὑπό τε] ὁπότε I.

ib. γὰρ om. A., τῶν om. B.

ib. ἀνοίας] ἀγνοίας A. Fl. 6. 15.

4. προπέτειαν] προπετείας I.

5. καταγνώσκουσα A.B. κατηγοροῦσα I.

ib. καὶ ἐμέμψατο ἑαυτῇ add. A.

ib. ἀποστολῇ] Pergit A. εἰ γὰρ ἔμελλεν ἀποθανεῖν ἡ γλαύκη, ἀνάγκη ἦν φονεῦσαι τὴν μήδειαν τὰ ἑαυτῆς τέκνα, ἵνα μὴ ὑπὸ ἄλλων τοῦτο γένηται, ὅπερ αὐτὴ ἐλυπεῖτο μετανοοῦσα, αὐτὸς δὲ ᾤετο αὐτὴν ὀδύρεσθαι, ὅτι φυγὰς ἔμελλε γίνεσθαι:—

8. τοῦτο] τούτῳ B.

ib. φυγὰς hoc loco A.B., post γενέσθαι I.

9. γενέσθαι] γίνεσθαι A.B. In Fl. 6. 15. est ὅτι φυγὰς αὐτὸς ἔμελλε γίνεσθαι.

11. εἰ] εἰ καὶ B.I.

ib. φυγεῖν] φεύγειν B.I. In A. est φυ, omisso γ, omisso μέλλεις, quod φύγοις esse videtur.

12. τῇ τῶν] ἀλλ' οὖν τῇ τῶν A.

ib. ὅμως—πρὸς τὸ μέλλον] πάλιν συμβιώσῃ. τὸ γὰρ ἔτι τὸ μέλλον δηλοῖ, τὸ δὲ κρατεῖς ἀντὶ τοῦ νενικηκώς. ἄλλους. διπλῆ πάλιν ἡ ἔννοια, ἡ μὲν πρὸς τὸν πρέσβυν ὅτι χωρὶς τῶν τέκνων φεύξεται καὶ καταλείψει αὐτὸν, ὡς δὲ πρὸς τὴν ἀλήθειαν ὅτι φονεύσει αὐτά:—A.

15. ὅσον τὸ Matth. pro τὸ ὅσον.

17. ὑπὲρ] ὑπὸ I.

18. δὲ om. A.

ib. εἰς ᾅδου A. idque post κατάξω. εἰς τὸν ᾅδην B.I.

1017. *οὗτοι μόνη σύ*: *ἡ μὲν ἔλεγεν ὅτι, πρὶν εὐτυχῆσαι ὑπ' αὐτῶν, ἀλλοτρίους μου γενομένους τοὺς παῖδας καταπέμψω εἰς τὸν Ἅιδην. ὁ δὲ παιδαγωγὸς τὸ κατάξω νοεῖ ἀντὶ τοῦ ἀποπέμψω πρὸς τὸν Ἰάσονα ἠλλοτριωμένους μου τοὺς παῖδας, ἵν' ᾖ τὸ ἄλλους ἀντὶ τοῦ ἀλλοτρίους.* A.B.I.

1018. *κούφως φέρειν χρή*: *πάλιν οὐδὲν ἧττον μὴ συνεὶς τὸ εἰρημένον οἴεται αὐτὴν ὀδύρεσθαι τὴν ἑαυτῆς ἐξορίαν.* A.B.

1025. *σφῷν μέν ἐστι*: *τοῦ σφῷν τὸ πλῆρες σφῶιν, τουτέστιν ὑμῶν τῶν δύο. τὴν μὲν πόλιν, φησί, τήνδε ὑμεῖς οἰκήσετε, ὦ τέκνα, καὶ τὸν οἶκον τοῦτον δι' αἰῶνος. λέγει δὲ ἀσήμως τὸν Ἅδην, καὶ πάντα δὲ τὰ ἐξῆς αἰνιγματωδῶς ὁμιλεῖ ὑπὲρ τοῦ μὴ αἰσθέσθαι τὸν παιδαγωγόν. τὸ δὲ ἐν ᾧ πρὸς τὸ οἰκήσετε συναπτέον· τουτέστιν ἐν ᾧ τῷ Ἅιδῃ οἰκήσετε ἀπολιπόντες ἐμέ.* A.B.I.

1027. *εὐνὰς ἀγῆλαι*: *Φρύνιχος ἀγῆλαι ἀντὶ τοῦ εὔξασθαι. καὶ παρ' Ἀριστοφάνει "διὰ παντὸς, ὦ δέσποιν', ἀγαλοῦμεν ἡμεῖς ἀεί." καὶ Ἕρμιππος Ἀρτοπώλισι "φέρε νῦν ἀγήλω τοὺς θεοὺς ἰοῦσ' ἔσω."* A.B.I. *δηλοῖ καὶ τὸ τιμῆσαι. ἄγειν γὰρ τὸ τιμῆσαί φησιν ἐν πρώτοις ἐγώ. καὶ "ἡγόμην δ' ἀνὴρ ἀστῶν μέγιστος τῶν ἐκεῖ." ἢ ἀγῆλαι*

1. *οὗτοι μόνη σύ*] *ἄλλως* A.
ib. *εὐτυχῆσαι*] *εὐτυχήσω* A.
2. *μου*] *μὲν* A.
ib. *τοὺς παῖδας* om. A.
ib. *καταπέμψω*] *πέμψω* I.
ib. *τὸν* om. A.
3. *παιδαγωγὸς*] *πρέσβυς* A.
ib. *νοεῖ* (*ἐννοεῖ* B.) *ἀντὶ τοῦ ἀποπέμψω*] *νοεῖ ὅτι πέμψω* A.
4. *τὸν* om. I.
ib. *ἠλλ.*] *τοὺς ἠλλ.* A.
ib. *ἵν'—ἀλλοτρίους* om. A.
8. *τὸ πλῆρες*] *πλῆρες τὸ* I.
9. *ὑμεῖς* om. I.
11. *πάντα δὲ*] *δὲ* om. I.
13. *ἐν ᾧ τῷ*] *ᾧ* om. B.I.
14. *τοῦ* om. B.I.
15. *Ἀριστοφάνει*] Pac. 393.
ib. *ἀγαλοῦμεν*] *ἀγηλοῦμεν* I.
ib. *ἡμεῖς*] *ἡμεῖς σ'* B.I.
16. *ἀρτοπώλισι* A.B. et grammaticus Bekkeri Anecd. p. 328, 25. et Suidas s.v. *ἀγῆλαι*. *ἀρτοπώλιδι* Fl. 6. *ἀρτοπώλιτι* Fl. 15. *ἀρτοπώλοισιν* I.
ib. *ἰοῦσ' ἔσω*] *εἴσω ἰοῦσ'* A. *οἴους* vel *οἷους* grammaticus Bekkeri et Suidas. Verum videtur *ἰοῦσ' ἐγώ*. Nam *ἔσω*, ut *ἐς*, alienum est ab usu comicorum, ut observavit Elmsleius ad Med. 88., etsi semel dixit Eubulus ap. Ammonium p. 50. Proximum Hermippi versum *καὶ θυμιάσω τοῦ τέκνου σεσωσμένου* addunt grammaticus Bekkeri et Suidas.
17. *δηλοῖ καὶ—*] Hujus scholii particula est in B. Fl. 6. 15. *δηλοῖ καὶ τὸ τιμῆσαι· ἄγειν γὰρ τὸ τιμῶν φασίν.* Postrema *ἀγῆλαι ἀντὶ—συναγαγεῖν* sunt etiam in B.
ib. *φησὶν*] Male scriptum pro *φασίν*, nisi nomen excidit scriptoris cujus proxima esse possunt verba *ἐν πρώτοις ἄγω* (nam sic fortasse scribendum pro *ἐγώ*.)
18. *ἡγόμην—ἐκεῖ*] Sophoclis verba Oed. T. 775.
ib. *μέγιστος*] *μέγιστοι* A.

ἀντὶ τοῦ παρασκευάσαι καὶ συναγαγεῖν. A. ἀναστρέφεσθαι δὲ ἀνατεῖναι. αὐθαδείας δὲ ἀπονοίας, αὐταρκείας. B.

1028. αὐθαδίας: ἀπονοίας. Fl. 10.

1029. ἄλλως: ματαίως. B. Fl. 10.

1030. κατεξάνθην: κατετάκην. A.B. Fl. 10. ἐφθάρην, κατεπονήθην. A.B. κατεσπαράχθην. A.

1034. περιστελεῖν: κρύπτειν, ἐνταφιάζειν. B.

1039. ἀποστάντες βίου: ἄλλου βίου λέγει τοῦ κατὰ τὸν Ἅιδην, ὡς κἂν τοῖς κατοιχομένοις οὔσης τινὸς ἑτέρας πολιτείας. A.B.I. καταλλαγέντες. B.

1043. γυναῖκες, ὄμμα: πρὸς τὰς τοῦ χοροῦ λέγει, ἀπορῶ τί δεῖ ποιεῖν. θέλει δὲ εἰπεῖν ὅτι τὸν φόνον οὐκέτι μου ἡ ψυχὴ τολμᾷ, ἀλλὰ λύομαι ταῖς τῶν ὀφθαλμῶν χάρισιν, ἀτενιζόντων εἰς ἐμὲ τῶν φιλτάτων. A.B.I.

1044. χαιρέτω βουλεύματα: λείπει τὸ σφάξαι τὰ τέκνα. καὶ ἐρρέτω, φησίν, ὁ ἐπὶ τῷ σφάξαι με τὰ τέκνα κρατήσας λογισμός. A.B.I.

1046. τί δεῖ με πατέρα: ἀφίσταμαι, φησὶ, τοῦ φόνου τῶν παίδων. οὐ γὰρ ἵνα τὸν πατέρα τούτων λυπήσω τῷ θανάτῳ αὐτῶν, ὀφείλω ἐμαυτῇ διπλασιοῦν τὰ κακά. λέγει δὲ τὴν λύπην τὴν ἐπὶ τοῖς παισίν. ἢ οὕτως, σαφῶς εὐηθές ἐστιν ἐργαζομένην με τὸν θάνατον τοῖς φιλτάτοις ἐπὶ τῷ τὸν πατέρα λυπῆσαι αὐτὴν διπλασίαν λύπην κτήσασθαι διὰ τῆς τούτων τελευτῆς· δοκοῦσι γὰρ αἱ μητέρες συμπαθέστεραι εἶναι ταῖς τῶν παίδων συμφοραῖς. θαυμάσαι δὲ ἔστι τὸν ὑπερβάλλοντα θυμὸν, ὃν ἔχει κατὰ τοῦ Ἰάσονος ἡ Μήδεια, ὅτι, καίπερ προσδοκῶσα μειζόνως λυπηθήσεσθαι, ὅμως ὑπὲρ τοῦ λυπῆσαι τὸν Ἰάσονα αἱρεῖται τούτους φονεύειν. A.B.I.

1048. οὐ δῆτ' ἐγώ: ἔτι ἐν μετανοίᾳ ἐστίν· οὐκ ἂν ἐγὼ φονεύ-

9. κἀν (κἂν B.) τοῖς] καὶ τοῖς A. καὐτοῖς Fl. 6. I.

ib. κατοιχομένοις] καταχθονίοις Fl. 6.

11. ἀπορῶ τί δεῖ ποιεῖν addidi ex A.

13. ἀτενιζόντων] ἀνατεινιζόντων I.

15. λείπει—με] διὰ τὸ σφάξαι τὰ τέκνα καὶ ἐλθέτω φησὶν ὁ ἐπὶ τῷ σφάξαι μου I.

16. ἐπὶ τῷ] ἐπὶ τὸ A.

19. λυπήσω] νικήσω I.

21. ἢ οὕτως—τούτων τελευτῆς om. A.

ib. με (μὴν Florr.) τὸν θάνατον B. Fl. 6. 15. μὲν τὸν φόνον I.

23. συμπαθέστεραι—ταῖς A. περιπαθέστεραι—ἐν ταῖς B.I.

26. λυπῆσαι] λυπεῖσθαι Fl. 6. 15.

28. ἔτι ἐν μετανοίᾳ] ὅτι μετάνοι' I.

σαιμι, φησὶν, ἀλλὰ μεθείσθω μοι ὁ κρατήσας με τοῦ φόνου λογισμός. A.B.I. γράφεται δὲ καὶ παύομαι βουλευμάτων. B.I.

1049. καίτοι τί πάσχω: ἐνταῦθα ὥσπερ ἀναζωπυροῦσα τὸν κατὰ τοῦ Ἰάσονος θυμὸν λαμβάνεται ἑαυτῆς καὶ φησὶ, τί δὴ πέπονθα εἰς οἶκτον ἐμπεσοῦσα τῶν παίδων. οὐ γὰρ ἐμὲν καταισχύνειν ἐμαυτὴν, ἀφεῖσαν ἀτιμώρητον τὸν πάντων ἐμοὶ πολεμιώτατον Ἰάσονα, ἐξὸν φονεύουσαν τούτους λυπῆσαι τοῦτον. ἐχθροὺς οὖν λέγει ἀντὶ τοῦ ἐχθρὸν τὸν Ἰάσονα. τοιοῦτον δὲ καὶ τὸ παρ' Ὁμήρῳ "ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;" A.B.I.

1052. τὸ καὶ προέσθαι μαλθακούς: τὸ ἐνδοῦναι τῇ φρενὶ μαλθακοὺς λόγους. A.

1053. ὅτῳ δὲ μή: ᾧτινι δὲ, φησὶν, οὐκ εὐσεβὲς φαίνεται τὸ παρεῖναι τῷ φόνῳ τούτῳ καὶ δέχεσθαι τοιαύτας θυσίας, οὗτος ἀπίτω. τοῦτο δὲ εἶπεν ὡς ὄντων θεῶν τινων χαιρόντων ἀνδροφονίαις, οἷον Ἐρινύων, Ἄρεως, καί τινων ἑτέρων. A.B.I. Ὅμηρος "Ἄρες Ἄρες βροτολοιγὲ μιαιφόνε" τῷ δὲ "αὐτῷ μελήσει" συναπτέον τὸ "μὴ παρεῖναι." B.I.

1055. χεῖρα δ' οὐ διαφθερῶ: πάλιν ἐνταῦθα λύεται πρὸς οἶκτον. ἔστι γὰρ μίμησις μητρὸς, οὐ προαιρέσει, ἀνάγκη δὲ τῷ τοὺς ἐχθροὺς ἀμύνασθαι τολμώσης φόνου κατὰ τῶν φιλτάτων. οὐκ ἂν οὖν, φησὶν, ἐγὼ μολύναιμι τῷ τῶν ἐξ ἐμοῦ παίδων αἵματι τὴν ἐμαυτῆς χεῖρα. A.B.I.

1. φησὶν add. A.
ib. μεθείσθω μοι ὁ B. μεθείσθω μοὶ οὐ I. χαιρέτω ὁ A.
ib. με τοῦ A. με om. B.I.
2. παύομαι B. παύηται I.
3. ἀναζωπυροῦσα] ἀναζωπιρήσασα Fl. 6. 15.
ib. τὸν—θυμὸν A.B. τῷ—θυμῷ I.
4. τοῦ om. A.I.
ib. λαμβάνεται] καὶ λαμβάνεται I.
5. ἐμπεσοῦσα A. Fl. 6. 15. ἐκπεσοῦσα B.I.
6. ἐμαυτήν] ἑαυτήν I.
ib. ἐμοὶ] ἐμὲν I.
7. ἐξὸν—διελέξατο θυμός om. A.
ib. τούτους] τούτους μόνον I.
ib. λυπῆσαι τοῦτον om. I.
8. Ὁμήρῳ] Il. 11, 407.
9. διελέξατο θυμός om. B. θυμός om. I.
12. ᾧτινι] ὅτῳ I.
ib. δὲ, φησὶν om. A. τὸ om. B.I.
13. τοιαύτας θυσίας] τοιαύταις θυσίαις I.
14. θεῶν τινων] τινῶν θεῶν B.
ib. ἀνδροφονίας] ἀνδροφονίᾳ B.I.
ib. Ἐρινύων] ἐρινύων I.
15. τινων om. A.
16. μιαιφόνε addidi ex B.
18. πάλιν ἐνταῦθα—] Hoc scholion infra repetit A. ubi scriptum est οὐ προαιρέσει, ἀλλὰ διὰ τὸ ἐχθροὺς —τολμώσης οὐκ ἂν ἐγὼ μολύναιμι φησὶν ἐμαυτὴν τῷ φόνῳ:—
20. κατὰ] ἀντὶ A.
20. 21. οὖν et τῶν om. I.

1058. ἐκεῖ: ἀντὶ τοῦ ἐν Ἀθήναις. B. Fl. 10.

1059. μὰ τοὺς παρ' Ἅιδην: τοὺς καταχθονίους ἀλάστορας. διὰ οἶκτον οὖν τὸν πρὸς τοὺς παῖδας ὅρκῳ φρικωδεστάτῳ ἑαυτὴν κατακλείει. A. ἀλάστορας δὲ οὓς οὐκ ἔστι λαθεῖν. ἐπειδὴ δὲ συνεχῶς ὁρᾷ ἑαυτὴν νικωμένην τῷ πρὸς τοὺς παῖδας οἴκτῳ, ὅρκῳ φρικωδεστάτῳ κατακλείει ἑαυτὴν, πρὸς τὸ μηδὲν ἕτερον ἢ τὸν φόνον τῶν παίδων ἐξ ἅπαντος δρᾶσαι. καὶ οὐκ ἂν ἐγὼ, φησὶ, καταλείψαιμι τοὺς ἐμοὺς παῖδας ὑπὸ τῶν ἐμῶν ἐχθρῶν καθυβρίζεσθαι. λέγει δὲ ὑπὸ τῶν πρὸς γένους τῇ Γλαύκῃ. B.I.

1061. καθυβρίσαι δὲ λέγει τὸ μετὰ αἰκίας τινὸς ἀνελεῖν. A. B.I.

1062. πάντως σφ' ἀνάγκη: κἂν ἐγὼ, φησὶ, μὴ φονεύσω τούτους, ἀλλ' οἱ ἐχθροὶ πάντως ἀναιρήσουσιν. εἰ δὲ ἅπαξ χρὴ τούτους ἀποθανεῖν, κάλλιον ὑφ' ἡμῶν ἀναιρεῖσθαι, ἵνα μὴ δοκοῖεν οἱ ἐχθροὶ τιμωρίαν ταύτην λαμβάνειν παρ' ἡμῶν. A.B.I. οἱ δὲ τὸ εἱμαρμένον τοῖς παισὶν, ὡς καὶ τὴν Ἰάσονος μοῖραν, ἐν οἷς φησιν "Ἀργοῦς κάρα σὸν λειψάνῳ πεπληγμένος." A. καθυβρίσαι: ἀνέχειν. Fl. 10.

1062. ἀνάγκη: ἀντὶ τοῦ κέκριται, εἵμαρται, πέπρωται. B. πέπρωται. Fl. 10.

1065. καὶ δὴ πὶ κρατί: ταῦτα ἐκ τοῦ χρόνου ἀναλογιζομένη πρὸς ἑαυτὴν λέγει. καὶ δὴ, φησὶν, ἡ μὲν Γλαύκη, ὡς εἰκὸς, ἐπὶ τῆς κεφαλῆς ἔχει τὸν στέφανον καὶ λοιπὸν ἐγγύς ἐστι τοῦ θανάτου. A. B.I.

1067. ἀλλ' εἶμι: μὴ μέλλωμεν ἥκειν ἐπὶ τὴν δυσχερεστάτην ὁδὸν τοῦ φόνου. A.B.I. τὴν ἐπὶ τὸν Ἅιδην λέγει. τὸ δὲ ἔτι ἀντὶ τοῦ πολὺ μᾶλλον. A.B.

1073. εὐδαιμονοῖτον μὲν, ἀλλ' ἐκεῖ. λέγει δὲ εἰς Ἅιδην. B. τὰ

2. τοὺς καταχθονίους θεούς (θεούς om. I.) est in B. Fl. 6. 15. I.
6. τῶν παίδων om. B.
7. καὶ] κ' B.
ib. ἐγὼ, φησὶ] φησὶ ἐγὼ B.
8. ἐμῶν B. Fl. 6. 15., om. I.
ib. δὲ om. I.
10. λέγει A. λέγεται B.I.
ib. αἰκίας] αἰτίας, superscripto κί, B. βίας A.
12. πάντως σφ' ἀνάγκη om. I.
ib. κἂν B. καὶ A.I.
13. πάντως—τούτους] πάντες—ταύτοις A.
14. ἡμῶν] ἡμῖν A.
15. παρ' A. ἐξ B.I.
16. ἐν οἷς φησιν] V. 1387.
21. ἑαυτὴν λέγει A. ἐμαυτὴν λέγω B.I.
ib. ἐπὶ τῆς κεφαλῆς om. I.
24. δυσχερεστάτην] δυστυχεστάτην A.

δ' ἐνθάδε: τὰ ἐν τοῖς ζῶσι, τουτέστιν ὁ πατὴρ αἴτιος τοῦ μὴ ζήσεσθαι ὑμᾶς. A.B.I.

1074. προσβολὴ δὲ περίπτυξις, ἢ ἀντὶ τοῦ πρώτη θέα. ἐν τῷ περιπτύσσεσθαι δὲ καὶ καταφιλεῖν ταῦτα λέγει. B.I.

1081.—1115. πολλάκις ἤδη: ἀποτρέπων ὁ χορὸς τὴν Μήδειαν τῆς τῶν παίδων ἀναιρέσεως διεξέρχεται τοὺς τῆς παιδοποιίας φόνους. A. πολλάκις, φησὶ, κατ' ἐμαυτὴν ἐλογισάμην καὶ δι' ἀκριβεστέρων λογισμῶν προῆλθον αὐτὴ πρὸς ἐμαυτὴν ἀμιλλωμένη καὶ ζητοῦσα εἰ δυνατὸν καὶ τῇ γυναικείᾳ φύσει ἐρευνᾶν τὰ τοῦ βίου πράγματα, καὶ εἰδέναι τί μὲν καλὸν τοῖς ἀνθρώποις, τί δ' οὔ. καὶ λογισαμένη εὗρον ὅτι μέτεστι μὲν ταῖς γυναιξὶ σοφίας καὶ τῆς τῶν ἀνθρωπίνων πραγμάτων καταλήψεως οὐ πάσαις δὲ, ἀλλ' ὀλίγαις, ὧν οὖσα μία καὶ αὐτὴ τυγχάνω, καὶ λογίζομαι τῶν ἀνθρώπων τοὺς ἀπείρους παιδοποιίας πολλῷ προφέρειν καὶ ὑπερβάλλειν εὐτυχίᾳ τοὺς γεννήσαντας. ὅσοι μὲν γὰρ τῶν κατὰ τὴν παιδοποιίαν μόχθων ἐκτός εἰσιν, εἴτε καλὸν εἴτε λυπηρὸν οἱ παῖδες οὐκ ἴσασιν· οἱ δ' ἔχοντες ἀνάγκην τῆς περὶ τοὺς παῖδας ἐπιμελείας κατατρυχόμενοι διατελοῦσι, πρῶτον μὲν ὅπως ἀγάγωσι τοὺς παῖδας κοσμίως σπουδάζοντες, δεύτερον δὲ καὶ πόθεν τούτοις χρημάτων πόρον καταλείψειαν, τρίτον ἐπὶ τούτοις οὐκ εἰδότες πότερον χρηστοῖς οὖσι τοῖς παισὶν ἢ πονηροῖς. τοῦτον δὲ τὸν τρόπον μοχθοῦσι τὸν χρόνον ἅπαντα. οὐ γὰρ εὐμαρὲς συνιέναι τρόπον ἀνθρώπου, ὅπου γε τοὺς νομιζομένους εἶναι χρηστοὺς πονηροὺς πολλάκις ἐξαίφνης εὑρίσκομεν. ἐν δὲ πάντων τῶν κακῶν τελευταῖον βούλομαι πᾶσιν ἀνθρώποις ἐξειπεῖν· δῶμεν γὰρ ὅτι

1. ζήσεσθαι A. σώιζεσθαι B. ut solet. σώζεσθαι I.
2. ὑμᾶς] ἡμᾶς A.
3. προσβολὴ] In A. πνεῦμα δ' ἥδιστον: πνεῦμα ἡ περίπτυξις.
8. προῆλθον] προσῆλθον A.
ib. ἀμιλλωμένη] λογιζομένη I.
10. μὲν καλὸν τοῖς ἀνθρώποις A. μὲν ἀνθρώποις καλὸν B.I.
11. μὲν ταῖς om. I.
12. ἀνθρωπίνων] ἀνθρώπων I.
ib. πάσαις δὲ] δὲ om. I.
13. τυγχάνω] φημὶ A.
14. προφέρειν] προσφέρειν A.
15. ὅσοι —] Lemma εἴθ' ἥδὺ βροτοῖς praefixum in A.
ib. μὲν γὰρ] μὲν οὖν I.
ib. τὴν om. A.
16. εἴτε λυπηρὸν om. I.
21. τοῦτον δὲ] δὲ om. A.
22. εἶναι] γῆς (sic) A.
23. ἓν] εὖ A.
24. τελευταῖον] τελευταιότατον A.
ib. δῶμεν] θῶμεν Matth. Posterior haec scholii pars in A. repetitur infra in duo scholia divisa, ad v. 1105. ἓν δὲ τὸ πάντων: δῶμεν γὰρ ὅτι καὶ τὸν βίον αὐτάρκη κέκτηνται καὶ εἰς ἀκμὴν ἡλικίας προῆλθον. ἐὰν οὖν φθάσας ὁ δαίμων—ἁρπάσειε, πῶς ἔτι

καὶ βίον αὐτάρκη τοῖς παισὶ κέκτηνται καὶ εἰς ἀκμὴν ἡλικίας προῆλθον οἱ παῖδες, καλοί τε κἀγαθοὶ τὸν τρόπον ἐκβεβήκασιν· εἰ δὲ δή, τούτων οὕτως ἐχόντων φθάσας ὁ δαίμων, πρὶν ὄνασθαι τῶν ἀγαθῶν, τούτους ἁρπάσειε, πῶς ἔτι λυσιτελεῖ πρὸς τοῖς ἄλλοις τῶν ἀνθρώπων κακοῖς τοὺς παῖδας εὔξασθαι τοῖς θεοῖς παρασχεῖν λύπην ἀντικρούοντας; A.B.I.

1081. λεπτοτέρων: σοφῶν καὶ συνετῶν. B.

1085. ἀλλὰ γὰρ ἔστιν μοῦσα καὶ ἡμῖν: πλεονάζει ὁ ἀλλά. ἔστι γὰρ μοῦσα καὶ ἡμῖν. μέχρι δὲ τοῦ "οὐκ ἀπόμουσον τὸ γυναικῶν" ἐν μεσοσυλλαβίᾳ ἐστὶν ὁ λόγος. A. μοῦσα δὲ ἀντὶ τοῦ φρόνησις, παίδευσις πρὸς τὸ δύνασθαι διακρίνειν τὰ ἀνθρώπινα. καὶ ἡμῖν οὖν, φησί, μοῦσα προσομιλεῖ σοφίαν χαριζομένη, πρὸς τὸ ἡμᾶς ἀποφαίνεσθαί τι περὶ τῶν ἀνθρώπων. A.B.I.

1090. καί φημι: τούτων μία οὖσα καὶ αὐτή. Fl. 10.

1091. πάμπαν ἄπειροι: μακράν εἰσι μὴ πειραθέντες. B.

1092. προφέρειν: ἀντὶ τοῦ ὑπερβάλλειν, ὑπερφέρειν. B.

1093. τῶν γειναμένων: τῶν γεννησάντων, τῶν φυτευσάντων. B.

1099. ὁρῶ μελέτῃ: τούτους, φησίν, ὁρῶ τῇ περὶ τοὺς παῖδας ἐπιμελείᾳ συνεχεῖ καταπονουμένους. μελέτῃ οὖν τῇ καθημερινῇ ἐπιμελείᾳ. A.B.I.

1110. δαίμων οὗτος: τὸ δαίμων τῷ θανάτῳ συναπτέον. δαίμονα γὰρ τὸν θάνατον ὠνόμασεν· φροῦδος δὲ, ἐπεὶ ἄδηλος ἀνθρώποις ὁ θάνατος. A.B.I.

λυσιτελεῖ παῖδας εὔχεσθαι "γεννᾶν τοῖς θεοῖς: — et ad v. 1112. πῶς οὖν λύει πρὸς τοῖς ἄλλοις: ἡ οὖν συλλαβὴ σύνδεσμός ἐστι παραπληρωματικὸς ἀντὶ τοῦ δή. πρὸς τοῖς ἄλλοις τῶν ἀνθρώπων κακοῖς παῖδας εὔξασθαι τοὺς θεοὺς παρασχεῖν λύπην χαλεπὴν ἀντικρούοντας:— Alterum scholion est etiam in B. ἡ οὖν συλλαβὴ νῦν σ. π. ἀντὶ τοῦ πῶς δή. τουτέστι πῶς λυσιτελεῖ εὔξασθαι τοῖς θεοῖς παῖδας παρασχεῖν—ἀντικρούοντας.

1. προῆλθον] ἦλθον I.
2. κἀγαθοὶ] καὶ ἀγαθοὶ A.
4. ἁρπάσειε A. ἁρπάσει B.I.
5. τοὺς om. A.
ib. τοῖς θεοῖς] τοὺς θεοὺς I.
ib. λύπην] λύσιν A.
ib. λύσιν ἀντικρούοντας A. ἄντικρους ὄντας B.I.
8. πλεονάζει ὁ ἀλλά] Haec verba etiam in B. qui addit ἡ ἀντὶ τοῦ δή.
10. μοῦσα δὲ addidi ex A.
ib. φρόνησις om. A.
11. δύνασθαι] κρίνασθαι A.
12. σοφίαν] σοφίας A.
13. ἀνθρώπων A.B. Fl. 6. 15. τοιούτων I.
18. παῖδας ἐπιμελείᾳ συνεχεῖ] παῖδας συνεῖχε I.
19. οὖν A. τουτέστι B.I.
21. τὸ δαίμων τῷ] τῷ δαίμων τῷ B.

1111. προφέρων: προπέμπων, ἀποκομίζων. B.

1116. τύχην: ἀντὶ τοῦ τὴν ἀπόβασιν τοῦ πράγματος. B.

1119. πνεῦμα δ' ἠρεθισμένον: τὸ ἄσθμα. ἀντὶ τοῦ τεταραγμένον. B. πνευματιῶντα. Fl. 10. παρῳξυμμένον. οἱ γὰρ πνευματιῶντες ὀξέως καὶ συνεχῶς ἀναπνέουσιν. A.

1123. λιποῦσ' ἀπήνην: καταχρηστικῶς νῦν τὴν ναῦν ἀπήνην ὠνόμασεν· ἀπήνη γὰρ κυρίως ἡ ἅμαξα. ὄχον δὲ λέγει τὸ ὄχημα. ὁ δὲ νοῦς, εἴτε διὰ νεὼς, εἴτε δι' ὀχήματος, εἴθ' ὁπωσοῦν φεῦγε. A.B.I.

1124. τί δ' ἄξιόν μοι: ὑφὲν ἀναγνωστέον. τινὲς δὲ εἰς τὸ τί δέ στίζουσι, τὸ δὲ λοιπὸν κατ' ἐρώτησιν. A.

1129. τί φῄς; φρονεῖς μέν: πῶς, φησὶν, εἶπας τοῦτο; ὅτι μὲν γὰρ κατὰ φύσιν φρονεῖς καὶ οὐκ ἐξέστηκας δῆλον. θαυμάζω δὲ πῶς οὐκ ἀγωνιᾷς ἀκούσασα τὸν βασιλικὸν οἶκον διεφθάρθαι ὑπὸ τῶν σῶν φαρμάκων. ἢ κατ' ἐρώτησιν προενεκτέον τὸν λόγον, πῶς εἶπας τοῦτο; πῶς οὐχὶ μαίνεσθαί σε καὶ παραφρονεῖν ἄν τις νομίσειεν, οὐκ ἀγωνιῶσαν ἐπὶ τούτῳ; ἵνα ὁ μὲν παρέλκῃ. A.B.I.

1130. ᾐκισμένη: μαστιζομένη. αἰκίζω τὸ μαστίζω. Fl. 2.

1132. ἔχω τι: κἀγὼ, φησὶν, ἔχω πρὸς τὰς ἐπενεχθείσας μοι μέμψεις παρὰ σοῦ πρόφασιν εὔλογον ἀντεισάγειν, δι' ἣν εὐλόγως δοκῶ μοι χαίρειν ἐφ' οἷς ἀπήγγειλας· ἀλλὰ τέως μὴ σπεῦδε καὶ ἐπιχειρεῖν. αἰνίττεται δὲ τὸ αὐτὴν πρότερον ἠδικῆσθαι ὑπὸ τοῦ Ἰάσονος. A.B.I.

1136. ἐπεὶ τέκνων σῶν: ὡς εἴδομεν, φησὶ, τοὺς σοὺς παῖδας τὰ δῶρα προσφέροντας, ἐχάρημεν ἡμεῖς οἱ θεράποντες, οἵτινες ἐλυπήθημεν πρὸ τούτου, ἐννοοῦντες τὴν σὴν σκαιὰν τύχην. λέγει δὲ τὸ ἀπεζεῦχθαι τοῦ Ἰάσονος. ὡς οὖν, φησὶν, εἴδομεν τὰ δῶρα κομιζόμενα παρὰ σοῦ, εὐφράνθημεν, ἐλπίσαντες ὑμᾶς πεπαῦσθαι τῆς ἔχθρας·

2. In Fl. 10. τὴν τοῦ π. ἀπόβασιν.
6. νῦν om. A.
7. λέγει] κυρίως λέγεται A.
8. εἴθ' ὁπωσοῦν om. A.
11. εἶπας] εἶπες A.
12. ἐξέστηκας A.B. Fl. 6. ἐξέστησας I.
13. σῶν om. A.
14. προενεκτέον] προσακτέον A.B. Fl. 6. διενεκτέον I.
15. πῶς οὐχὶ] πῶς om. A.
19. ἀντεισάγειν A.B. Fl. 6. προσάγειν I.
20. καὶ om. A.
21. δὲ τὸ] δὲ καὶ A.
ib. ἠδικῆσθαι] ἠδικεῖσθαι A. ἀδικεῖσθαι I.
ib. τοῦ om. A.
24. ἐλυπήθημεν] ἐλυπούμεθα B.I. quod est in scholio B. οἵτινες ἐλυπούμεθα τὴν σὴν ἀπόζευξιν.
27. παρὰ] ὑπὸ I.

ἐπεὶ καὶ πολὺς ἦν λόγος κατὰ τὴν οἰκίαν διαλελύσθαι ὑμᾶς καὶ τὴν προτέραν φιλονεικίαν εἰς φιλίαν μεταβεβληκέναι. A.B.I.

1140. ἐσπεῖσθαι: φιλιοῦσθαι. Fl. 2.

1143. στέγας γυναικῶν: τοὺς οἴκους ἔνθα αἱ γυναῖκες διέτριβον αἱ ταλασιουργοῦσαι, μεθ' ὧν ἦν καὶ ἡ Γλαύκη ἐπισκοποῦσα τὴν ἐργασίαν. κἀγὼ οὖν, φησὶν, ὑπὸ πολλῆς χαρᾶς συνεισῆλθον τοῖς σοῖς τέκνοις. λείπει δὲ ἡ εἰς, ἵν' ᾖ εἰς στέγας. A.B.I.

1146. πρόθυμον εἶχ' ὀφθαλμόν: ἀντὶ τοῦ προθύμως καὶ ἥδιστα ἑώρα τὸν Ἰάσονα. ὡς δὲ εἶδε τοὺς παῖδας, ἀπεστράφη τὸν Ἰάσονα, τὸ μητρυιᾶς μῖσος εἰς τοὺς προγόνους νοσήσασα. A.B.I.

1149. μυσαχθεῖσ': ἀηδισθεῖσα. B.

1150. ὀργὰς δὲ ἀφήρει ἀντὶ τοῦ μὴ ὀργίζεσθαι τοῖς παισὶ παρήνει μηδὲ βδελύττεσθαι τούτους. A.B.I.

1151. λέγων τάδε: αἱ δύο ἀρνήσεις ἀντὶ μιᾶς κεῖνται, τουτέστι μὴ δυσμενὴς τοῖς φίλοις ἔσο, ἀλλὰ παῦσαι τοῦ θυμοῦ καὶ ἐπίστρεψον πρὸς αὐτοὺς τὰς ὄψεις. A.B.I.

1154. παραιτήσει πατρός: παρὰ τοῦ πατρὸς αἰτήσει. B.

1156. οὐκ ἠνέσχετο: ἀντὶ τοῦ οὐκ ἠνέσχετο ἐν τοιαύτῃ καταστάσει μεῖναι, ἀλλὰ μετεβλήθη τῆς ἀγριότητος καὶ τοῦ θυμοῦ. A. B.I.

1157. ἀλλ' ἦνεσ' ἀνδρί: ἀλλὰ συγκατέθετο πάντα τῷ ἀνδρί. A. B. πάντα: τὸ εἶναι ὧδε τοὺς παῖδας. Fl. 10.

1158. μακρὰν ἀπεῖναι: οὕτω δὲ περιχαρὴς γέγονε τὸν κόσμον ἰδοῦσα, καὶ ἕρμαιον ἡγήσατο τὸ δῶρον, ὡς μὴ ἀναμεῖναι τὴν ἀπουσίαν τοῦ Ἰάσονος, ἀλλ' ἔτι πλησίον ὄντος τοῦ πατρὸς καὶ τῶν παίδων εὐθὺς λαβοῦσα περιέθετο τὸν κόσμον. ἴσμεν δὲ ὅτι αἱ γυναῖκες οὐκ ἐπὶ παρουσίᾳ τῶν ἀνδρῶν κοσμοῦνται. αὕτη οὖν, φησὶν, ὑπερησθεῖσα τῷ δώρῳ οὐ παρητήσατο καὶ παρόντος τοῦ Ἰάσονος περιθέσθαι τὸν κόσμον. A.B.I.

1. λόγος] ὁ λόγος A.
ib. διαλελύσθαι] διαβεβλῆσθαι Fl. 6.
5. ἡ om. B.I.
6. συνεισῆλθον] συνῆλθον I.
7. ᾖ εἰς στέγας] ᾖ τέκνα I.
9. τοὺς παῖδας A. τούτους παρόντας B.I.
13. μηδὲ A. αὐτῇ μὴ B.I.
ib. τούτους] τοῦτον A.
15. ἔσο post δυσμενὴς B.
ib. τοῦ om. I.
ib. πρὸς] εἰς A.
18. τοιαύτῃ] τῇ αὐτῇ A.
24. τὸ δῶρον] τὸ om. B.I.
27. οὐκ ἐπὶ Fl. 10. οὐκ ἔτι A.B.I.
28. περιθέσθαι] περιέθετο A.

1159. ἠμπέσχετο: περιεβάλλετο. Fl. 10.

1161. σχηματίζεται: ῥυθμίζει, συντίθησι, καλλωπίζεται. B. καλλωπίζει. Fl. 10.

1162. ἄψυχου εἰκώ: γράφεται προσβλέπουσα σώματος. B.I. ἄψυχον εἰκόνα φησὶ τὴν ἐν τῷ κατόπτρῳ φαινομένην μορφήν. σώματος δὲ λέγει τῆς τῷ ὄντι ὄψεως. τὸ δὲ ἐξῆς, πρὸς τὴν ἄψυχον εἰκὼ τοῦ σώματος γελῶσα, τουτέστι χαίρουσα ἐπὶ τῇ ὑποπιπτούσῃ ἐν τῷ κατόπτρῳ εὐμορφίᾳ. A.B.I. ἄψυχον οὖν εἰκὼ τὴν εἰς τὸ ἔσοπτρον φαινομένην. B.I.

1164. ἁβρόν: ἁπαλὸν ἢ ἐπῃρμένον. B. ἔνδοξον. Fl. 10.

1166. τένοντ' ἐς ὀρθόν: ἀντὶ τοῦ ὀρθῷ τένοντι. B.

1168. λεχρία: πλαγία. B.

1169. μόλις φθάνει μὴ χαμαὶ πεσεῖν. B.

1171. δόξασα: νομίσασα. B.

1172. ἦ Πανὸς ὀργάς: τοὺς ἐξαίφνης καταπίπτοντας ᾤοντο τὸ παλαιὸν οἱ ἄνθρωποι ὑπὸ Πανὸς μάλιστα καὶ Ἑκάτης πεπλῆχθαι τὸν νοῦν. ὁ δὲ νοῦς, καί τις τῶν θεραπαινῶν γεραιὰ πρότερον ἑωρακυῖα κατὰ τὸ στόμα πρεϊόντα τὸν ἀφρὸν, ἐκστρέφουσάν τε τοὺς ὀφθαλμοὺς καὶ νεκρούμενον λοιπὸν τὸ σῶμα, νομίσασα θεοῦ τινος εἶναι χόλον τὸ τοιοῦτον, ἠΰξατο σωθῆναι αὐτήν. εἶτα ὡς εὐχομένης ἐπέτεινε τὸ κακὸν, θρῆνον ἠφίει, ὡς λοιπὸν ἀπολλυμένης αὐτῆς. Ἄλλως. τὰ πανικὰ δείματα, ἤτοι τὴν τῶν αἰφνιδίων φόβων καὶ ταραχῶν αἰτίαν τῷ Πανὶ ἀνατιθέασιν. A.B.I.

1173. ἀνωλόλυξε: ἀντὶ τοῦ ηὔξατο, μετ' εὐχῆς ἐβόησε. B. Fl. 6. 10. ηὔξατο· Ὅμηρος "ὀλολυγὴν πᾶσα χεῖρα." A. μετ' ἐπικλήσεως ἐβόησε. B. πρίν γ' ὁρᾷ: ἀντὶ τοῦ ἕως ἐθεάσατο, καὶ τὰ ἐξῆς. Fl. 6.

7. εἰκῶ A. εἰκόνα I. εἰκ'ὼνα B. duplici super ω accentu literisque να punctis notatis.
8. ἐν τῷ] αὐτῷ I.
15. τοὺς et οἱ om. I.
ib. ᾤοντο] οἷον A.
16. πεπλῆχθαι A.B. καταπεπλῆχθαι I.
18. τὸ στόμα] τὸ om. B.I.
ib. ἐκστρέφουσαν] ἐνστρέφουσαν Fl. 6.
19. λοιπὸν] τε λοιπὸν A. λιπὼν I.
20. τὸ (τὸ om. Fl.) τοιοῦτον addidi ex A. Fl. 6.
ib. σωθῆναι] αἰσθῆναι I.
21. Ἄλλως] πανὸς ὀργάς B.I.
22. ἤτοι B. τουτέστι Fl. 6. οἱ μὲν B., om. A.
23. ἀνατιθέασιν] ἀνατιθεῖσαι Fl. 6.
24. ἀνωλόλυξε] δὲ addit B.
25. ὀλολυγὴν] Reliquiae versus Il. 6, 301. αἱ δ' ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον.

1176. ἀντίμολπον: ἀντίφθογγον, ἐναντίον τῇ εὐχῇ. οὐ γὰρ ταυτὸν μολπὴ καὶ θρῆνος. A.B.I.

1177. εὐθὺς δ' ἡ μέν: ἡ μὲν τῶν θεραπαινῶν πρὸς τὸν πατέρα ὥρμησε τῆς Γλαύκης, ἀπαγγέλλουσα τὸ συμβάν, ἡ δὲ πρὸς τὸν Ἰάσονα. A.B.I.

1180. ἐκτύπει: ἀντὶ τοῦ θορύβον πλήρης ἦν ὁ οἶκος. B.

1181. ἤδη δ' ἀνέλκων: ἤδη δὲ ὡς ταχὺς βαδιστὴς τὸ ὑπέρμετρον ἑαυτοῦ κῶλον ἀνέλκων τῶν τερμόνων τοῦ δρόμου ἀνθήπτετο, τουτέστιν ἤδη ἡ ταχεῖα νόσος ὀξὺ καὶ ὑπέρμετρον βαίνουσα τῶν μυελῶν αὐτῆς ἀνθήπτετο. ὁ δὲ νοῦς, ἤδη δὲ τὸ πῦρ τῶν ὀστῶν ἀνθήπτετο, ὡς ταχὺς βαδιστὴς ἵππος .....ταχέως ἀφίκηται εἰς τὸν καμπτῆρα. τέλος δὲ τοῦ σώματος τὰ ὀστᾶ. Ἄλλως. ὡς ἐκ παραδείγματος ἔλαβε τὴν ἔννοιαν, δηλῶσαι βουλόμενος τὴν ὀξύτητα τοῦ κακοῦ. οὕτω δὲ ταχέως ἐνέμετο αὐτὴν τὸ πῦρ καὶ οὕτως ὀξέως τῶν ὀστῶν αὐτῆς ἀνθήπτετο ὡσὰν ὀξύτατος ἵππος ἀνακουφίζων ἑαυτοῦ τὸν πόδα, τουτέστι μεγάλοις καὶ ταχέσι πηδήμασι χρώμενος, ἵνα πρὸς τὸ τέλος ἀφίκοιτο τοῦ δρόμου, τουτέστι τὸν καμπτῆρα. τοῦ γὰρ σώματος τὸ τέλος τὰ ὀστᾶ εἰσιν ὡς τοῦ δρόμου ὁ καμπτήρ. πλέθρον δέ ἐστι μέτρον γῆς. κῶλον οὖν ἔκπλεθρον μέγα πήδημα καὶ ὑπερβαῖνον πλέθρου μέτρον. A.B.I.

1182. ταχὺς βαδιστής: τὸ διάστημα λέγει τὸ γενόμενον αὐτῇ, ἐξ οὗ ἄναυδος ἦν, μέχρις οὗ ἐφθέγξατο. ὅσην γὰρ δύναται τροπὴν καιροῦ ἔχειν ταχὺς δρομεὺς ἀπὸ βαλβῖδος ἀφεθεὶς μέχρι καμπτοῦ, τοσοῦτον καὶ αὐτὴ ἄναυδος ἦν. A.B.I.

1185. ἐπεστρατεύετο: ἐπέκειτο. Fl. 10.

1186. πλόκος: στέφανος. B. Fl. 10.

1. τῇ εὐχῇ] ἤγουν θρῆνον addit A., omissis reliquis.
4. συμβὰν] γεγενημένον A.
ib. ἡ δὲ] οἱ δὲ I.
7. ἤδη δὲ —] Hoc scholion post alterum ponit A., praefixo ἄλλως.
ib. ὡς ταχὺς] καὶ ταχὺς I.
8. ἀνθήπτετο] ὡς ταχὺς βαδιστὴς ἵππος addit I.
9. βαίνουσα] ὑπερβαίνουσα I.
10. τὸ πῦρ] καὶ τὸ πῦρ I.
11. ἵππος] ἀνακουφίζων ἑαυτοῦ τὸν πόδα, ἵνα excidisse conjicit Matth. quod est in scholio proximo.
12. τοῦ et ὡς om. B.I.
14. ὀξέως] ταχέως A.
ib. ὀστῶν] ὀστέων A.
17. τὸν καμπτῆρα] τῷ καμπτῆρι A.
18. πλέθρον—πλέθρου μέτρον] κῶλον ἔκπλεθρον: πλέθρον ἐστὶ μέτρον γῆς—πήδημα ὡς ὑπερβαίνειν πλέθρον A.
19. γῆς—μέγα] γῆς. ἔκπλεθρον δὲ μέγα I.
21. τὸ γενόμενον] γινόμενον I., omisso αὐτῇ.
22. ἐφθέγξατο B. ἐφθέγγετο A.I.
26. στέφανος] ὁ στέφανος B.

1187. νᾶμα παμφάγου: θαυμαστὴν ῥύσιν τοῦ φθαρτικοῦ πυρὸς ἠφίει. B.

1192. ἀραρότως: ἀσφαλῶς. B. Fl. 10.

1193. σύνδεσμα: τὰς συμπλοκὰς, τὰς συνδέσεις. B. Fl. 10.

1196. πλὴν τῷ τεκόντι: πάνυ δυσεπίγνωστος καὶ δυσκαταμάθητος. ἠγνόει γὰρ ὁ πατὴρ τὸ συμβάν. B. λείπει τὸ πᾶσι, τουτέστι πᾶσιν ἄλλοις σφόδρα δυσεπίγνωστος ἰδεῖν, πλὴν τῷ τεκόντι. μόνος γὰρ οὗτος ἐπεγίνωσκε τὴν Γλαύκην, ἐπείπερ ὀξύτερον κατενόησε τὴν κόρην. "τὸ γὰρ οἰκεῖον πιέζει πάνθ' ὁμῶς· εὐθὺς δ' ἀπήμων κᾶδος ἐπ' ἀλλότριον" Πίνδαρος. A.B.I.

1201. γναθμοῖς ἀδήλοις: αἱ δὲ σάρκες, φησὶ, τῶν γναθμῶν κατέρρεον ὑπὸ τῶν ἀδηλοποιῶν φαρμάκων. δοτικὴ δὲ ἀντὶ γενικῆς γράφεται. A.B.I.

1203. τύχην γὰρ εἴχομεν: ἀντὶ τοῦ ἡ δυστυχία τῆς Γλαύκης καὶ τὸ περὶ ταύτην πάθος ἐπαίδευεν ἡμᾶς καὶ ἀπέτρεπεν. A.B.I.

1204. συμφορᾶς ἀγνωσία: ἤτοι ἀγνοῶν ἐκ φαρμακείας εἶναι τὸ πάθος καὶ τὴν εὐμετάδοτον αὐτοῦ φύσιν. A.B.I.

1207. κύνει: κατεφίλει δὲπροσφωνῶν. Fl. 10.

1209. τίς τὸν γέροντα τύμβον: ὠμογέροντα, τὸν πλησίον θανάτου ὄντα. τύμβους δὲ καλοῦσι τοὺς γέροντας παρόσον πλησίον εἰσὶ τοῦ θανάτου καὶ τοῦ τάφου. A.B.I. τὸν ἤδη εἰς τάφον ὄντα. B. rec.

1212. δέμας: γρ. πόδα ἢ γόνυ. B.

1213. προσείχεθ' ὥστε κισσός: προσεκεκόλλητο, περιεπλέκετο τοῖς πέπλοις αὐτῆς, ὥσπερ ὁ κισσὸς περιπλέκεται τοῖς περὶ αὐτὸν τυγχάνουσιν ἔρνεσιν. A.B.I.

6. λείπει B. Fl. 6. διὰ A.I.
7. δυσεπίγνωστος] διάγνωστος A. Voluit ἀδιάγνωστος. δ' ἐπίγνωστος Fl. 6.
ib. ἰδεῖν A.B. ἦν Fl. 6. I.
ib. πλὴν] πρὶν Fl. 6.
8. ἐπείπερ] μόνος γὰρ ὁ τεκὼν A.
9. ἀπήμων] Adde κραδία ex Pindaro Nem. 1, 82.
10. κᾶδος] κάλλος A.B.
ib. ἐπ'] ἀμφ' apud Pindarum.
12. δοτικὴ — γράφεται] δοτικῇ δὲ ἀντὶ τοῦ (voluit τῆς) γενικῆς κέχρηται I. haud dubie ex conjectura Arsenii.
14. ἡ δυστυχία] τὴν δυστυχίαν A.
15. ταύτην] ταύτης Fl. 6.
ib. ἐπαίδευεν] ἐπαίδευσεν B.
ib. ἀπέτρεπεν] ἀπέστρεψεν Fl. 6.
16. συμφορᾶς] δὲ add. B.I.
ib. ἤτοι om. A.
ib. φαρμακείας] γῆς add. A.
18. κύνει] In B. ad κύνει, quod est in textu, gl. rec. ἐφίλει, ut ad v. 1141., sed a pr. m. scholion ad κυνεῖ spectans, καταφιλεῖ προσφωνῶν.
19. ὠμογέροντα om. I. Post θανάτου ὄντα habet A.
20. δὲ om. A.
24. ὥσπερ] καὶ γὰρ A.

1216. ἡ δ' ἀντελάζυτ': ἡ δὲ ἀντελαμβάνετο, ὡς δὴ προσουκῶσα ἀπαλλαγῆναι τοῦ κακοῦ. εἰ δὲ πρὸς βίαν ἄγοι: ὅτε δὲ, φησὶν. ἐβούλετο αὐτὸς ἑαυτὸν ἀναστῆσαι βίᾳ, ὁμοῦ καὶ τὰς σάρκας; ἀπέσπα. A.B I.

1218. ἀπέστη: ἡμίφλεκτος δὲ ἀπέστη καὶ ὕστερον ὑπὸ ὀδύνης ἀπέθανεν. A.B. Fl. 6.

1221. πέλας ποθεινή: οἷον συμφορὰ ὄντες ποθεινὴ πρὸς δάκρυα καὶ θρῆνον κεῖνται, ἀντὶ τοῦ ἀξιοδάκρυτος συμφορὰ, οὓς ἄν τις ἰδὼν ποθήσειε δακρῦσαι, ἐλεεινοὺς ὄντας τῷ θεάματι. A.B.I.

1222. καί μοι τὸ μὲν σόν: τὸ σὸν ἀντὶ τοῦ σύ. αὐτὴ, φησὶν, ἀφ' οὗ ἤκουσας ἀρτίως λόγου ἐκποδὼν γενοῦ καὶ φύγε· πειραθήσῃ γὰρ αὐτὴ τιμωρίας. τὸ οὖν λόγου ἀντὶ τοῦ ὑπὸ τοῦ λόγου καὶ ὧν σοι ἀπήγγειλα φρούδη γίνου. ζημίας δὲ ἀποστροφὴν τὴν ἀντανάκλασιν τῆς συμφορᾶς ἧς δέδρακας, καταληψομένην σε. ὁ δὲ πᾶς νοῦς οὕτω, καὶ σὺ μὲν αὐτὴ ὑπὸ τοῦ ἐμοῦ λόγου πεισθεῖσα φεῦγε. εἰ γὰρ μὴ φύγῃς, τῇ πείρᾳ γνώσῃ ἐπαναστρεφομένην εἰς σὲ τὴν ζημίαν καὶ τὴν συμφοράν. Ἄλλως. τὸ κατὰ σὲ ἔξω ἔστω τοῦ λόγου, ὅ ἐστι, τὸ κατὰ σὲ οὐκ ἐξεργάσομαι τῷ λόγῳ· αὐτὴ γὰρ γνώσῃ τὰ λοιπὰ ἐκ τῆς εἰς σὲ ἀνακυκλουμένης ζημίας. A.B.I.

1223. γνώσῃ γὰρ αὐτή: γράφεται γλώσσῃ, οἷον τῇ ἑαυτῆς γλώσσῃ καὶ φλυαρίᾳ ὄψει ὅσον οὐδέπω τὴν καταληψομένην σε τιμωρίαν, εἰ μὴ συντόμως φύγῃς. A.B.I.

1224. τὰ θνητὰ δ' οὐ νῦν: τοῦτο εἶπεν, ἐπεὶ τινὲς τῶν σοφῶν

3. ἐβούλετο post ἑαυτὸν I.
5. δὲ om. B. δὲ ἀπέστη om. Fl. 6.
7. συμφορὰ] συμφορᾷ Fl. 6.
ib. ποθεινὴ] ποθεινῆ A. ποθεινοὶ Fl. 6.
8. ἀξιοδάκρυτος συμφορὰ] ἄξιος δακρύων καὶ συμφορᾶς A.
9. ποθήσειε δακρῦσαι] ποθήσει δακρύσει I.
10. σύ. αὐτὴ] σοῦ. αὐτὴν A.
11. ἀρτίως] ἀρτίου I.
12. ἀντὶ τοῦ ὑπὸ (ὑπὲρ A.) λόγου om. I.
14. δέδρακας] δέδρακε I.
ib. καταληψομένην] καταληψομένους I.
15. οὕτω] οὗτος B.I.
16. γνώσῃ] γνώσῃ καὶ I.
17. Ἄλλως] ἢ οὕτως B.I.
ib. ἔστω τοῦ λόγου] τοῦ λόγου μοι ἔστω B.I.
19. ἀνακυκλουμένης] ἀκολουθούσης A.
20. γνώσῃ] ἄλλως praefixum in B.
ib. γράφεται] καὶ add. B.I.
ib. οἷον] ἵν' ᾖ B.I.
21. ὅσον οὐδέπω τὴν om. A.
22. εἰ—φύγῃς om. A.
ib. συντόμως] Immo συντόνως.

μεγάλα δύνασθαι τοὺς ἀνθρώπους, ὑπέθεντο καὶ λογισμῷ δευτέρους εἶναι θεῶν. Ὅμηρος μὲν γὰρ Ὀδυσσέα καλεῖ Διὶ μῆτιν ἀτάλαντον, Πίνδαρος δέ φησιν οὕτως· "ἀλλὰ τί προσφέρομεν ἔμπαν φυὰν, ἢ μέγαν νόον θνατοῖς;" ἐγὼ οὖν, φησὶ, καὶ εἴ τισιν ἔδοξε τῶν σοφῶν ἐπᾶραι τὸ ἀνθρώπινον γένος, οὐ παραιτήσομαι σκιὰν ἀποφαίνειν τὰ κατὰ τοὺς ἀνθρώπους πράγματα. A.B.I.

1228. εὐδαίμων ἀνήρ: εὐδαίμονά φησι τὸν ἄχρι τέλους ἀπείρατον κακῶν. A.B.I.

1238. σχολὴν ἄγουσαν: διατριβὴν, βραδυτῆτα. πάλιν δὲ τῷ συνήθει σχήματι ἐχρήσατο, καὶ ἔστιν ἀντὶ τοῦ ἀγούσῃ. A.B.I.

1245. πρὸς βαλβῖδα: βαλβὶς κυρίως ἡ τῶν δρομέων ἄφεσις. ἄγε δὴ, ὦ Μήδεια, πρὸς ἄφεσιν ὅρμα, καὶ ἀρχὴν δυστυχοῦς βίου καὶ πράξεως ἀτόπου. λέγει δὲ τοῦ φόνου τῶν τέκνων. A.B.I.

1246. κακισθῇς: μαλακισθῇς. Fl. 10.

1251. ἰὼ γᾶ τε καὶ παμφαής: ἰδὼν ὁ χορὸς ὅτι πάντως ἔδοξε τῇ Μηδείᾳ φονεῦσαι τὰ τέκνα, καὶ ἅρμησε πρὸς τὴν πρᾶξιν, καὶ ὅτι δυσχερὲς ἦν αὐτῷ τὸ κωλῦσαι τοῦτο τὸ ἐγχείρημα, θεοῦ δὲ μόνου τοῦτο, ἐπικαλεῖται τοὺς θεοὺς παρακλητικοῖς λόγοις εἰς τὸ κωλῦσαι αὐτὴν τῆς τοιαύτης τόλμης. καὶ Ἥλιον μὲν ἐπικαλεῖται ὡς πρόγονον Μηδείας, καὶ ὅτι πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει,

1. ὑπέθεντο B. Fl. 6. παρέθεντο I. ἔφησαν A.
2. μὲν γὰρ om. A.
ib. Ὀδυσσέα] ὀδυσσῆ A.
ib. καλεῖ om. A.
ib. ἀτάλαντον] ἀτάλαντα A.
3. Πίνδαρος (Nem. 6, 7.)—θνατοῖς om. A.
ib. προσφέρομεν] πρφέρομεν B. quod nihil aliud est quam προσφέρομεν. προφέρομεν I.
ib. ἔμπαν φυὰν] ἐπ' ἐμφυὰν Fl. 6. ἐπαμφυὰν B.I.
4. νόον] νόου Fl. 6. I.
ib. θνατοῖς] θνητοῖς B.I.
ib. ἐγὼ — πράγματα] εἰ οὖν φησὶν ἔδοξε τισὶ μεγάλῳ περὶ τῶν ἀνθρώπων ὑπόνοεῖν, ἀλλ' οὖν ἐγὼ σκιὰν ἡγοῦμαι :—A.
7. φησι] δὲ καλεῖ I.
ib. ἀπείρατον] ἄπειρον A.
9. πάλιν—ἔστιν om. A.
10. ἀγούσῃ] ἀλούσῃ I.
11. δρομέων] δρωμένων I.
12. ἄγε—τέκνων] ἄγε δὴ οὖν ὥρμα (sic) ὦ μήδεια πρὸς δυστυχῆ βίον. λέγει δὲ τῶν τέκνων τὸν φόνον A.
ib. δυστυχοῦς] δυσχεροῦς Fl. 6.
13. ἀτόπου B. Fl. 6. ἐκτόπου I.
ib. τέκνων A.B. παίδων I.
15. ἰδὼν A. ὡς εἶδεν B.I.
16. καὶ—πρᾶξιν om. A.
17. θεοῦ δὲ μόνου B. θεῶ δὲ μόνον τοῦτο I. θεοῦ δὲ μόνου τοῦτο om. A.
19. τῆς τ. τόλμης om. A.
20. ὡς πρόγονον Μηδείας om. Fl. 6.
ib. πάντ' ἐφορᾷ καὶ om. I. Sunt verba Homeri Od. 11, 108. 12, 323.

τὴν δὲ Γῆν ὡς μέλλουσαν δέχεσθαι τῆς μιαιφονίας τὸ αἷμα. A.B.I.

1252. κατείδετε: κατοικτείρατε καὶ ἐλεήσατε ἀποβλέψαντες, καὶ προνοήσασθε δι' οὗ τρόπου δυνατὸν αὐτὴν ἐπισχεθῆναι τοῦ φόνου τῶν παίδων. A.B.I.

1255. γονᾶς ἔβλαστεν: ἀντὶ τοῦ ἐβλάστησαν, ἔφυσαν. ἐπεὶ ἡ Μήδεια μὲν ἔκγονος Ἡλίου, οὗτοι δὲ ἐκ Μηδείας. αἷμα δὲ τὸ γένος. ἐπεὶ οὖν φόβος ἐστὶ τὸ θεῖον αἷμα ὑπὸ ἀνθρώπων πεσεῖν, καὶ σὺ αὐτὴν, Ἥλιε, τιμώρησαι. A.B.I.

1259. ἔξελ' οἴκων: τὸ ἐξῆς, ὑπέξελε τῶν οἴκων τὴν φονίαν Ἐριννὺν τῶν ἀλαστόρων. τάλαιναν δὲ Ἐρινὺν αὐτήν φησι τὴν δαίμονα, οὐ τὴν Μήδειαν. ὑπείληπται γὰρ τῶν τοιούτων κακῶν αἰτία εἶναι ἡ Ἐρινύς. τάλαιναν δὲ τὴν ταλαίνας ποιοῦσαν. A.B.I.

1261. μάταν μόχθος: μάτην, φησὶν, ὑπὸ δαιμόνων πονηρῶν ἀπόλλυται τὰ τέκνα, μηδὲν ἐπταικότα. μόχθος δὲ τέκνων ὁ μοχθηρὸς βίος τῶν τέκνων. λέγει δὲ περιφραστικῶς τὰ κακὰ πάθη καὶ μοχθηρὰ τέκνα. A.B.I.

1264. πετρᾶν ἀξενωτάτων: κακόξενον. B. περιφραστικῶς τὴν Προποντίδα, παρόσον οἱ προσβάλλοντες τῷ τόπῳ κακῶς διατίθενται. B.I.

1265. τί σοι βαρύς: τί δὴ θυμοῦσαι τὴν ψυχήν; B.

1267. φόνος τῶν παίδων ἀμείβεται, διαδέχεται τὸν χόλον. Fl. 10.

1269. αὐτοφόνταις: τοῖς αὐτοχειρίοις. συναδά: τουτέστι σύμ-

1. δέχεσθαι] εἰσδέχεσθαι I.
ib. τῆς μιαιφονίας A. ταῖς μιαιφονίαις B.I.
3. ἀποβλέψαντες om. A.
ib. δυνατὸν αὐτὴν ἐπισχεθῆναι] κωλυθῇ A.
6. ἀντὶ—ἔφυσαν om. A.
7. μὲν om. A.
ib. αἷμα δὲ τὸ γένος A. θεῶν δ' αἷμα γένος I. αἵματι: ἀντὶ τοῦ γένει B.
11. Ἐρινὺν] ἐρινῦν hic et infra et ἐρινῦς I. Loco altero ἐρῆνῦν B.
ib. δὲ] τ' A.
12. δαίμονα A.B. Fl. 6. μήδειαν δαίμονα I. "Legendum videtur τὴν φον. τὴν τάλαιναν Ἐρ. τῶν ἀλ. Ἐριννὺν δέ φησι τὴν M. δαιμ. et in fine τὴν τάλανας ποιοῦσαν." MATTH.
13. ἡ om. A.
15. ἐπταικότα A. πεποιηκότα B.I.
16. τῶν τέκνων. λέγει δὲ om. A.
17. τέκνα] πάθη Fl. 6. καὶ μοχθηρὰ τέκνα om. A.
19. κακῶς] σαφῶς I.
24. αὐτοχειρίοις] ὑποχειρίοις A.
ib. συναδά, quod A. post αὐτοφόνταις habet huc transposui et τουτέστι scripsi cum Matth. pro τούτοις.

φωνα καὶ ἄξια τοῦ τολμήματος κακὰ παρὰ τῶν θεῶν ἐστι προσπίπτοντα. θέλει δὲ εἰπεῖν ὅτι ἀξίως τούτους οἱ θεοὶ κολάζουσιν. ὁ δὲ νοῦς, χαλεποὶ οἱ φόνοι τοῖς αὐτοχειρίοις, τουτέστι χαλεπὸν μίασμα καὶ δυσέκνιπτον ὁ τῶν ὁμογενῶν φόνος τῷ τετολμηκότι· τὸ δὲ ἑξῆς, ξυνῳδὰ θεόθεν ἐπὶ δόμοις πίτνοντ' ἄχη. χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιάσματα ἐπὶ γαῖαν αὐτοφόνταις. A.B.I.

1273. ἀκούεις βοάν: τοῦτο πρὸς ἀλλήλας αἱ ἀπὸ τοῦ χοροῦ φασι πρὸς τὴν ἐρώτησιν. τὸ δὲ "ὦ κακοτυχὲς γύναι" ἰδίως πρὸς τὴν Μήδειαν ἀναπεφώνηται. τὸ δὲ "παρέλθω δόμους" πάλιν πρὸς ἀλλήλας κατ' ἐρώτησιν· τὸ δὲ "ἀρῆξαι φόνου δοκεῖ μοι τέκνοις" κατὰ ἀπόφασιν. A.B.I.

1276. δοκεῖ: καλόν. Fl. 10.

1278. ἀρκύων: τοῦ ἀφύκτου θανάτου τῶν δικτύων. B. δικτύων. Fl. 10. ξίφους: ἀφύκτου θανάτου. Id.

1279. πέτρος: πετρίνη. Id. σίδαρος: σιδηρᾶ. Id.

1280. ἄτις τέκνων: ἥτις τὸν ἄροτον τῶν τέκνων ὧν ἔτεκες αὐτόχειρι θανάτῳ κτενεῖς. A.B.I. ἄροτον δὲ τὴν γονὴν καὶ τὸ σπέρμα. A.

1281. ἄροτον: τὸ σπέρμα καὶ τὴν καταβολὴν τῶν παίδων φησίν. B. σπόρον, γένεσιν. Fl. 10. μοίρᾳ: θανάτῳ. B.

1284. Ἰνὼ μανεῖσαν: Ἰνὼ κατὰ χόλον τῆς Ἥρας μανεῖσα ἔρριψεν ἑαυτὴν εἰς τὴν θάλασσαν ἅμα τῷ υἱῷ αὐτῆς Μελικέρτῃ. ἐμίσει γὰρ πάντας τοὺς Θηβαίους ἡ Ἥρα, διότι παρ' αὐτοῖς ἐτέχθη ὁ Διόνυσος. καὶ αὐτὸς δὲ ὁ Διόνυσος ἐξέμηνε τὰς τούτων γυναῖκας, μὴ

1. τοῦ τολμήματος κακὰ om. A.
ib. παρὰ] περὶ I.
ib. προσπίπτοντα (προσπίπτον I.)] κακά add. A.
2. θέλει—ὁ δὲ νοῦς om. A.
ib. τούτους post θεοὶ I.
3. φόνοι] πόνοι Fl. 6.
ib. τοῖς om. A.
4. καὶ δυσέκνιπτον om. A.
ib. ὁ φόνος—τετολμηκότι A. ὁ φόνος ὁ κατὰ τῶν ὁμογενῶν τοῖς τολμῶσιν αὐτόν B.I.
ib. τὸ δὲ ἑξῆς A. γράφεται δὲ καὶ συνῳδὰ, ὅ ἐστι τὸ ἑξῆς B.I.
5. πίτνοντ' (πίτνοντα B.) A.B. πιτνούτ' (sic) I. πίπτοντ' Fl. 6.
8. τὴν om. B.I. κατ' ἐρώτησιν Matth.
ib. κακοτυχὲς] κακότυχες A.
10. κατ' ἐρώτησιν om. I.
ib. ἀρῆξαι A. ἀρήξειν B.I.
15. In B. πετρίνη ἢ σιδηρά.
17. αὐτόχειρι] αὐτοχειρὶ I.
21. μανεῖσα] μανεῖσαν I.
22. ἑαυτὴν] αὐτὴν Fl. 6. αὐτὴν I.
23. πάντας] καὶ πάντας A.
ib. Θηβαίους] ἀθηναίους A.
ib. διότι] ὅτι A.

προσιεμένων αὐτὸν ὕστερον τῶν Θηβαίων· ἴσως δὲ καὶ τοῦτο τῆς Ἥρας ἐργασαμένης. οἱ μὲν οὖν ἱστόρησαν τῷ παιδὶ συγκατενεχθῆναι τὴν Ἰνὼ εἰς τὴν θάλασσαν, Εὐριπίδης δέ φησιν αὐτὴν αὐτόχειρα τῶν δύο παίδων γενομένην, Λεάρχου καὶ Μελικέρτου, αὐτὴν ὕστερον εἰς τὴν θάλασσαν ῥῖψαι. φασὶ δὲ ἐκβρασθέντας αὐτοὺς εἰς Κόρινθον, Ἰνὼ καὶ Μελικέρτην, ἀναληφθῆναι προστάξει τοῦ Σισύφου, ὡς καὶ ἀγῶνα Ἴσθμιον ἐπὶ Μελικέρτῃ κατὰ χρησμὸν θεῖναι, τοῦτο ἑωρακότος. A.B.I.

μανεῖσαν: κατὰ χόλον τῆς Ἥρας Ἀθάμας κατετίξευσε Λέαρχον, τὸν ἐξ Ἰνοῦς γενόμενον αὐτῷ παῖδα. καὶ αὐτὴ δὲ ἡ Ἰνὼ μανεῖσα ὑπὸ τῆς Ἥρας, (ὤργιστο γὰρ αὐτῇ, ὅτι ἐτεθηλάκει τὸν Διόνυσον,) τὸν ἕτερον ἑαυτῆς παῖδα ἐπισφάξασα Μελικέρτην, ἥλατο σὺν αὐτῷ εἰς τὴν θάλασσαν. Εὐριπίδης δέ φησιν αὐτὴν αὐτόχειρα γενομένην Λεάρχου καὶ Μελικέρτου ὕστερον εἰς τὴν θάλασσαν ἁλέσθαι. A.B.I.

1288. ὑπερτείναsαν: ἄνω. B.

1290. δεινόν: μᾶλλον. I. πλέον. B. τοῦ χεῖρα ἐπιβαλεῖν τοῖς τέκνοις τί γένοιτ' ἂν δεινότερον; A.B.

1292. ἔρεξας: ὅσα τοῖς ἀνδράσι κακὰ εἰργάσω μέχρι παιδοκτονίας χωρήσασα. A.B.

1295. μεθέστηκεν: πέφευγεν. B.

1296. δεῖ γάρ νιν: δεῖ γὰρ αὐτὴν ἢ καταταρταρωθῆναι, ἢ ἀναπτῆναι, εἰ μὴ ἄρα πέποιθε μὴ δώσειν δίκην τῶν τολμηθέντων. A.B.I.

1297. βάθος: τὸ ὕψος. B.

1. αὐτὸν] αὐτῷ A.
2. ἱστόρησαν] ἱστοροῦσι B.I.
3. αὐτὴν om. B.I.
4. δύο] δισσῶν Fl. 6.
ib. γενομένην] γενομένων A.
ib. αὐτὴν] αὐτὴν A.B.I.
5. τὴν θάλασσαν] τὴν om. B.
ib. ἐκβρασθέντας post Κόρινθον B.I.
6. Ἰνὼ καὶ M. om. A.
ib. τοῦ om. B.I.
7. κατὰ om. A.
ib. χρησμὸν θεῖναι] θεῖναι χρησμὸν A.
ib. τοῦτο] τούτου A.
9. μανεῖσαν] ἄλλως A.
12. ἥλατο] ἥλλατο A.B.
14. ἁλέσθαι] ἅλεσθαι A.B.
17. τοῦ—δεινότερον] Brevius in Fl. 10. μᾶλλον τοῦ χεῖρα ἐπιβαλεῖν τοῖς τέκνοις. In A. est τί δῆποτ' οὖν τοῦ —τέκνοις τί χεῖρον γένοιτο.
19. μέχρι] καὶ μέχρι A.
22. γὰρ om. A.
ib. καταταρταρωθῆναι] ταρταρωθῆναι A.B.
23. τῶν τολμηθέντων a m. rec. in A.

1300. ἀθῷος: ἀντὶ τοῦ φεύξεται ἀτιμώρητος. B.I. οὐχ οὕτως ἔχει. B.

1304. γένει: τῷ τοῦ Κρέοντος. B. rec.

1305. μητρῷον: τὸν τῆς μητρὸς φόνον εἰσπράσσοντες αὐτούς, ἀντὶ τοῦ δίκην ἀπαιτοῦντες αὐτοὺς ὑπὲρ οὗ εἰργάσατο φόνου ἡ τούτων μήτηρ. B.I. ἐρευνῶντες. A. ἐπεκδικοῦντες. B.

1309. παῖδες τεθνᾶσι: τὸ ἑξῆς, παῖδες σέθεν τεθνᾶσι μητρῴᾳ χειρί. B.I.

1314. χαλᾶτε κλῆδας: ῥίψατε τοὺς μοχλούς, λύσατε τὴν ἁρμονίαν τῶν θυρῶν. Fl. 6. 10.

1315. ἐκλύεθ' ἁρμούς: λύσατε τὴν ἁρμονίαν τῶν θυρῶν. A. διπλοῦν κακόν: τὸν θάνατον τῶν παίδων. A.

1316. τοὺς μὲν θανόντας: λείπει ὁ καί, καὶ τὸ ἴδω ἀπὸ κοινοῦ. καὶ τήνδε τίσομαι φησί. διπλοῦν δὲ κακὸν ἢ τὸν θάνατόν φησι τῶν δύο τέκνων, ἢ τὴν Μήδειαν. A.B. Fl. 6.

1317. τί τάσδε κινεῖς: ἄνω ἐπὶ τοῦ πύργου ἑστῶσα ταῦτα λέγει. A.B.I.

1320. χειρὶ δ' οὐ ψαύσεις: ἀντὶ τοῦ οὐ δυνήσῃ κατασχεῖν ἡμᾶς, οὐδὲ καταλαβεῖν· ἔχομεν γὰρ ὄχημα πρὸς ἀποφυγὴν τῶν πολεμίων. ἐπὶ ὕψους γὰρ παραφαίνεται ἡ Μήδεια, ὀχουμένη δρακοντίνοις ἅρμασι καὶ βαστάζουσα τοὺς παῖδας. B.I.

1322. ἔρυμα: ἀποσόβημα. B.

1333. τὸν σὸν δ' ἀλάστορ' εἰς ἔμ' ἔσκηψαν θεοί: τὴν ἐκδικητὴν δύναμιν, τὴν σὴν δυστυχίαν, ἔπεμψαν. ἀπὸ μεταφορᾶς τοῦ σκηπτοῦ. A.

1334. παρέστιον: παρὰ γὰρ τὴν ἑστίαν καὶ τὸν βωμὸν ἀνεῖλε

3. In A. περὶ τὸ γένος τοῦ κρέοντος.
5. δίκην—φόνου] Haec etiam in A.
ib. αὐτοὺς addidi ex A.
14. φησί—Μήδειαν] φησὶν, ἢ τὸν διπλοῦν θάνατον τῶν τέκνων μηδείας ἢ τὴν μήδειαν A.
16. ἐπὶ τοῦ πύργου] εἰς τὸν πύργον Fl. 10. ἐπὶ τοῦ ὕψους A. Ad ἑστῶσα m. rec. in A. adscripsit ἡ μήδεια ὀχουμένη δρακοντίνοις ἅρμασι καὶ βαστάζουσα τοὺς παῖδας.
18. οὐ δυνήσῃ—καταλαβεῖν] Haec etiam in A.
20. παραφαίνεται B. περιφαίνεται I.
23. ἐκδικητὴν] Sic ἐκδικητὴ (non ἐκδικητικὴ) δύναμις iterum ad v. 1389.
26. γὰρ om. I., post ἑστίαν habet A.
ib. καὶ τὸν βωμὸν om. A.
ib. ἀνεῖλε τὸν A.B. ἀνεῖλεν ὡς I. ἀνεῖλεν, ὡς Εὐριπίδης Matth. Post Ἄψυρτον A. pergit ἢ ἔποικον τῇ πατρίδι, reliquis omissis.

τὸν Ἄψυρτον, ἢ ἐπὶ τῷ βωμῷ τῆς Ἀρτέμιδος, ὡς Ἀπολλώνιός φησιν, ἢ ἔποικον ἐν τῇ πατρίδι, ὡς Καλλίμαχος. A.B.I.

1337. παρ' ἀνδρὶ τῷδε: δεικτικῶς ἀντὶ τοῦ ἐμοί· ἑαυτὸν γὰρ δείκνυσι A.B. Fl. 6. 10.

1339. Ἑλληνὶς γυνή: διασύρει τὸ βάρβαρον γένος. οὐκ ἂν, φησί, τοῦτό τις τῶν Ἑλληνίδων γυναικῶν ἔδρασεν. A.B. Fl. 6. 10.

1340. ἔτλη: ποιεῖν. Fl. 10. ἠξίουν ἐγώ: ἀξίαν ἐποίουν γάμων. A.

1342. τῆς Τυρσηνίδος: τῆς Σικελικῆς· Τυρσηνὸν γὰρ πέλαγος Σικελίας. ἐκ τούτων δὲ φανερός ἐστιν Εὐριπίδης τὴν τοῦ Ὀδυσσέως πλάνην περὶ τὴν Ἰταλίαν καὶ Σικελίαν ὑπειληφὼς γεγονέναι. A.B.I.

1346. ἔρρ', αἰσχροποιέ: ὅτι δοκεῖ τὸν στίχον τοῦτον εἰπὼν Εὐριπίδης ἐκβεβλῆσθαι· διὸ καὶ κεχίασται. B.I.

1347. αἰάζειν: στενάζειν. B.

1348. ὀνήσομαι: ἀπολαύσομαι. B.

1351. ἢ μακράν: μακρὰ ἂν ἐξέτεινα ῥήματα, ἐναντία τούτοις τοῖς λόγοις. A.B.I.

1355. διάξειν βίοτον: βιώσειν. Fl. 10.

1357. ἄτιμον: ἀντὶ τοῦ ἄνευ αἰτίας. ἢ γράφεται καὶ ἀνατί, ἤτοι ἀτιμωρητὶ καὶ ἄνευ ἄτης. B. Fl. 6. ἀτιμώρητον. B.

1361. κοινωνός: συγκοινωνεῖς μου τῇ ἀτυχίᾳ. B. Fl. 6.

1362. λύει δ' ἄλγος: ἀντὶ τοῦ λυσιτελεῖ δέ μοι τὸ ἄλγος, ἕως σὺ μὴ ἐγγελᾷς. A.B.I.

1364. ὡς ὤλεσθε πατρῴα νόσῳ: τῇ κακίᾳ, ἤτοι τῇ λαγνείᾳ καὶ ἀκρασίᾳ τοῦ πατρὸς ἀπολώλατε. B.I.

1. Ἀπολλώνιος] καὶ ἀπολλώνιος B.
3. ἐμοί] ἐμοῦ I.
ib. ἑαυτὸν γὰρ δείκνυσι om. A.
6. Ἑλληνίδων] ἑλλήνων A.
10. Σικελίας] τῆς σικελίας A.
ib. τούτων δὲ] δὲ om. B.I.
ib. τὴν τοῦ] τοῦ om. B.I.
11. τὴν Ἰ.] τὴν om. I.
13. ἔρρ', αἰσχροποιέ] Ridet haec verba Macho ap. Athen. 14. p. 582 C.
17. τούτοις τοῖς] τοῖς σοῖς A.
20. ἄτιμον]ἀτίμως A. superscripto ἀντὶ τοῦ ἄτιμον.
21. καὶ ἄνευ] ἢ ἄνευ B.
23. ἀντὶ τοῦ om. A.I.
ib. λυσιτελεῖ δέ μοι τὸ] ὠφελεῖ, λυσιτελεῖ τὸ A.
25. τῇ utrumque om. I. In A. gl. μωρίᾳ, λαγνίᾳ, ἀκρασίᾳ.
26. ἀπολώλατε] ἀπώλεισθε I.

1366. νεοδμῆτες : νεωστὶ γεγονότες, ἢ οἱ νεωστὶ δαμασθέντες. B. Fl. 6.

1369. ἥτις γε σώφρων : ναί, φησὶν, ἐκείνη ἥτις σώφρων γυνὴ, ἡ οὐδὲν ἡδικῆσθαι νομίζει τοῦ ἀνδρὸς ἐφ' ἕτερον λέχος τραπέντος. A.B.I.

1371. οἵδ' εἰσὶν, οἵμοι : μεταξὺ εἰς ὑπόμνησιν τῶν τέκνων ἐλθὼν Ἰάσων ὠδύρατο καὶ φησὶν ὤμοι. A.B. Fl. 6.

1373. ἀπόπτυστον : μισητόν. A.

1374. βάξιν νῦν εἴρηκε τὴν ὁμιλίαν. A.B. Fl. 6. 10.

1379. φέρουσ' ἐς Ἥρας τέμενος, ἀκραίας θεοῦ : τῆς ἐν τῇ ἀκροπόλει τιμωμένης. Ἥραια δὲ πένθιμος ἑορτὴ παρὰ Κορινθίοις. ἀκραία δὲ εἴρηται παρὰ τὸ ἐν ἀκροπόλει ἱδρῦσθαι. A.B.I. Ἄλλως. ἔνθα καὶ ἡ αἶξ εὗρε τὴν μάχαιραν, ἀφ' ἧς ἡ παροιμία. ἐκεῖ γὰρ ἐβασίλευσεν ὁ Σίσυφος. A. τέλη δὲ λέγει τὰ μυστήρια καὶ τὰς τελετάς. ἐγὼ δὲ, φησὶ, περιποιήσω αὐτοῖς πάνδημον ἑορτὴν, ἐν ᾗ πανηγυρίσουσι πάντες οἱ δημόται θυσίας ἐπιτελοῦντες αὐτοῖς. θύουσι δὲ αὐτοῖς καὶ Ἀργεῖοι κατὰ χρησμόν. B.I.

1381. τύμβους ἀνασπῶν : ἀσεβὲς γὰρ τὸ ἀνορύττειν τάφους. A. γῇ δὲ τῇδε Σισύφου : τῇ Κορίνθῳ λέγει· Σίσυφος γὰρ προπάτωρ Κορινθίων. B.

1385. Αἰγεῖ συνοικήσουσα : λέγεται μετὰ τὸ ἐκβεβλῆσθαι τῆς Κορίνθου σὺν τῷ Αἰγεῖ εἰς τὰς Ἀθήνας οἰκῆσαι. A.B.

1387. Ἀργοῦς κάρα σὸν λειψάνῳ : ἱστορεῖται ὁ Ἰάσων τέλει

1. In A. gl. νεοσυζυγεῖς.
3. ἐκείνη A.B. ἐκείνῳ I.
4. ἢ addidit Matthiae.
6. μεταξὺ] ἀναπεφώνηκεν addit A.
7. ἐλθὼν ante τῶν τέκνων Fl. 6.
ib. Ἰάσων—ὤμοι (ὤιμοι B.) om. A.
9. νῦν εἴρηκε] φωνεῖ A.
10. τῆς ἐν—τιμωμένης addidi ex A. qui post τιμωμένης porro addit ὡς φαρμακὶς δὲ καὶ λαθεῖν ἠδύνατο πράττουσα.
11. Ἥραια] ἀκραῖα A.B.
ib. δὲ addidi ex A.
12. παρὰ] καὶ παρὰ A.
ib. ἐν ἀκροπόλει om. A.
ib. ἱδρῦσθαι] εἰρῆσθαι A.B.
14. τέλη—καὶ τὰς τελετάς om. A.
ib. τέλη δὲ] δὲ om. B. in quo novum scholion incipit. Pars hujus scholii est in A. σεμνὴν ἑορτήν : ἐγὼ, φησὶν, περιποιήσω αὐτοῖς πάνδημον ἑορτὴν ἐν ᾗ πανηγυρίσουσι πάντες οἱ κορίνθιοι. καὶ τέλη προσάψομεν : λιμωξάντων κορινθίων ἔχρησεν ὁ θεὸς τιμᾶσαι τοὺς τῆς μηδείας παῖδας. ἐγὼ οὖν, φησὶ, περιποιήσω αὐτοῖς πάνδημον ἑορτήν :—
ib. τελετάς] ἑορτὰς Fl. 6.
23. ἱστορεῖται (ἱστόρηται A.)—] Pars hujus scholii est in A. sic scripta, τὸ ἀργοστόλιον (corrige ἀκροστόλιον) γὰρ τῆς ἀργοῦς ἀνέθηκεν ἰάσων τῇ ἥρᾳ. πυτὲ δὲ εἰσιόντος αὐτοῦ εἰς τὸ

τοιούτῳ χρήσασθαι· κοιμώμενον γὰρ αὐτὸν ὑπὸ τὴν Ἀργὼ κατασαπεῖσαν ὑπὸ πολλοῦ χρόνου, μέρος τι ταύτης ἐκπεσὸν κατὰ τῆς κεφαλῆς ἔκρουσεν. A.B.I. Ἀργοῦς οὖν λειψάνῳ εἶπεν ἀντὶ τοῦ μέρει τινὶ τῆς Ἀργοῦς. Ἄλλως. οἱ μὲν λέγουσι κατὰ Μηδείας χόλον ἢ κέλευσιν ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς καταβαρθέντα τὸν Ἰάσονα τελευτῆσαι, ἐμπεσόντος αὐτῷ ξύλου. Νεόφρων δὲ ξενικώτερον ἀγχόνῃ φησὶ τελευτῆσαι· τὴν γὰρ Μήδειαν παράγει πρὸς αὐτὸν εἰποῦσαν

τέλος φθερεῖ γὰρ αὐτὸς αἰσχίστῳ μόρῳ,
βροχωτὸν ἀγχόνην ἐπισπάσας δέρῃ.
τοία σε μοῖρα σῶν κακῶν ἔργων μένει,
δίδαξις ἄλλοις μυρίοις ἐφημέροις
θεῶν ὕπερθε μήποτ' αἴρεσθαι βροτούς. B.I.

1389. ἀλλὰ σ' Ἐρινύς: ἐκδικητὴ δύναμις. A.
1391. ἢ δαίμων: ἢ ἄνθρωπος ἀγαθός. A.
1395. ἄμοιρος: ἐστερημένος. A.
1398. κἄπειτ' ἔκτας: φίλτατα ὄντα σὺ ἔκτεινες. A.
1403. χρωτός: τοῦ σώματος. B. Fl. 10.
1404. μάτην ἔπος ἔρριπται: μάτην εἶπας τοῦτο. B. Fl. 6. 10.
1405. Ζεῦ, τάδ' ἀκούεις: γρ. ἰὼ Ζεῦ, τάδ' ἀκούεις. B.
1408. ἀλλ' ὁπόσον: καθὸ ἐνδέχεται. B.

ἱερὸν πεσὸν ἀνεῖλεν αὐτόν. λειψάνῳ οὖν φησὶ μέρει τινὶ τῆς ἀργοῦς. ἄλλως. ἱστόρηται ὁ Ἰάσων τέλει τοιούτῳ χρῆσθαι. κοιμώμενον—ἔκρουσεν:—

P. 82. l. 21. ὁ Ἰάσων] ὁ om. B.I.

3. εἶπεν B. λέγει I.

5. καταβαρθέντα] καταβρασθέντα I. Vetus aoristi forma καταβαρθόντα est.

6. αὐτῷ] αὐτῇ B.

ib. δὲ—πρὸς αὐτὸν] ξενικώτως τὴν παράγραφος πρὸς αὐτὸν I. Correxi ex B. quocum consentit Fl. 6. nisi quod habet ξενικώτατον. ἀγχόνῃ γὰρ τελευτῆσαι.

8. τέλος φθερεῖ γὰρ αὐτὸς αἰσχίστῳ μόρῳ] τέλος γὰρ αὐτὸς (αὐτὸν B.) ἐχθίστῳ μόρῳ φέρεις B. Fl. 6. et sic I. quoque, nisi quod αὐτεχθίστῳ. Correxi haec partim praeeuntibus Elmsleio, qui ἐχθίστῳ in αἰσχίστῳ mutaverat, et Hermanno qui φθερεῖ restituit, postquam Elmsleius φθερεῖς correxerat.

9. βροχωτὸν B. βρόχῳ τὸν Fl. 6. βροτὸν I.

ib. ἀγχόνην Hermannus. ἀγχόνης libri.

ib. δέρῃ] δέρην Fl. 6. ἔρῃ I.

10. τοία σε] τοῖα τε I.

11. δίδαξις ἄλλοις μυρίοις ἐφημέροις Elmsleius. διδάξεις τοὺς (τ' B.) ἄλλους μυρίους ἐφημέρους libri.

12. μήποτ' αἴρεσθαι Barn. pro μήπεθ' αἱρεῖσθαι.

ib. βροτούς] βροτοῖς B. Fl. 6.

1409. τάδε : τὰ παιδία. Fl. 10. κἀπιθυάζω : ἐπιφθέγγομαι. B. Fl. 10.

1410. μαρτυρόμενος : ἀναβοῶν τοὺς θεοὺς καὶ ἐπικαλούμενος. B.

1415. πολλῶν ταμίας : ταῦτα ὡς ἀπὸ τοῦ χοροῦ ἐστι λεγόμενα. B. Fl. 6.

5. In B. subscriptum, Τέλος μηδείας εὐριπίδου. πρὸς διάφορα ἀντίγραφα διονυσίου ὁλοσχερὲς καί τινα τῶν διδύμου :—Quibuscum comparanda subscriptio Orestis, ubi plenius πρὸς διάφορα ἀντίγραφα. παραγέγραπται ἐκ τοῦ διονυσίου ὑπομνήματος ὁλοσχερῶς καὶ τῶν μικτῶν.

ΥΠΟΘΕΣΙΣ ΑΛΚΗΣΤΙΔΟΣ.

I.

Δικαιάρχου.

ἈΠΟΛΛΩΝ ἠτήσατο παρὰ τῶν Μοιρῶν ὅπως ὁ Ἄδμητος τελευτᾶν μέλλων παράσχῃ τὸν ὑπὲρ ἑαυτοῦ ἑκόντα τεθνηξόμενον, ἵνα ἴσον τῷ προτέρῳ χρόνον ζήσῃ. καὶ δὴ Ἄλκηστις ἡ γυνὴ τοῦ Ἀδμήτου ἐπέδωκεν ἑαυτὴν, οὐδετέρου τῶν γονέων ἐθελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ' οὐ πολὺ δὲ ταύτης τῆς συμφορᾶς γενομένης Ἡρακλῆς παραγενόμενος καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν Ἄλκηστιν ἐπορεύθη ἐπὶ τὸν τάφον, καὶ τὸν Θάνατον ἀποστῆναι ποιήσας ἐσθῆτι καλύπτει τὴν γυναῖκα· τὸν δὲ Ἄδμητον ἡξίου λαβόντα

1. Hoc Argumentum primus edidit I. Lascaris in ed. Florent. a. 1496, post Lascarin Aldus, post Aldum Arsenius in scholiorum editione Juntina a. 1534. fol. 274 b. Ego ad codices recensui A. (Vaticanum 909.) B. (Parisinum 2713.) H. (Havniensem, qui simillimus est Vaticano), memoratis etiam Vaticano Palatino 287. et Florentino xxxii, 2. Argumentum hoc totum proximique initium (Ἄλκηστις—κεῖται ἡ μυθοποιία) scholiis in Platonem illatum p. 44. ed. Ruhnk. (p. 374. Bekk.) et ab Eudocia descriptum in Violar. p. 21. Ratio autem librorum haec est ut Lascaris et Arsenius cum A.B., scholiasta Platonis et Eudocia, Aldus vero cum Vaticano Palatino et Florentino fere consentiant, de quo satis est in universum monuisse.

2. Δικαιάρχου] Hoc nomen solus servavit Flor. xxxii. 2.

3. ὁ Ἄδμητος] ὁ om. Pal. Fl.

4. τὸν ὑπὲρ ἑαυτοῦ] τινὰ τὸν ὑπὲρ αὐτοῦ Pal. Fl., omisso ἑκόντα.

ib. τεθνηξόμενον] ἀποθανεῖν B. Et sic apud Arsenium quoque.

5. χρόνον restitutum ex A. (qui χρόν') schol. Plat. et Eudocia pro χρόνῳ.

ib. καὶ δὴ] δὴ et mox τοῦ Ἀδμήτου om. Pal. Fl.

6. οὐδετέρου] μηδετέρου Pal. Fl.

ib. ἐθελήσαντος] θελήσαντος H. cum schol. Plat. et Eudocia.

7. ταύτης τῆς σ.] τῆς σ. ταύτης Pal. Fl., non A.

ib. Ἡρακλῆς παραγενόμενος om. A. H. qui mox post τὴν Ἄλκηστιν inserunt ἐντυχὼν ὁ ἡρακλῆς.

9. τὸν Θάνατον] τὸν om. A.H.

αὐτὴν τηρεῖν· εἰληφέναι γὰρ αὐτὴν πάλης ἆθλον ἔλεγε, μὴ βουλομένου δὲ ἐκείνου ἔδειξεν ἣν ἐπένθει.

II.

Ἀριστοφάνους Γραμματικοῦ ὑπόθεσις.

Ἄλκηστις ἡ Πελίου θυγάτηρ, ὑπομείνασα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς τελευτῆσαι, Ἡρακλέους ἐπιδημήσαντος ἐν τῇ Θετταλίᾳ διασώζεται βιασαμένου τοὺς χθονίους θεοὺς καὶ ἀφελομένου τὴν γυναῖκα. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιία.

Τὸ δρᾶμα ἐποιήθη ιζ'. ἐδιδάχθη ἐπὶ Γλαυκίνου ἄρχοντος ὀλυμ-

1. αὐτὴν τηρεῖν] αὐτὴν om. Pal. Fl.

ib. εἰληφέναι γὰρ] καὶ εἰληφέναι Fl. εἰληφέναι sine particula Pal. εἰληφέναι δὲ B. Ald. καὶ εἰληφέναι Lasc.

2. ἐκείνου] ἀποκαλύψας addunt Pal. Fl.

ib. ἐπένθει] ἐπελθηι (litera ν a m. rec. superscripta) B. ἐπέλθη Arsenius.

4. Ἀριστοφάνους—ὑπόθεσις] Hoc Argumento carent Lasc. et Ald. Integrum est in A., partim in codicibus ceteris et apud Arsenium. Inscriptio in libris nulla est. Ἄλλως praefixum in Fl. et apud schol. Platonis. Aristophanis Byzantii esse similes docent aliarum tragoediarum ὑποθέσεις ubi servatum ejus nomen est, quod animadvertit Kirchhoffius.

5. Ἄλκηστις] δ' addit Eudocia.

ib. ἡ om. Pal. qui post ὑπομείνασα pergit τὸν ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς θάνατον ἐσώθη ἐπιξενωθεῖσα τῷ ἀδμήτῳ· ἐξιὼν ἐκ τοῦ οἴκου ἀδμήτου προλογίζει ἀπόλλων ῥητορικῶς, ceteris omnibus omissis.

6. Ἡρακλέους] δ' addit A. δὲ Arsen.

7. γυναῖκα] Pergit B. ἡ μὲν σκηνὴ —προλογίζει δὲ ἀπόλλων. Tum sequuntur τὰ τοῦ δράματος πρόσωπα.

ib. παρ' οὐδετέρῳ] Id est neque apud Aeschylum neque apud Sophoclem. De quo usu adjectivi οὐδέτερος dictum ad ὑποθέσεις Orestis et Medeae.

9.–87, 3. Τὸ δρᾶμα—καταστροφήν] Haec uni debemus codici A. De eximio hoc fragmento didascalico pluribus dixi in Praefat. Alcestidis editionis Oxoniensis a. 1834.

9. ιζ'] Numerus vitii suspectus: est enim justo minor, ut ostendi in Praefat. ad Alc. p. 7. Nam quum Euripides fabulas docere coeperit olympiadis octogesimae primae anno primo et constanter tetralogiis certaverit, numerus requiritur tricenario propior.

ib. Γλαυκίνου] Nomen hujus archontis Γλαυκιδου scriptum est apud Diodorum 12, 33: apud scholiastam Aristoph. Ach. 67. cum praepositione conjunctum in ἐπιγκίνου coaluit, quod ἐπὶ Γλαυκίνου potius est quam ἐπὶ Γλαυκίδου.

ib. ὀλυμπιάδος πε' ἔτει δευτέρῳ] Sic redintegravi quod in A. superest τὸ κ'. Sic in Argumento Medeae ὀλυμπιάδος πζ' ἔτει scriptum est omisso πρώτῳ, et in nonnullis etiam ἔτει omissum postquam numerus anni exciderat.

πιάδος πέ ἔτει δευτέρῳ. πρῶτος ἦν Σοφοκλῆς, δεύτερος Εὐριπίδης. Κρήσσαις, Ἀλκμαίωνι τῷ διὰ Ψωφῖδος, Τηλέφῳ, Ἀλκήστιδι ..... τὸ δὲ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν. Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Φεραῖς μιᾷ πόλει τῆς Θετταλίας. συνέστηκε δὲ ὁ χορὸς ἔκ τινων πρεσβυτῶν ἐντοπίων, οἳ καὶ παραγίνονται συμπαθήσοντες ταῖς Ἀλκήστιδος συμφοραῖς. προλογίζει ὁ Ἀπόλλων. Εἰσιδ...ἐχορήγει.

Τὸ δὲ δρᾶμά ἐστι σατυρικώτερον, ὅτι εἰς χαρὰν καὶ ἡδονὴν καταστρέφει. παρὰ τῶν τραγικῶν ἐκβάλλεται ὡς ἀνοίκεια τῆς τραγικῆς ποιήσεως ὅ τε Ὀρέστης καὶ ἡ Ἄλκηστις, ὡς ἐκ συμφορᾶς μὲν ἀρχόμενα, εἰς εὐδαιμονίαν δὲ καὶ χαρὰν λήξαντα, ἃ ἐστι μᾶλλον κωμῳδίας ἐχόμενα.

1. πρῶτος—δεύτερος] correxi pro πρῶτον—δεύτερον.

2. διὰ Ψωφῖδος] correxi pro διαψωφίλω. Post Ἀλκήστιδι lacunam indicavi. Excidit enim τρίτος cum nomine tertii poetae ejusque tetralogiae.

ib. Ἀλκμαίωνι] ἀλκμαίονι A., non ἀλκμαίωνι, quod ei tribuit Cobetus.

3. καταστροφήν] κατασκευήν A., sed superscripto καταστροφήν.

ib. Ἡ σκηνὴ—Ἀπόλλων] Haec etiam ap. Arsenium.

4. ὑπόκειται] κεῖται H.

ib. συνέστηκε δὲ ὁ χορὸς] ὁ δὲ χορὸς συνέστηκεν Arsen.

6. ταῖς—συμφοραῖς] τῆς—συμφορᾶς A. τῆς—συμφορᾷ H. ut pari jure τῇ συμφορᾷ scribi possit.

ib. ὁ Ἀπόλλων] ὁ ἥλιος A.H. δὲ ὁ ἀπόλλων B. δὲ ἀπόλλων Arsen.

7. Εἰσιδ....ἐχορήγει] Haec verba soli servarunt A. in quo est εἰσιδ' ἔχορηγοί (sic) et H. qui εἰσὶ δὲ...χορηγοί cum spatio vacuo post εἰσὶ δὲ, ex conjectura librarii, qui scripturam corruptam quae est in A. ante oculos habebat. Manifestum est nomen desiderari choregi fuitque haud dubie Εἰσίδοτος (i. e. Ἰσιδοτος) ἐχορήγει, de quo dixi in Praef. Alcest. p. 19. nisi quis Ἰσόδοτος praeferat. Inepte autem haec verba ab notitia didascalica, quam sequi debebant, sejuncta sunt interpositis verbis τὸ δὲ δρᾶμα—προλογίζει ὁ Ἀπόλλων. Sic in ὑποθέσει Aeschyli Agamemnonis πρῶτος Αἰσχύλος Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῷ· ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς.

8.—12. Non Aristophanis, sed alius grammatici excerptum.

9. τοῖς τραγικοῖς] H. recte fortasse.

ib. ἀνοίκεια] ἀνοικείας A.

10. Ὀρέστης καὶ ἡ Ἄλκηστις] Conf. ὑπόθεσιν Orestis.

11. δὲ om. A.

ib. λήξαντα] καταλήξαντα H.

ib. ἃ addit Hermannus.

ib. ἐστι] ἔστι δὲ H. Non animadverterat corrector ἃ excidisse.

12. ἐχόμενα] Sequuntur in A. τὰ τοῦ δράματος πρόσωπα et post ea, ἐξιὼν ἐκ τοῦ οἴκου προλογίζει ὁ ἀπόλλων ῥητορικῶς.

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΗΝ ΑΛΚΗΣΤΙΝ.

---

1. Ὦ ΔΩΜΑΤ' Ἀδμήτει': ἡ διὰ στόματος καὶ δημώδης ἱστορία περὶ τῆς Ἀπόλλωνος θητείας παρ' Ἀδμήτῳ αὕτη ἐστὶν, ἣν κέχρηται νῦν Εὐριπίδης. οὕτω δέ φησι καὶ Ἡσίοδος καὶ Ἀσκληπιάδης ἐν τραγῳδουμένοις. Φερεκύδης δὲ οὔ φησι τοὺς Κύκλωπας ὑπὸ Ἀπόλλωνος ἀνῃρῆσθαι, ἀλλὰ τοὺς υἱοὺς αὐτῶν, γράφων οὕτω· παρ' αὐτὸν τὸν Ἄδμητον ἔρχεται Ἀπόλλων θητεύσων εἰς ἐνιαυτὸν, Διὸς κελεύσαντος, ὅτι κτείνει τοὺς Βρόντεω καὶ Ἀστερόπεω καὶ Ἄργεω παῖδας. κτείνει δὲ αὐτοὺς Ἀπόλλων Διὶ μεμφθεὶς, ὅτι κτείνει Ζεὺς Ἀσκληπιὸν τὸν παῖδα αὐτοῦ κεραυνῷ ἐν Πυθῶνι. ἀνίστη γὰρ ἰώμενος τοὺς τεθνεῶτας. Ἀλεξανδρίδης δὲ ὁ Δελφός φησι

Scholia in Alcestin ad libros recensui tres, A. (Vaticanum 909.) B. (Parisinum 2713.) et I. (editionem Juntinam, quae codicis instar est). Quibus tribus libris quae communia sunt scholia omissis eorum siglis apposui. Cum Parisino B. fere ubique consentiunt Florentini 6. et 15. quorum excerptis usus est Matthiae: quae memoravi ubi operae pretium erat. Scholiis versuum 123—699. caret A. Horum igitur scholiorum quibus siglae nullae sunt appositae, libris B.I. debentur.

5. νῦν om. A.
6. οὔ φησι] οὕτως φησὶ A.
7. αὐτῶν] αὐτοῦ B.I.
8. Ἀπόλλων] ἥλιος A.
ib. εἰς om. B.I.
9. τοὺς Cobetus. τοῦ A.B.I.
ib. Ἀστερόπεω] ἀστεροπέω. B. ἀστεροπαίω A.I. Στερόπεω, quod Barnes. scripserat, in Fl. 6. et 15. esse dicit Matth.
10. Ἄργεω] ἀργέω B. ἀργείω A.
11. κεραυνῷ om. A.
ib. ἀνίστη] ἀνέστη I.
12. Ἀλεξανδρίδης] ἀναξανδρίδης libri. Emendarunt Vossius de histor. Gr. p. 405. et Hemst. ad Polluc. 9, 59.
ib. Δελφός] ἀδελφός A.

θητεῦσαι αὐτὸν διότι τὸν ἐν Πυθοῖ δράκοντα ἀνεῖλεν. Ῥιανὸς δέ φησιν ὅτι ἑκὼν ἐδούλευσεν αὐτῷ ἐρῶν τοῦ Ἀδμήτου. καὶ περὶ μὲν τῆς Ἀπόλλωνος θητείας ταῦτα. Ἀπολλόδωρος δέ φησι κερανωθῆναι τὸν Ἀσκληπιὸν ἐπὶ τῷ τὸν Ἱππόλυτον ἀναστῆσαι, Ἀμελησαγόρας δὲ ὅτι Γλαῦκον, Πανύασις ὅτι Τυνδάρεων, οἱ δὲ Ὀρφικοὶ ὅτι Ὑμέναιον, Στησίχορος δὲ ἐπὶ Καπανεῖ καὶ Λυκούργῳ. Φερεκύδης ἐν τῇ ὀγδόῃ τῶν ἱστοριῶν τοὺς ἐν Δελφοῖς φησι θνήσκοντας αὐτὸν ἀναβιώσκειν. Φύλαρχος δὲ διὰ τοὺς Φινείδας, Τελέσαρχος δὲ δι' Ὠρίωνα, Πολύαρχος δὲ ὁ Κυρηναῖος διὰ τὸ τὰς Προίτου θυγατέρας αὐτὸν ἰάσασθαι κερανωθῆναί φησιν.

2. θῆσσαν τράπεζαν: θητικὴν δίαιταν. αἰνέσαι: εὐαρεστῆσαι, καταδέξασθαι.

5. οὗ δὴ χολωθείς: ἀνθ' οὗ, τοῦ Ἀσκληπιοῦ. τέκτονας: τὸν Στερόπην τε καὶ Ἄργον εἰς ἐκδικίαν τῶν Κυκλώπων κτείνω.

8. ἐβουφόρβουν ξένῳ: ἔνεμον, ἀπὸ τοῦ διαφέροντος ζώου τοῦ βοός. A.B.I. Ὅμηρος "πρῶθ' ἑκατὸν βοῦς δῶκε." παρὸ καὶ ἀλφεσιβοίας τὰς γυναῖκας ἔλεγον ἐκ τοῦ καλλιστεύοντος ζώου καὶ βουκολικὰ ἐπιγέγραπται τὰ Θεοκρίτου καὶ τὴν Ἀρκαδίαν βούνομον προσαγορεύουσι, καίτοι οὐ μόνον αὐτὴν βόες κατενέμοντο. οὕτω δὲ διέφερε τὸ ζῶον ὥστε καὶ τὸ ἱπποφορβεῖν βουκολεῖν ἔλεγον·

τοῦ τρισχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο. A.

9. ἐς τόδ' ἡμέρας: μέχρι τέλους ταύτης τῆς ἡμέρας, μέχρι τοῦ δεῦρο.

10. ἐτύγχανον: προσυπακουστέον τὸ λάτρις, ἢ τὸ θής.

1. αὐτὸν ante θητεῦσαι A.
ib. ἐν πυθοῖ A.B. Fl.6.15. ἐν om. I.
2. ἐρῶν A. δι' ἔρωτα ceteri.
4. ἐπὶ τῷ] ἐπὶ τὸ A.
ib. Ἀμελησαγόρας] ἀμελιαγόρας I.
5. Πανύασις] πανυάσσης A.
6. Καπανεῖ] καμπανεῖ B.
ib. τῇ η τῶν ἱστοριῶν A. τῇ (ῃ addit B.) ἱστορίᾳ B. Fl. 6. 15.
8. Φύλαρχος—Φινείδας om. A.
ib. τοὺς Φινείδας] τοὺς φηνίδας B. τὰς φονίσας I. Correxerat Hemst. ad Lucian. Dial. Deor. 13.
9. διὰ τὸ τὰς] τὸ om. A.
ib. Προίτου pro Κρείσου Hemst. l. c.
13. τὸν Σ.] τὴν σ. B.
14. Ἄργον] Ἄργην scribendum, si recte Ἄργεω legitur in scholio v. 1.
ib. κτείνω om. B.
15. ἔνεμον] ἔνεμον δὲ A.
16. Ὅμηρος] Il. 11, 244.
ib. δῶκε] ἔδωκε A.
19. οὕτω δὲ διέφερε τὸ ζῶον Cobetus. οὐ δὲ διείχετο ζώων A.
21. τοῦ—] Hom. Il. 21, 221.
22. μέχρι τοῦ] μέχρι τοῦ om. I. Habent etiam Fl. 6. 15.

12. Μοίρας δολώσας: Αἰσχύλος Εὐμενίσι

τοιαῦτ' ἔδρασας καὶ Φέρητος ἐν δόμοις·
Μοίρας ἔπεισας ἀφθίτους θεῖναι βροτούς.
οὕτω παλαιὰς διανομὰς καταφθίσας
οἴνῳ παρηπάτησας ἀρχαίας θεάς. A.

Μοίρας δολώσας: οἴνῳ γὰρ ταύτας, φασὶ, τῶν λογισμῶν ἀπαγαγὼν ἐξητήσατο Ἄδμητον, οὕτω μέντοι ὥστε ἀντιδοῦναι ἑαυτοῦ ἕτερον τῷ Ἀιδῃ. Fl. 2.

16. ἥ σφ' ἔτικτε μητέρα: Ἀδμήτου. ἡ Κλυμένη. B.I.

20. ψυχορραγοῦσα: ἐγγὺς τοῦ θανάτου οὖσα. B.I.

22. ἐγὼ δὲ, μὴ μίασμα: τὸ ἑξῆς, ἐγὼ δὲ λείπω, μὴ μίασμά με καταλάβῃ. δοκοῦσι μιαίνεσθαι οἱ θεοὶ, ὅταν, παρῶσι νεκρῷ. A. κίχῃ: σωματοποιεῖ ἑαυτόν. B.

26. συμμέτρως: εὐκαίρως, μετρήσας ταύτην τὴν ἡμέραν, ἐν ᾗ ἐπέπρωτο αὐτὴν ἀποθανεῖν, τουτέστι πρὸς αὐτὸν τὸν ὅρον καὶ τὸ μέτρον ἦλθεν.

28. ἃ ἅ: ὁ Θάνατος ὁρᾷ τὸν Ἀπόλλωνα πρὸ θυρῶν, καὶ δέδοικε μὴ αὐτὴν ῥύσηται τοῦ θανάτου, ὥσπερ τὸν Ἄδμητον.

29. ἡ πρός ἀντὶ τῆς παρά. B. Fl. 6.

31. ἀφοριζόμενος: ἀποσπῶν, ἀφορίζων. B.I.

32. οὐκ ἤρκεσέ σοι: οὐκ ἤρκεσέ σοι τὰς Μοίρας τῇ δολίῳ τέχνῃ ἀπατήσαντα τὸν μόρον Ἀδμήτου κωλῦσαι;

34. ἐπὶ τῇδε: ἐπὶ τῇ Αλκήστιδι B. Fl. 15. τῇ γυναικί. Fl. 2.

1. Εὐμενίσι] 723. 724. 729. 30.

3. Μοίρας non mador delevit in A., ut ait Cobetus, sed omisit librarius spatio vacuo relicto, quia, ut alia non pauca alibi, legi in exemplari, quod describebat, non poterat.

ib. θεῖναι] εἶναι A.

4. οὕτω] Recte σύ τοι apud Aeschylum.

ib. παλαιὰς διανομὰς] Corrupte apud Aeschylum παλαιὰς δαίμονας. Veram scripturam παλαιὰν διανομὴν esse suo loco dixi.

ib. καταφθίσας] καταφθίνας A.

9. Ἀδμήτου] In B. est gl. μήτηρ ἀδμήτου κλυμένη et (ad ἡμέρας) ἐγγὺς τοῦ ἀποθανεῖν οὖσα.

14. ταύτην om. A.

15. ἐπέπρωτο] πέπρωται A.

ib. τουτέστι—ἦλθεν] οἷον κατὰ τὸν οἰκεῖον ὅρον, κατὰ τὸ δέον A.

17. Ἀπόλλωνα] ἥλιον A.

ib. πρὸ θυρῶν om. A.

19. ἡ om. Fl.

21. οὐκ ἤρκεσέ σοι τὰς] οὐκ ἤρκεσέ σοι om. B.I.

ib. τῇ δολίῳ τέχνῃ ἀπατήσαντα] ἀπατήσαντι τῇ τέχνῃ B.

39. τί δῆτα: εἰ μετὰ τοῦ δικαίου, φησὶ, φθέγγῃ, τίς ἡ αἰτία τῶν τόξων; B.I.

45. πῶς: εἰ οὐκ ἀφείλου αὐτὸν, πῶς οὐ τέθνηκε; B.

49. κτείνειν ὃν ἂν χρῇ: εἰς τοῦτο μὴ δύνῃ πεῖσαι, τὸ φονεύειν ὃν ἂν πέπρωται. B.I.

50. μέλλουσι θάνατον: τοῖς γεγηρακόσι· τοῦτο γὰρ λέγει μέλλουσι. βραδύνουσι γὰρ ἐν τοῖς ζῶσιν οἱ μέλλοντες. Ἄλλως. εἰ οὐ χρὴ κτείνειν ὃν πέπρωται, ἀλλὰ μᾶλλον πρὸς ἔλεον ῥέπειν, καὶ μόνοις γέρουσι θάνατον ἐπάγειν. Ἄλλως. οὐχὶ τοῦτό σε θέλω πιεῖσαι, τὸ κτείνειν ὃν ἂν χρῇ, (τοῦτο γὰρ ὡμολόγηται) ἀλλ' εἰς τὸ τοὺς γεγηρακότας ἀναιρεῖν. Ἄλλως. οὐχὶ ἐγώ σε λέγω φονεύειν δεῖν ὃν πέπρωται, ἀλλὰ τοῖς γεγηρακόσι θάνατον ἐμβάλλειν.

53. οὔκ ἐστι· τιμαῖς κἀμέ: ὅταν γὰρ τιμὰς λάβωσιν οἱ νεκροὶ, ὁ Θάνατος ἥδεται. καὶ Ὅμηρος

τύμβῳ τε στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.

54. οὗτοι πλέον γ' ἄν: ἐάν τε νῦν αὐτὴν λάβῃς, ἐάν τε γεγηρακυῖαν, οὐδὲν πλέον ἢ μίαν ψυχὴν λάβῃς.

55. νέων φθινόντων: ὁ Θάνατός φησιν ἐπὶ νέων τελευτώντων, καθὸ ἐν τούτοις αὐτοῦ δείκνυται ἡ ἰσχὺς καὶ ἡ δύναμις, οὐ τῆς φύσεως διὰ γῆρας τούτους καταβαλούσης, ἀλλ' αὐτοῦ καταπαλαίσαντος τὴν νεότητα· ἢ καθὸ δείκνυται καθαρῶς καὶ ἀδωροδοκήτως ὑπηρετῶν ταῖς Μοίραις, ὑπερορῶν δωρεὰς καὶ θυσίας προσφερομένας ὑπὲρ αὐτῶν·

4. κτείνειν—ὃν ἂν πέπρωται] Hoc scholion in I. legitur inter scholia v. 50. post verba οἱ μέλλοντες praefixo καὶ ἄλλως.
6. τοῦτο] τούτοις B. Fl. 6. 15.
7. οἱ μέλλοντες] εἰ μέλλοντες B., om. A.
ib. ἄλλως hic et bis deinceps A. καὶ ἄλλως ceteri.
ib. ἄλλως] οὐκ ἀλλὰ τοῖς μέλλουσιν addunt B.I.
ib. εἰ οὐ] εἰ om. A.
8. ὃν πέπρωται] ὃν οὐ πέπρωται Fl. 6. 15.
ib. μόνοις] μόνος I.
9. ποιῆσαι] ποιήσειν I.
10. χρῇ] χρὴ libri hic et lin. 4.
11. σε λέγω] λέγω σοι A.
ib. δεῖν ὃν] δεινὸν A.B.I.
12. ἐμβάλλειν] ἐμβαλεῖν I.
14. καὶ om. A.
ib. Ὅμηρος] Il. 24, 457.
16. λάβῃς A. λάβοις B.I.
ib. οὐδὲν πλέον A. ἔχοις (ἔχῃς B.) τι πλέον B.I.
17. λάβῃς A. λαβεῖν B.I.
19. αὐτοῦ pro αὐτοῖς Heathius, et sic A. ut videtur.
ib. ἡ ἰσχὺς] ἡ om. I.
ib. ἡ δύναμις A. δυνατὸς ἐνδείκνυται B.I.
20. καταβαλούσης] καταβαλλούσης I.
ib. ἀλλ' αὐτοῦ Matth. pro ἀλλὰ τοῦ.
21. ἀδωροδοκήτως ὑπηρετῶν ταῖς M. ἀδωροδόκητος ταῖς μ. ὑπηρέτης A.
22. προσφερομένας] προφερομένας A.

"μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ." ἢ καθὸ μέγας ὁ θρῆνος, καὶ πολλὰ τὰ δάκρυα, καὶ ἀξιοπενθὲς τὸ πάθος, καὶ μήκιστος ὁ χρόνος, μὴ μαλάσσων τὴν συμφοράν. ὁ δ' Ἀπόλλων, καίτοι νοήσας τὸ λεχθέν, παραλογίζεται τὸν Θάνατον, φάσκων ὅτι, κἂν γραῦς ὄληται ἡ Ἄλκηστις, ἀξίως ταφήσεται, τὸ μεῖζον γέρας λέγων ἐπὶ πολυτελοῦς ταφῆς· ὅθεν ὁ Θάνατός φησι, νόμον σοι παραβάλλῃ τοῦ πλουσίως θάπτεσθαι τοὺς ἔχοντας, καὶ τοῦτο νομίζεις γέρας ἐμόν, ἐγὼ δὲ γέρας φημὶ τὸ ἐπὶ νέᾳ νεανιεύεσθαι.

56. κἂν γραῦς ὄληται: ἡ Ἄλκηστις δηλονότι. B. εἰ τιμή σοι γίνεται ἀποθανεῖν τινας δι' ὧν εἰς αὐτούς τινες τιμὰς ποιοῦσι καὶ γραυσὶ γίνεται, μᾶλλον γραῦς φόνευσον. οἷον, ἐὰν γηράσκῃ ἡ Ἄλκηστις, τότε φόνευσον αὐτήν· καὶ γὰρ τότε σοὶ τιμὴ ἔσται. A. ὁ μὲν Ἀπόλλων λέγει ἐπὶ τῆς Ἀλκήστιδος ὅτι, ἐὰν γενομένη γραῦς ἀποθάνῃ, πλουσίως θάπτεται· ὁ δὲ καθόλου ἔλαβε, καὶ φησὶ, τὸν νόμον τίθης, ὦ Ἄπολλον, ὑπὲρ τῶν πλουσίων λέγων. ἀγοράσουσι γὰρ οἱ πλούσιοι γέροντας εἰς θάνατον· διὸ Ἀπόλλων φησὶν αὐτὸν πανούργως εἰρηκέναι. B.I.

57. πρὸς τῶν ἐχόντων: ἀντὶ τῆς ὑπέρ ἢ πρός. B.

58. πέφυκας ὤν: γρ. λέληθας ὤν. B.

59. ὄνοιντ' ἄν: μέμφοιντο ἂν τὴν ἐμὴν δύναμιν οἱ ἐν γήρᾳ τελευτῶντες, διὰ τὸ αὐτοὺς ἀγοράζειν τὴν ζωὴν, τουτέστιν, οὐ γενήσομαι τίμιος. οἱ γὰρ νέοι τελευτῶντες μᾶλλον ἐμοὶ τιμὴν προσνέμουσιν. Ἄλλως. παρὰ τῶν πολυχρονίων ἀγοράσειαν ἂν οἱ πλούσιοι τὸν ἐκείνων χρόνον, ὥστε αὐτοὺς βραδέως ἀποθανεῖν, ἐὰν τοῦτο συγχωρήσω. A.

πάρεστι: τῷ πλουτεῖν. Fl. 2.

65. τοῖος Φέρητος: τὸ ἐξῆς, τοῖος ἀνὴρ τοῦ Εὐρυσθέως μεταπέμψαντος τὸ ὄχημα ἐκ τῶν τόπων τῆς Θρᾴκης. B.I.

70. κοὔθ' ἡ παρ' ἡμῶν: καὶ οὔτε ἡμεῖς ἔχομέν σοι χάριν, ἀλλὰ καὶ ὃ βουλόμεθα πράξομεν. A.B.

74. ὡς κατάρξομαι ξίφει: κατάρξομαι ἀντὶ τοῦ ἀπάρξομαι. A.

1. μόνος—ἐρᾷ] Aeschyli et Niobe versus (fragm. 156.) a pluribus memoratus, ex quibus correctum quod hic legebatur μόνος γὰρ θεῶν.
2. ἀξιοπενθὲς] ἀξιοπαθὲς I.
ib. ὁ χρόνος] ὁ om. A.
4. παραλογίζεται] προλογίζεται A.
6. σοι] σὺ Matth.
ib. παραβάλλῃ τοῦ] προβάλῃ τὸ A.
16. γέροντας] γέροντες I.
20. ὄνοιντ'—] In hoc scholio duplex explicatur scriptura, ὄνοιντ' ἄν et ὠνοῖντ' ἄν. Codicis vitia μέμψοιντο et ὑπὸ τῶν πολυχρονίων correxit Cobetus.
27. ἐκ—Θρᾴκης] ἐκ θρήκης ἐκ τόπων (sic) B.

ἵνα ἀπαρχὴν τῶν τριχῶν λάβω, ὡς ἔθους ὄντος τὸν Θάνατον τοῦ μέλλοντος ἀποθνήσκειν τὴν κόμην τέμνειν ξίφει, οἷον οὐκέτι δυνατὸν ἦν ζῆν.

75. ἱερὸς γὰρ οὗτος: οὗτος γὰρ ὁ ἄνθρωπος ἀφιερωμένος ἐστὶ τοῖς καταχθονίοις δαίμοσιν, οὗ δὴ τὸ ξίφος μου τὴν τρίχα τέμνει.

76. ὅταν τόδ' ἔγχος: ἐκεῖνος, φησὶν, οὐκέτι ἐκφεύγει τὸν θάνατον οὗ τὸ ἔγχος κόψει τὴν τρίχα. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν θυομένων προβάτων, ἐπειδὴ πρῶτον τοὺς μαλλοὺς κόπτουσιν. A.

77. τί ποθ' ἡσυχία: ἐκ γερόντων Φεραίων ὁ χορός. διαιρεῖται δὲ εἰς δύο ἡμιχόρια. B.I.

83. ἐμοὶ, πᾶσιν ἀρίστη: καὶ ἐμοὶ καὶ πᾶσι δόξασα αὐτὴ ἀρίστη εἰς τὸν αὐτῆς ἄνδρα γεγενῆσθαι. A.

88. γόον ὡς πεπραγμένων: ὡς τοιούτων συντετελεσμένων, ἢ γεγονότων κατὰ τὴν Ἄλκηστιν. A.B. Fl. 6.

91. μετακύμιος: βοηθὸς, παυστικός. ἡ γὰρ μεταφορὰ ἀπὸ τῆς γαλήνης τῆς γινομένης ἐπὶ τὰ κύματα. Ἄλλως. γαληνὸς, εὐδιεινὸς, μετὰ τὸ κῦμα κατάστασιν παρέχων. ἀλλ' εἶθε, φησὶν, ὦ Παιὰν, μεταξὺ τοῦ κύματος τῆς ἄτης ταύτης φανείης. Ἄλλως. ὥσπερ λέγομεν μεταίχμιον τὸ μεταξὺ δύο στρατευμάτων διάστημα, οὕτω μετακύμιον τὸ μεταξὺ δύο κυμάτων.

93. οὔτἂν φθιμένας: ἀλλ' εἰ ἦν, φησὶν, ἀποθανοῦσα, οὐκ ἂν ἐσιώπων ἐν τοῖς οἴκοις. B.I.

94. οὐ γὰρ δὴ φροῦδος: οὐδὲ πρὸ τῶν οἴκων ἔλαθεν ἡμᾶς προκομισθεῖσα. πόθεν οἶδας ὅτι οὐκ ἐξηνέχθη; οὐ γὰρ ἐγὼ αὐχῶ καὶ θαρρῶ. B.I.

1. ἵνα om. A.B.
2. ξίφει—ζῆν om. I.
ib. οἷον] ὃν A.
3. ἄνθρωπος] τῶν κατὰ χθονὸς θεῶν addunt libri. Delevit Matth.
ib. ἀφιερωμένος A. ἀνιερωμένος B.I.
4. τέμνει] τέμνῃ A.
14. βοηθὸς—Ἄλλως. γαληνὸς] Haec addidi ex A.
15. εὐδιεινὸς Barnes. εὐδινὸς A.B. Fl. 6. 15. (ut ap. Hesych. εὐδινά·) εὐδινής I.
16. κατάστασιν] μετάστασιν A.
17. μεταξὺ—ἄτης] In B. etiam gl. μεταξὺ τῆς κύματος ἄτης.
ib. φανείης hic A., post παιὰν ceteri.
ib. Ἄλλως A. καὶ ἄλλως ceteri.
18. μεταξὺ A. μεταξὺ τῆς μάχης (αἰχμῆς Matth.) B.I.
ib. στρατευμάτων] στρατευομένων I. In schol. Phoen. 1240. ὁ τόπος ὁ μεταξὺ τῶν δύο στρατευμάτων.
ib. διάστημα ante δύο στρ. B.I.
19. δύο A. τῶν δύο B.I.
22. οὐδὲ πρὸ τῶν οἴκων] οὐ γὰρ πρὸς τὸν οἶκον B.I. Correxi ex A. qui prima scholii verba usque ad προκομισθεῖσα habet, praefixo ἄλλως, quia hoc scholion praecedenti est adjunctum post δύο κυμάτων.

96. πῶς ἂν ἔρημον τάφον: οὐκ ἄν, φησὶν, ἔρημον τὸν τάφον Ἄδμητος ἐποίησε καὶ ἥσυχον, ὥστε μηδένα γνῶναι. Ἄλλως. πῶς χωρὶς ὄχλου τὴν ἐκφορὰν ἐποιήσατο Ἄδμητος, ἀγαθῆς γυναικὸς ἐκφορὰν ποιούμενος;

98. πυλῶν πάροιθε: ὁπότε τις ἀποθάνοι, πρὸ τῶν πυλῶν ὄστρακα πληροῦντες ὕδατος ἐτίθεσαν καὶ κλάδους δάφνης, ἵνα οἱ ἐξιόντες περιρραίνοιντο. ἐκάλουν δὲ τὰ τοιαῦτα ὄστρακα Δωριεῖς μὲν κύμβαλα, Ἀθηναῖοι δὲ ἀρδάνια. ἐνὶ σημείῳ δὲ χρῶνται τοῦ συμβεβηκότος καὶ τοῖς εἰσιοῦσιν ἀφαγνισμὸν εὔλογον πορίζουσιν, ἵνα οἱ παραγενόμενοι τῶν ἐπιτηδείων ἢ διακονήσεως ἢ παραμυθήσεως ἕνεκα περιρραινόμενοι καθαροὶ ὦσι καὶ πρὸς τοὺς ἑαυτῶν ἐπανίωσι μηδενὸς ἐμποδίζοντος. A.

99. χερνίβ': παροξυτόνως τὴν πηγαίαν χέρνιβα, τὴν ὕδατος πηγαίου πεπληρωμένην λεκάνην.

101. χαίτα: οὐδεὶς δὲ ἐν τοῖς προθύροις ἄνθρωπος τετμημένος ἐστὶ τὴν τρίχα, ἡ θριξ πρὸ τῶν θυρῶν οὐκ ἔστι τετμημένη.

103. πένθει πιτνεῖ: συμβαίνει, εἴθισται τὸ ἀποκείρεσθαι. ἐπὶ γὰρ πένθει τὸ παλαιὸν ἀπέκειρον τὰς τρίχας. A. οὐ νεολαία: ἡ νέα· κυρίως δὲ ὁ ἐκ τῶν νέων ὄχλος. νῦν δὲ τὴν ἀκμάζουσαν καὶ εὔτονον χεῖρα σημαίνει. λέγει δὲ ὅτι οὔτε κτύπος ἐστὶ χειρῶν γυναικῶν. νέων δὲ διὰ τὸ μᾶλλον αὐτῶν ἐξακούεσθαι καὶ ἰσχύειν τὸν κτύπον.

108. ἔθιγες δὲ φρενῶν: καθήψω τῶν φρενῶν. B.

1. οὐκ ἂν—Ἄλλως A. οὐκ ἂν, φησὶν, τὸν τάφον αὐτῆς ὁ Ἄδμητος ἐποίησε μεθ' ἡσυχίας, ὥστε μηδένα γνῶναι. καὶ ἄλλως B.I.

3. χωρὶς ὄχλου] ὄχλους (sic) χωρὶς I. ib. ἐκφορὰν π.] π. ἐκφοράν B.

5. ὄστρακα Cobetus. τὰς στράτας A.

7. περιρραίνοιντο Cobetus. περιραίνοιντο A. et infra περιρανόμενοι.

ib. κύμβαλα — ἀρδάνια] Comparanda cum his quae Hesychius dixit s. v. ἀρδάνια.

9. ἀφαγνισμὸν Cobetus. ἀφανισμὸν A. In ἐμφανισμὸν corruptum ap. Hesychium.

11. καθαροὶ ὦσι Cobetus. καθαίρουσι A.

13. παροξυτόνως — πεπληρωμένην] Haec, praefixo καὶ ἄλλως, in libris leguntur post scholion proximum. Transposuit Matth. Ego lemma χερνίβ' apposui, παροξυτόνως scriptum, ut verba postulant scholiastae, qui opinionem grammaticorum quorundam sequitur, refutatam ab Athenaeo 9. p. 408.

ib. πηγαῖαν (sic) A. πηγαῖον B.I.

14. λεκάνην om. B.I.

16. ἐστὶ om. B.I.

18. ἡ νέα A. ἡ om. B.I.

20. χειρῶν] χερῶν I. χειρῶν post γυναικῶν A.

21. τὸν κτύπον] τὸν om. A.

109. διακναιομένων: τῶν ἀγαθῶν διαφθειρομένων δεῖ πενθεῖν· κνῆστις γὰρ ἡ μάχαιρα. A.B.

112. ἀλλ' οὐδὲ ναυκληρίαν: οὐδ' εἰ πλεύσαιμεν, ἵνα μαντείαν λάβοιμεν, ἐδυνάμεθα αὐτῇ βοηθεῖν, οὐδὲ ἔστιν ὅποι τῆς γῆς πέμψας πλοῦν παραλύσειε τῆς δυστήνου Ἀλκήστιδος τὴν ψυχήν. πλησιάζει γὰρ ὁ θάνατος καὶ καιρὸν οὐκ ἔχομεν διακονοῦντα τῇ προθυμίᾳ. Ἄλλως. ἀλλ' οὐδὲ πλοῦν ὃν ἄν τις στείλας ἢ ἐπὶ τῆς Αἴας, πόλεως Κολχίδος, ἢ ἐπὶ τῆς Λυκίας, ἢ ἐπὶ τῆς Ἀμμωνιάδος τῆς Λιβύης, ἔνθα ἱερὸν τοῦ Διὸς δυνήσεται τὸν θάνατον ἀπαλλάξαι τῆς ψυχῆς αὐτῆς. παραλύσαι ψυχήν: παραλύσειεν αὐτὴν τῆς δυστήνου ψυχῆς, ἀντὶ τοῦ θανάτου. ἡ γενικὴ ἐστιν ἀντὶ αἰτιατικῆς, ἵν' ᾖ τῆς δυστήνου τὴν ψυχὴν σώσειε καὶ παύσειε τῶν κακῶν.

114. ἀνύδρους: ἄνυδρος γὰρ ἡ Ἀμμωνιακή. B.

119. πλάθει: πλησιάζει γὰρ, καταλαμβάνει. B.

122. μόνος δ' ἂν, εἰ φῶς: τουτέστιν, εἰ ἔζη ὁ υἱὸς τοῦ Ἀπόλλωνος ὁ Ἀσκληπιὸς, εἶχεν ἂν καταλιπεῖν τοῦ Ἅιδου τὰς πύλας ἡ Ἄλκηστις, ἀντὶ τοῦ εἶχεν αὐτὴν ἄνω ζωοποιῆσαι. A.

132. τετέλεσται βασιλεῦσι: ἃ ἔδει ποιεῖν τετέλεσται τῷ Ἀδμήτῳ. τί δὲ τὸ εὔξασθαι, τὸ θῦσαι τοῖς θεοῖς τὰ πρόσφορα; ἐπὶ τοῖς εἱμαρμένοις τὰ προσήκοντα ὁ ἀνὴρ ποιεῖ, ἢ ἐπ' αὐτῇ τῇ Ἀλκήστιδι.

137. ἀλλ' ἥδ': ὅλος λέγει ὁ χορὸς ταῦτα. B.

1. τῶν ἀγαθῶν διαφθειρομένων A. τῶν ἀγαθῶν φθειρομένων B. διαφθειρομένων τῶν ἀγαθῶν Fl. 6. 15. Solum φθειρομένων est in I.

ib. δεῖ A. χρὴ B. Fl. 6. 15.

3. οὐδ' εἰ] ἀλλ' οὐδ' εἰ Fl. 6. 15.

4. λάβοιμεν—βοηθεῖν om. I.

ib. ἐδυνάμεθα] ἢ ἐδυνάμεθα A.

ib. ὅποι (idque post τῆς γῆς) A. ὅπως B. Fl. 6. 15. ὅπου I.

5. πλησιάζει—τῶν κακῶν A. παραλύσειεν αὐτὴν τῆς δυστήνου ψυχῆς, ἀντὶ τοῦ θανάτου. ἡ γενικὴ ἐστὶν ἀντὶ αἰτιατικῆς, ἵν' ᾖ (verba τῆς δυστήνου —ἵν' ᾖ exciderunt in I.) τῆς δυστήνου τὴν ψυχὴν σώσειε (σώσει I.) καὶ παύσειε (παύσεις I.) τῶν κακῶν. πλησιάζει γὰρ—τῇ προθυμίᾳ:—B. Fl. 6. 15. I.

12. σώσειε καὶ παύσειε] σώσει καὶ παύσεις A.

17. ζωοποιῆσαι] Proximum in A. scholion est ad v. 700. folio 216a: nam quae praecedunt folia 200b—215b. scholiis carent. Margines etiam plurium foliorum male habitae et partim charta recentiore agglutinata refectae.

19. τὰ πρόσφορα om. B. in quo verba ἐπὶ τοῖς—Ἀλκήστιδι proximo versui sunt adscripta.

22. ὅλος—ὁ χορὸς] Immo coryphaeus.

139. πενθεῖν μέν: τὸ μὲν γὰρ πενθεῖν καὶ πρὸ τοῦ πάθους συγγνώμης ἄξιον· λυπεῖται γάρ.

142. καὶ ζῶσαν: ἐψυχορράγει γάρ. B. Fl. 6.

143. προνωπής: προπεπτωκυῖα, προνενευκυῖα εἰς θάνατον.

155. ὑπερβεβλημένην: τὴν ὑπερβάλλουσαν. Fl. 2.

160. κεδρίνων δόμων: κασελῶν. Fl. 15.

162. πρόσθεν ἑστίας: ὡς πρὸς τὴν ἑστίαν λέγουσαν αὐτήν. μετέβη δὲ ἐκ τοῦ ἐξηγητικοῦ ἐπὶ τὸ μιμητικόν.

165. ὀρφανεῦσαι: ὀρφανοτροφῆσαι, ἐπιτροπεῦσαι. καὶ ὀρφανιστὰς τοὺς ἐπιτρόπους λέγουσι.

172. μυρσίνης φόβην: ἀπὸ πτόρθων λαμβάνουσα φόβην μυρσίνης, ὅ ἐστι τὰ φύλλα τῆς μυρσίνης.

173. οὐδὲ τοὐπιόν: οὐδὲ τὸ ἐπιὸν τοῦ φόβου τοῦ θανάτου μετέστησε τὴν εὐειδῆ φύσιν τοῦ χρώματος, ἀντὶ τοῦ οὐδὲ ὠχρίασεν. B Fl. 6. 15.

177. παρθένεια: τὰ τῆς παρθενείας κορεῖα, ὅ ἐστιν, ἔνθα κόρη οὖσα ἔλυσα τὴν παρθενίαν. τὸ ἑξῆς, ὦ λέκτρον, χαῖρε.

182. σώφρων μέν: ἐμοῦ μὲν οὐ σωφρονεστέρα, εὐτυχὴς δὲ ἴσως.

184. πλημμυρίδι: πλήθει δακρύων.

186. προνωπής: ἔξωθεν τοῦ προνωπίου θαλάμου.

195. προσεῖπε: προσηγόρευσεν. B.

προσερρήθη: ἀντὶ τοῦ προσηγορεύθη. B.

197. καὶ κατθανών τ' ἄν: καὶ εἰ μὲν συνέβη αὐτὸν ἀποθανεῖν, μία ἦν ἡ λύπη τὸ θανεῖν καὶ αὐτόν· νῦν δὲ ἐκφυγὼν τὸν θάνατον ἀνεπίληστα ἔχει τὰ κακά.

204. παρειμένη τε χειρὸς ἄθλιον βάρος: τὴν ἰσχὺν τῆς χειρὸς παραλελυμένη.

1. γὰρ om. B.

6. κασελῶν] V. Ducangii Glossar. vol. 1. p. 599.

7. αὐτὴν B. αὐτῇ I. λέγοισα εὖξατο αὐτῇ conjecit Matth.

10. τοὺς] τὰς I.

11. ἀπὸ—μυρσίνης om. I.

19. πλήθει δακρύων] In B. sine lemmate τῶν τῷ πάθει (superscriptum πλήθει) τῶν δακρύων.

20. προνωπίου B. προωπείου I. "An: ἔξωθεν τοῦ προνωπίου τοῦ θαλάμου. προνωπίου i. e. προθύρου. vid. Valck. ad Hipp. 373. Voce poetica usus videtur grammaticus, ut indicaret, quum προνωπής diceret poëta, eum significationem illam τοῦ προνωπίου in animo habuisse." MATTH.

24. ἡ proximumque καὶ om. I.

ib. ἀνεπίληστα Heath. pro ἀνεπίληπτα.

26. χειρὸς] χερὸς I.

210. οὐ γάρ τι πάντες: παρίστανται μὲν γὰρ πάντες ὡς ὑπήκοοι, οὐκ εὐμενεῖς δέ.

213. τίς ἂν πόρος: τίς ἂν πόρος τῶν κακῶν ἡμῖν γένοιτο. ἢ πῶς, ἢ ποῦ.

214. ἔξεισί τις: ἀγγέλλων αὐτὴν σεσῶσθαι, ἢ θανοῦσαν ὀδύρωμαι; B. Fl. 15.

217. στολμόν: στολισμόν. Fl. 2.

222. πόριζε: ἀπὸ κοινοῦ τὸ πόριζε. B. καὶ πάρος γάρ: καὶ πρώην γὰρ τούτου τοῦ θανάτου εὗρες μηχανήν, δι' ἧς τὸν Ἄδμητον ἔσωσας.

229. ἄξια καὶ σφαγᾶς: ἃ πέπονθας ἄξια καὶ σφαγῆς ἐστιν.

230. ἢ βρόχῳ δέρην: καὶ μεῖζον τοῦ βρόχῳ ἀπαθανεῖν τινά. βρόχῳ δὲ οὐρανίῳ ἀντὶ τοῦ μετεώρῳ.

234. ἦδ' ἐκ δόμων δή: οὐκ εὖ· κατὰ γὰρ τὴν ὑπόθεσιν ὡς ἔσω πραττόμενα δεῖ ταῦτα θεωρεῖσθαι.

238. κατὰ γᾶν: παρὰ τὸν καταχθόνιον Ἅιδην.

239. τοῖς τε πάροιθεν: ἐκ τῶν παλαιῶν τεκμαιρόμενος καὶ τὰ νῦν.

244. οὐράνιαί τε: ἀντιστρόφως εἴρηκεν ἀντὶ τοῦ οὐράνιαί τε νεφέλαι, διὰ δίνης δρομαίου, τῆς ἀειδινήτου περιφορᾶς.

245. ὁρᾷ σὲ κἀμέ: τοῦτό φησιν ἀποδεικνύων ὡς τῶν εἰς θεοὺς ἁμαρτανόντων ἐκκοπτομένων.

247. γαῖά τε καὶ μελάθρων στέγαι: εἰκῇ φησι δεδόσθαι τὰ περὶ τῆς ἐν τῷ Ἀχέροντι πορθμείας, ὡς μαρτυρεῖ καὶ Δεῦρις ἐν τῇ ιε' τῶν Μακεδονικῶν, ὅτι ἐν Ἰωλκῷ ἐνυμφεύθη. Ἰωλκοῦ γὰρ Πελίας ἐβασίλευσεν.

1. παρίστανται] παρίσταται I.
5. σεσῶσθαι addidit Matth.
ib. ὀδύρομαι Matth. pro ὀδύρομαι.
11. σφαγῆς ἐστιν] ἐστὶν σφαγῆς I.
16. Ἅιδην] ἅδαν I.
17. τὰ νῦν] τῶν νῦν Matth.
22. γαῖά τε καὶ μελάθρων στέγαι] Lemma ἔχων χεῖρ' praescriptum in I. nullum est in B., in quo scholion hoc ad v. Ἰωλκοῦ adscriptum.
24. Μακεδονικῶν] Λακεδαιμονικῶν libri. Mihi haec sic constituenda videntur: ὡς μαρτ. καὶ Δ. — ἐνυμφεύθη. πατρῴας Ἰωλκοῦ: Ἰωλκοῦ γὰρ Π.
ib. ὅτι ἐν—] Lemma πατρῴας Ἰωλ-

Sed quid verbis εἰκῇ φησι δεδ. etc. faciam non habeo. Fort. vv. εἰκῇ φησι δεδόσθαι [τὰ ἔδνα, ὅτε ἐνυμφεύθη ἐν Ἰωλκῷ, ὡς μαρτ. etc.] ad vv. 247. sqq. reliqua [ταῦτά φησι] περὶ τῆς ἐν τῷ Ἀχ. τ. ad vv. 249. sqq. referenda sunt. τῶν Μακεδονικῶν scribendum esse pro τῶν Λακεδαιμονικῶν recte monuit Censor ed. Monk. in *Quarterly Review* vol. 15. nr. 29. vid. Vossium de hist. gr. p. 79. sq. Schweigh Ind. Auct. in Athen. MATTH.

254. Χάρων μ' ἤδη καλεῖ: καλεῖ με, φησίν, ὁ Χάρων ταῦτα λέγων, τί μέλλεις; ἐπείγου.

255. κατείργεις: κατέχεις. B. Fl. 15. τάδ' ἕτοιμ': τὸ πλοῖον καὶ τὰ λοιπὰ ἐφόδια. Fl. 2.

σπερχόμενος: ταῦτα ἠπειγμένα ἔχων ταχύνει.

ταχύνει: ἐμὲ ὁ Χάρων. Fl. 2.

257. ναυκληρίαν: ἀποδημίαν. B.

258. ὦ δύσδαιμον: ἐπειδὴ περὶ πλοίου ὁ λόγος. δύσδαιμον: ὦ ἀθλία Ἄλκηστι.

261. κυαναυγέσι: μελαίναις. B.

264. οἰκτρὰν φίλοισιν: προβαίνεις εἰς ὁδὸν τοῖς φίλοις οἰκτράν, ἐκ δὲ τῶν φίλων ἐμοὶ μάλιστα οἰκτράν. παῖδες Ἀδμήτου Εὔμηλος καὶ Περιμήλη.

266. μέθετέ με: ὡς κατεχομένη ὑπὸ τοῦ Χάρωνος λέγει.

267. οὐ σθένω, πόσι: οὐκέτι ἀντέχω. ὁ γὰρ Ἅιδης πλησίον.

272. ὁρῷτον: ὁρᾶτε. γένοιτο, φησὶ, χαίροντας ὑμᾶς τόδε φάος ὁρᾶν.

276. μὴ πρὸς παίδων: μὴ προδώσῃς με πρὸς τῶν παίδων, οὓς μέλλεις καταλιπεῖν ὀρφανοὺς, ἐὰν ἀποθάνῃς.

280. Ἄδμηθ' ὁρᾷς: τὸ ἐφεξῆς, Ἄδμητε, λέξαι σοι θέλω.

284. παρόν μοι: ἀλλ' ἐξόντος μοι σοῦ ἀποθανόντος ἄνδρα ἔχειν μέγιστον τῶν Θεσσαλῶν, οὐκ ἠθέλησα.

291. ἦκον: ἀντὶ τοῦ ἥκοντος, ὅ ἐστι καιροῦ αὐτοῖς ἥκοντος εἰς τὸ ἀποθανεῖν ἀπογεγηρακόσιν.

κοῦ praefixum in Fl. 6. 15. pariterque in B., etsi sine lemnate, Λακεδαιμονικῶν :—ὅτι etc.

P. 97. l. 24. Ἰωλκοῦ] ἰωλκοῦς I.

2. et 19. μέλλεις] μέλῃς I.

3. κατέχεις] σὺ κατέχεις B. in quo haec scholio praecedenti adjuncta.

8. ἐπειδὴ] ἐπεὶ I.

ib. πλοίου] πελίου I.

9. Ἄλκηστι] νεκύων ἐς αὐλάν: πτερωτὸς ἁΐδας addit I. ἄγει με νεκύων ἐς αὐλὴν πτερωτὸς ἁΐδης addit B., recte, si τὸ ἑξῆς praemittatur.

10. μελαίναις] μελέναῖς (sic cum duplici accentu) B. Voluit μελαίναις aut μελαναῖς.

19. καταλιπεῖν (καταλείπειν Fl. 6. 15.) ὁ.] ὁ. καταλιπεῖν B.

20. θέλω—μοι σοῦ] Sic B., nisi quod lemma παρόν μοι ab me additum omittit. Ponit vero post θέλω signum scholii finiti (:—), tum post aliquot versuum intervallum pergit ἀλλ' ἐξόντος etc. In I. est θέλω ἀντὶ τῆς ἐμῆς ψυχῆς ἐξόν μοι σοῦ etc.

21. ἔχειν] ἔχων I.

294. σοῦ κατθανόντος: ἀποθανόντος σου οὐδὲ φυτεύειν ἠδύναντο ἕτερα τέκνα.

297. ὠρφάνευες: ἐπετρόπευες, τῆς κατὰ τὴν ὀρφανίαν τροφῆς προέστης.

304. τούτους ἀνάσχου: ἀνάγαγε, ἀπόδειξον.

305 κακίων οὖσ' ἐμοῦ: κακὴ παρ' ἐμέ. B.

307. τὸ καθόλου. B.

311. καὶ παῖς μὲν ἄρσην: καὶ περὶ μὲν τοῦ ἄρσενος οὐδὲν ἔχω πλέον λέγειν· ἱκανὸς γάρ ἐστι πᾶς ἄρσην ἑαυτῷ βοηθεῖν. παρρησίαν γὰρ ἄγει πρὸς τὸν πατέρα. σὺ δὲ θήλεια, πῶς παρθενεύσῃ ἄρα;

314. κληδόνα: φήμην, ψόγον. B.

318. ἐν τόκοισι: ὅπου ἐν τῷ τοκετῷ. B.

320. θανεῖν: τὸ ἀποθανεῖν. B. οὐκ εἰς αὔριον: οὐκ εἰς τὴν αὔριον τοῦ μηνὸς τούτου, οὐδὲ εἰς τὴν μετὰ τὴν αὔριον.

321. ἔρχεται κακόν: τὸ ἀποθανεῖν δηλονότι. B. Fl. 6.

322. ἐν τοῖς οὐκέτ' οὖσι λέξομαι: ἐν τοῖς νεκροῖς. B. τοῖς νεκροῖς συναριθμηθῶ. Fl. 6.

324. γυναῖκ' ἀρίστην: ἐμὲ δηλονότι ἀρίστην, ὡς εἴ τις λέγοι, ἀστεῖος ὁ ἀνὴρ καὶ ἡ γυνὴ, ἀστεία δηλονότι.

326. πρὸ τούτου: ὑπὲρ τούτου. B. οὐ χάζομαι: οὐκ εὐλαβοῦμαι, οὐκ ἀπέχομαι. καὶ Ὅμηρος "μηδ' ἄζεο θοῦρον Ἄρηα." ὁ δὲ νοῦς, οὕτω θάρσει ὅτι ποιήσει πάντα ὁ ἀνὴρ καὶ οὐ γαμήσει ἑτέραν. οὐκ εὐλαβοῦμαι γὰρ ἐγγυῆσαι αὐτόν.

330. κοὔτις ἀντὶ σοῦ: οὐδεμία ἄλλη γυνὴ ἐρεῖ μοι, ὦ πόσι· οὐ γὰρ λήσομαι.

334. ἄλις δὲ παίδων: διὰ τί γαμῶ, ὁπότε παῖδας ἔχω; ἕως τοῦ

1. σου] σοι B.
ib. φυτεύειν] φυτεύσειν B.I.
3. ὀρφανίαν] ὡς ὀρφανίαν B.
5. τούτους—ἀπόδειξον] Sic B. etsi sine lemmate. In I. τούτους ἀνάγαγε· ἀπόδειξον post scholion v. 291.
7. τὸ καθόλου] Referendum fortasse ad v. 309.
19. λέγοι] λέγει I.
21. οὐ χάζομαι] οὐχάζομαι B.
22. οὐκ ἀπέχομαι] καὶ οὐκ ἀπέρχομαι I.
ib. Ὅμηρος] Il. 5, 830.
24. ἐγγυῆσαι B. Fl. 6. 15. ἐγγυῆσθαι I. ἐγγυήσασθαι Matth.
25. κοὔτις—πόσι] μηκέτ' οὖσι νεκροῖς: οὐδὲ μία ἄλλη γυνὴ ἐρείκοι ὦ πόσι I.
26. λήσομαι] λήσσομαι B. Fl. 6. 5. οὐ γὰρ λήσομαι om. I.
27. γαμῶ—ἔχω] κἀγὼ—ἔχων I.
ib. ἕως τοῦ—στίζειν] Sic interdum loquuntur grammatici pro usitatiore εἰς τὸ—.

παίδων δεῖ στίζειν, εἶτα ἀφ' ἑτέρας ἀρχῆς τὰ ἑξῆς. δηλοῖ δὲ ὅτι οὐ προσδέομαι ἑτέρων παίδων.

336. οἴσω δὲ πένθος: οὐ μέχρι ἐνιαυτοῦ πενθήσω σε, ἀλλὰ μέχρι ὅλου τοῦ αἰῶνός μου.

338. στυγῶν μέν: μισῶν τὴν μητέρα, αἰωνίως καὶ αὐτὴν μισῶν, ὡς καὶ τὸ πένθος αἰώνιον ἔχω.

340. σὺ δ' ἀντιδοῦσα: δοῦσα οὖν τῆς ἐμῆς ψυχῆς τὴν σὴν ψυχήν.

343. παύσω δὲ κώμους: ἀντὶ τοῦ οὐκ ἔτι κωμάσω.

345. οὐ γάρ ποτ' οὔτ' ἂν βαρβίτου: εἶδος ὀργάνου μουσικοῦ ὁ βάρβιτος, βαρυτέρας ἔχοντος τὰς χορδάς, καὶ ἐστὶν οἱονεὶ βαρύμιτός τις ὤν.

346. οὔτ' ἂν φρέν' ἐξαίροιμι: οὐ πείσαιμι τὴν ἐμὴν φρένα λακεῖν πρὸς Λίβυν αὐλόν. οἱ γὰρ ἀρχαῖοι πρὸς αὐλὸν ᾖδον. πρὸς Λίβυν λακεῖν: Λίβυν τὸν αὐλόν φησιν· ἐκ γὰρ τῶν ἐν Λιβύῃ λωτίνων λεγομένων καλάμων ὁ αὐλὸς γίνεται· ἢ ὅτι ἐν Τρίτωνι τῷ ποταμῷ τῆς Λιβύης εὑρέθη.

357. εἰ δ' Ὀρφέως μοι: εἰ δὲ εἶχον τὸ μέλος τοῦ Ὀρφέως πρὸς τὸ σὲ λαβεῖν κηλήσαντα τὴν Κόρην ἢ τὸν Πλούτωνα, καὶ τοῦτο ἂν ἐποίησα. εἰ δ' Ὀρφέως μοι: Ὀρφέως γυνὴ Εὐρυδίκη, ἧς ἀποθανούσης ἀπὸ ὄφεως κατελθὼν καὶ τῇ μουσικῇ θέλξας τὸν Πλούτωνα καὶ τὴν Κόρην, αὐτὴν ἀνήγαγεν ἐξ Ἅιδου.

365. ἐπισκήψω: ἐντελοῦμαι γὰρ ἐν τοῖς αὐτοῖς σοροῖς σὺν σοὶ ἐμὲ θάψαι.

369. καὶ μὴν ἐγώ σοι: τὸ ταύτης πένθος συνοίσω. ἀξία γὰρ αὐτὴ τοῦ πενθεῖσθαι.

372. μὴ γαμεῖν: ἀντὶ τοῦ μὴ γαμήσειν. B.

375. ἐπὶ τοῖσδε: πρὸς τὸ μὴ εἰσαγαγεῖν ἄλλην τινά.

379. ὅτε ζῆν χρή: νέαν οὖσαν δηλονότι.

3. μέχρι B. μέχρις I.
ib. ἐνιαυτοῦ Matth. pro ὅλου τοῦ ἐνιαυτοῦ.
4. ὅλου τοῦ B. τοῦ ὅλου Fl. 6. 15. ὅλου om. I.
6. ὡς καὶ τὸ πένθος B. Fl. 6. 15. ὡς τὸ πάθος I.
7. οὖν—τὴν σὴν ψυχήν B. Fl. 6. 15. δ' ἀντὶ—τὴν σήν I.
9. κωμάσω] κωμάζω σοι I.
11. ἔχοντος] ἔχων I.
13. πείσαιμι Matth. pro πείσει με.
14. αὐλόν] ὃ ἐστιν add. B. Fl. 6. 15.
21. ὄφεως] ὄφεος I.
29. νέαν οὖσαν] νέα οὖσα B.

381. χρόνος μαλάξει σ': ὁ χρόνος θεραπεύσει σε. B.

385. βαρύνεται: ὑπὸ τοῦ θανάτου. B.

387. ὡς οὐκέτ' οὖσαν: οὕτως ἀποθανοῦμαι, ὥστε μηκέτι με οὖσαν νόμιζε.

389. ἑκοῦσα: οὐχ ἑκοῦσα προλείπω αὐτούς.

391. ἀπωλόμην: ὡς αὐτῆς καταπεσούσης τὸ ἀπωλόμην.

404. τὴν οὐ κλύουσαν: ταύτην καλεῖς τὴν οὔτε κλύουσαν οὔτε ὁρῶσαν.

ἐγὼ καὶ σφώ: ἐγὼ καὶ ὑμεῖς· πρὸς τὸν Εὔμηλον καὶ τὴν ἀδελφὴν αὐτοῦ.

406. νέος ἐγώ: νέος καὶ ἔρημος λείπομαι φίλης μητρός.

407. μονόστολος: ἀπὸ μεταφορᾶς τῶν μονοστελλομένων πλοίων. μονόστολος οὖν ἀντὶ τοῦ ἔρημος.

409. σύ τ' ἐμοί: ὡσεὶ ἔλεγε συνόμαιμε, συναδελφὲ, τοσαῦτα ἔτλης ὅσα ἐγώ.

412. ἀνόνατ': εἰς γάμον ἐπὶ ἀνωφελείᾳ συνῆλθες. B. Fl. 6.

414. πάρος: πρὸ τοῦ δέοντος καιροῦ. B.

416. ἀνάγκη τάσδε: ἀνάγκη γὰρ ἀποθανεῖν· ὡς τοῦ Ἀδμήτου ὑπό τε τοῦ πάθους τῆς γυναικὸς καὶ τοῦ θρήνου τῶν παίδων συγχυθέντος πρὸς αὐτόν.

420. κοὐκ ἄφνω κακὸν τόδε: οὐκ ἐξαίφνης μοι αὕτη ἡ συμφορὰ ἐπῆλθεν, ἀλλὰ προειδότι.

422. ἀλλ' ἐκφοράν: ποιήσομαι ἐκφορὰν τοῦ νεκροῦ.

423. πάρεστε: παραμείνατε, παραμεῖναι ὀφείλετε.

424. παιᾶνα: θρῆνον, ἐφ' ᾧ οὐ σπένδουσιν ὥσπερ ἐν τοῖς παιᾶσι.

427. κουρᾷ ξυρήκει: κελεύω αὐτοὺς μετέχειν τοῦ πένθους τῷ κεκάρθαι καὶ μελανειμονεῖν.

428. μονάμπυκας πώλους: ἀζύγους κέλητας. B.

438. ἴστω δ' Ἀΐδας: γινωσκέτω δ' ὁ Ἅιδης καὶ ὁ Χάρων, ὃς

3. με οὖσαν B. οὖσάν με I.
7. ταύτην] ταύτην δὴ I.
9. ἐγὼ καὶ ὑμεῖς Barnes. pro ὑμεῖς καὶ ἐγώ.
12. μονοστελλομένων] Compositum vitiose formatum.
15. ἔτλης] ἔχεις I.
19. τῆς γυναικὸς B. τῶν γυναικῶν I.
20. αὐτόν] αὐτὸν ταῦτα λέγει ὁ χορός Matth.
24. παραμεῖναι] διὸ (διότι Fl. 6. 15.) παραμεῖναι B. Fl. 6. 15.
26. πένθους] πάθους I.
28. κέλητας] κέλλητας B.
29. δ' ὁ] δ' om. B.

ἐπὶ τῇ κώπῃ καὶ τῷ πηδαλίῳ ἵζει, ἀρίστην γυναῖκα πορθμεύσας εἰς τὴν Ἀχερουσίαν λίμνην.

446. οὐρείαν χέλυν: τὴν λύραν· ἀπὸ γὰρ χελώνης ὀρεινῆς ἡ λύρα ἐστίν. εἰσὶ δὲ καὶ ἔνυδροι· διὸ ὀρείαν εἶπεν. Ἄλλως. τουτέστι μετὰ λύρας. καὶ παρὰ Σοφοκλεῖ ἐν Αἴαντι Λοκρῷ "καὶ πεζὰ καὶ φορμικτά." καὶ πεζαὶ δέ τινες ἑταῖραι λέγονται, αἱ χωρὶς ὀργάνου εἰς τὰ συμπόσια φοιτῶσιν. ἑπτάτονος χέλυς: ἀντὶ τοῦ ἡ ἑπτάχορδος.

449. περινίσσεται: περικυκλοῦται· κυκλοειδὴς γὰρ ὁ χρόνος. καὶ Ὅμηρος "περιτελλομένου ἐνιαυτοῦ."

450. ἀειρομένης: μετεωριζομένης, πλησιφαοῦς τῆς σελήνης, ἐν πανσελήνῳ τῆς ἑορτῆς ἀγομένης. Ἄλλως. εὐφυῶς τὴν πλησιφαῆ διὰ τὸ ἀειρομένας παννύχου σελάνας ἐδήλωσεν. ὅτε γὰρ πανσέληνός ἐστι, δι' ὅλης τῆς νυκτὸς φέγγει.

458. Κωκυτοῦ: ποταμὸς καθ' Ἅιδου ὁ Κωκυτός. B.

459. νερτέρᾳ τε κώπᾳ: ἀντὶ τοῦ διὰ τῆς κώπης ἀνήνεγκα ἄν σε. B. Fl. 6.

462. κούφα σοι: εἴη σοι ἡ ἐπικειμένη σποδὸς ἀνώδυνος.

473. τοῦτο γὰρ ἐν βιότῳ σπάνιον: συμβίου σὺν ἐμοὶ οἰκῆσαι μελλούσης. ἢ τοιαύτη γαμετή.

476. κωμῆται: ἐπεὶ εἰς κώμας ἦσαν διῃρημένοι, ὅ ἐστιν εἰς φυλάς.

479. χρεία τίς σε: εἰπὲ τίς σε χρεία πέμπει προσβῆναι Φεραῖον ἄστυ, πόλιν Θεσσαλῶν.

1. τῇ κ. καὶ τῷ π.] τῷ π. καὶ τῇ κ. I.
ib. ἵζει Barnes. ἵξει B. Fl. 15. ἥξει Fl. 6. I.
4. ἔνυδροι] ἄνυδροι I.
ib. Ἄλλως addidit Matth.
5. μετὰ om. I.
ib. Σοφοκλεῖ] Fragm. 15.
ib. πεζὰ—πεζαὶ] πεξὰ—πεξαὶ I.
6. ἑταῖραι Heathius pro ἕτεραι.
7. ἑπτάτονος—ἑπτάχορδος] ἑπτάτονος χέλυς λέγεται ἡ ἑπτάχορδος B.
9. περικυκλοῦται Heathius pro περικυκλοῦνται.
12. Ἄλλως] καὶ ἄλλως B.
13. τὸ—παννύχου σελάνας Matth. pro τὰς—παννύχους (omisso σελάνας). Respicit ad v. 450.
15. καθ' Ἅιδου] καθόδου B.
16. ἀνήνεγκα ἄν σε Matth. pro ἂν ἤνεγκάν σε.
18. σποδὸς Barnes. pro ἑδός.
ib. ἀνώδυνος] ἀρώδυνος B. εὐρώδυνος Fl. 15.
20. μελλούσης B. με καλούσης I.
ib. γαμετή B. γαμετῇ I.
21. ὅ ἐστιν] τουτέστιν I.
22. φυλάς] φυλλάς B.
23. εἰπὲ B. εἴ τε I.

481. πράσσω: ὑπηρετῶ.

483. τέτρωρον: ἀντὶ τοῦ τετράορον, ὅταν ὦσι τέσσαρες ἵπποι ἐζευγμένοι. καὶ συνωρὶς δὲ ὅταν ἕτερος ἑτέρῳ συνεζευγμένος ᾖ. ἀπὸ τούτου καὶ συνάορος ἡ γυνὴ λέγεται ἡ συνηρτημένη καὶ συνεζευγμένη.

488. κτανὼν ἄρ' ἥξεις: ἢ κρατήσεις, ἢ οὐ κρατήσεις. οὐ γὰρ χωρὶς αἵματος προβήσεταί σοι ὁ ἀγών.

490. τί δ' ἂν κρατήσας: εἰ συμβῇ σοι κρατῆσαι τοῦ δεσπότου τῶν ἵππων, τί πλέον πράξεις καὶ ὠφελήσεις, ὅπου γε οἱ ἵπποι ἀδάμαστοι εἰσί;

494. ἀρταμοῦσι: μαγειρεύουσιν. ἀρταμὸς γὰρ λέγεται ὁ μάγειρος.

495. χόρτον: βορὰν λεόντων, οὐχ ἵππων λέγεις.

497. τίνος δ' ὁ θρέψας: ὁ θρέψας τοὺς ἵππους τίνος ἐστὶ πατρὸς παῖς;

498. Ἄρεως ζαχρύσου: ἀπὸ τῶν ὅπλων τοὺς πολίτας φησίν. πέλτη ἀσπίς ἐστιν ἴτυν μὴ ἔχουσα.

500. σκληρὸς γὰρ ἀεί: ὁ δαίμων οὐδέποτέ μοι εὐοδεῖ, ἀλλὰ πρὸς τὸ ἄναντες καὶ δύσκολον ὁδοιπορεῖ. πρὸς αἶπος: πρὸς δυσχέρειαν· τὰ γὰρ ὑψηλὰ δυσχερῆ ἐστιν.

509. Περσέως τ' ἀφ' αἵματος: Περσέως Ἠλεκτρύων, οὗ Ἀλκμήνη, ἧς Ἡρακλῆς.

511. θέλοιμ' ἄν: θέλω μὲν χαίρειν, ἀλλὰ διὰ τὸ συμβὰν οὐ δυνάμεθα χαίρειν. εὔνουν: φίλον βουλόμενόν με χαίρειν.

521. ἔστιν τε κοὐκέτ' ἔστιν: ζῇ μὲν γάρ, φησί, τῷ δὲ προσδοκᾶν αὐτὴν ἀποθανεῖν οὐ ζῇ.

526. εἰς τόδ' ἀναβαλοῦ: ἕως οὗ συμβῇ θανεῖν, ὑπέρθου τὰ δάκρυα.

527. τέθνηχ': ὃ σὺ λέγεις, τὸ μήπω γενόμενον οὐκ ὀφείλειν ὡς ὂν λογίσασθαι· ἐγὼ δὲ τὸ ἐσόμενον ὡς ὂν λογίζομαι.

2. τετράορον Matth. pro τετράωρον.
3. σ. ᾖ. ἀπὸ] σ. ἢ ἀπὸ I.
6. ἢ οὐ κρατήσεις] ἢ κρατήσει B.
7. σοι om. I.
11. μαγειρεύουσιν] μαγειρεύσουσιν I.
15. ζαχρύσου] παγχρύσου I. Lemma om. B.
17. εὐοδεῖ] εὐωδεῖ B.
18. πρὸς αἶπος: πρὸς δυσχέρειαν om. I.
20. Ἠλεκτρύων] ἠλεκτρυὼν B.
ib. οὗ om. I.
22. ἀλλὰ διὰ] διὰ om. I.
25. αὐτὴν om. I.
ib. οὐ ζῇ] οὐκ ἔστι I.
26. θανεῖν addidit Barnes.
ib. ὑπέρθου Barnes. pro ὑπὲρ οὗ.
29. ὂν] οὐ I. utrobique.

528. χωρὶς τό τ' εἶναι : κεχώρισται, φησὶ, τὸ εἶναι τοῦ μηκέτι εἶναι καὶ τοῦ ζῆν τὸ τεθνάναι.

530. τί κλαίεις : ἐπειδὴ ἀορίστως εἶπεν ὁ Ἄδμητος "θάπτειν τιν' ἐν τῇδ' ἡμέρᾳ μέλλω νεκρόν," εἶτα ἐπήγαγεν ὁ Ἡρακλῆς, μήτι ἡ Ἄλκηστις ἀπέθανε; φησὶν ὁ Ἄδμητος ὅτι λυποῦμαι καὶ δι' ἐκείνην μέλλουσαν τελευτᾶν. εἶτα ὁ Ἡρακλῆς, μὴ πρόκλαιε τὴν γυναῖκα. τίς δὲ ὅμως ὁ ἀποθανών; εἶτα ὁ Ἄδμητός φησιν ὅτι γυνή τις τέθνηκεν. περὶ γυναικὸς δὲ καὶ ἀρτίως ἐμνημόνευσε "θάπτειν τιν' ἐν τῇδ' ἡμέρᾳ μέλλω νεκρόν."

543. οἵ σ' εἰσάξομεν : εἰς οὓς εἰσιέναι σε δεῖ.

548. παρεῖναι : παρακεῖσθαι. B.

552. ξενοδοχεῖν : ξένους ὑποδέχεσθαι. B.

560. διψίαν : τὴν ἄνυδρον, ἢ πολυπαθῆ. ἡ γὰρ δίψα εἶδος ἐπιθυμίας.

566. ταμὰ δ' οὐκ ἐπίσταται : θαυμάζων τοῦ ἀνδρὸς τὸ φιλόξενον ταῦτα λέγει.

575. κλιτύων : τῶν πλαγίων καὶ ἀνακεκλιμένων ὀρῶν.

577. ποιμνίτας ὑμεναίους : ποιμενικὰς ᾠδὰς, δι' ὧν ἦγε τὰ βοσκήματα εἰς τὸ ἀλλήλοις μίγνυσθαι τῇ τῶν μελέων ἡδονῇ. B. Fl. 6. 15.

588. τοιγάρ : ὦ Ἄδμητε, διὰ τὸν Ἀπόλλωνα ἔχεις ἑστίαν πολυθρέμμονα. Θεσσαλίας δὲ λιμὴν πλησίον Φερῶν ἡ Βοιβία λέγεται καὶ Μεσσωνίς.

592. κνεφαίαν : τὸ ἑξῆς, κνεφαῖον αἰθέρα. Καὶ ἄλλως. κνεφαίαν τὴν δύσιν, ὅπου ὁ ἥλιος κατὰ κνέφας ἵστησι τοὺς ἵππους καὶ καταλύει.

3. θάπτειν] V. 513.
4. τιν'] τινὸς B. Fl. 6. 15. τινὰς I.
ib. ἐν τῇδ' ἡμέρᾳ] ταύτῃ δ' ἡμέρᾳ (?) Fl. 6. 15. αὕτη δ' ἡμέρα I.
ib. μέλλω om. B.
5. φησὶν ὁ B. φησὶ γὰρ ὁ I.
7. τίς δὲ Fl. τίς δ' I. τίς δὴ B.
ib. ὅμως ὁ] ὁ μὲν I.
ib. φησὶν ὅτι γυνή τις—νεκρόν] Sic B. Fl. 6. 15. φησὶ γυνὴ τὶς τεθνηκυῖα περὶ ἧς ἔλεγον θάπτειν τινὰ μέλλω νεκρός I.
15. φιλόξενον τ. λ. B. φιλοξενώτατον λ. τ. I.
17. τῶν π. καὶ ἀ. B. τῶν ἀ. καὶ π. I.
ib. ὀρῶν B. ὄρων (?) Fl. 6. 15. ὀργῶν I.
22. δὲ om. B.
ib. ἡ Βοιβία λέγεται] λέγεται λίμνη B.
26. καταλύει] Sequitur in B.I.

596. Πηλίου κρατύνει: κρατεῖ δὲ καὶ ἐπὶ τὴν Αἰγαίωνα ἀκτήν, τὴν πόντιον καὶ ἁλίμενον.

598. νοτερῷ: διύγρῳ, διὰ τὰ δάκρυα.

600. ἀρτιθανῆ: τὸν νεωστὶ ἐν τοῖς θανοῦσι γενόμενον νεκρὸν τῆς φιλίας ἁλόχου, τὸν ἀρτιθανῆ.

601. ἐν τοῖς ἀγαθοῖσι: πᾶν τὸ τῆς σοφίας ἔργον ἐν τοῖς ἀγαθοῖς ἐστιν.

608. ἄρδην: καλῶς κεῖται τὸ ἄρδην· γίνεται γὰρ ἀπὸ τοῦ αἴρειν. δηλοῖ δὲ τὸ φοράδην.

628. λύειν: ἀντὶ τοῦ λυσιτελεῖν. B. Fl. 6.

629. οὔτ' ἦλθες: οὔτ' ἐκάλεσά σε ἐλθεῖν ἐνταῦθα, οὔτε τὴν σὴν παρουσίαν ὡς φιλῶν * * ἀρνοῦμαι.

636. τοῦδε σώματος: ἑαυτὸν λέγει. I.

640. ἔδειξας: ὁποῖος εἶ ἔδειξας ἐλεγχθείς.

641. καί μ' οὐ νομίζω: ἐμαυτὸν ἀρνοῦμαι σὸς παῖς εἶναι.

642. πάντων: ἀντὶ τοῦ περὶ πάντας, ὡς τὸ "ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων."

643. κἀπὶ τέρμ' ἥκων: γέρων ὤν.

648. τόνδ' ἀγῶν': τὸ ἀποθανεῖν ὑπὲρ υἱοῦ.

651. ἔζην: ἀπὸ τοῦ ζῆμι, καὶ ὁ παρακείμενος ἔζην. B.

655. παῖς δ' ἦν ἐγώ σοι: διὰ τί οὖν ἐφιλοψύχησας, καίτοι ἀπολαύσας; ἀντὶ τοῦ ἦμην. οἱ γὰρ διάδοχον μὴ καταλιπόντες λυποῦνται μάλιστα.

658. οὐ μὴν ἐρεῖς γε: ὡς θανεῖν με προὔδωκας ἀτιμάζοντα τὸ σὸν γῆρας. τὸ γὰρ ἀτιμάζων ἀντὶ τοῦ ἀτιμάζοντα.

662. οὐκέτ' ἂν φθάνοις: ἀντὶ τοῦ οὐ φυτεύσεις· γέρων γὰρ εἶ.

τὴν αἰγαῖον (αἰγαῖαν I.) ἀκτήν: τὴν πόντιον καὶ ἁλίμενον. Quae ex scholio proximo sunt illata.

4. νεκρὸν Fl. 6. 15. τὸν νεκρὸν B.I.

6. πᾶν τὸ Barnes. πάντη B. πάντα I.

8, 9. ἄρδην—φοράδην om. B.

11. οὔτ' ἐκάλεσα scripsi pro οὐκ ἐκάλεσα.

12. φιλῶν * *] Lacunam animadvertit Barnesius, qui supplet ἀποδέχομαι, ἀλλ'.

13. ἑαυτὸν λέγει] τόνδε (ex v. 635.) praefixum in I.

16. ὡς τὸ] Hom. Il. 1, 287.

17. ἄλλων om. B.

21. διὰ τί—ἦμην] Haec ex B. Fl. 6. 15. addidi, praemisso lemmate.

22. οἱ γὰρ διάδοχον iidem. διάδοχος: οἱ γὰρ διάδοχοι I.

ὥστε, εἰ ἀπέθανον ἐγὼ, ἄπαις σὺ ἔμελλες εἶναι. Καὶ ἄλλως. οὐκ ἂν ἀναβάλλοιο σπείρων παῖδας, ἀντὶ τοῦ σπεῦσαι ὀφείλεις ταχέως σπεῖραι παῖδας γηροβοσκούς· ἐγὼ γὰρ οὐκέτ' εἰμὶ ὁ σός· ὃ καὶ ἄμεινον.

666. τέθνηκα γὰρ δὴ τοὐπὶ σ' : ὃς τὸ κατὰ σὲ τέθνηκα.

675. ὦ παῖ, τίνα αὐχεῖς κακοῖς ἐλαύνειν; πότερον Λυδὸν, ἢ Φρύγα ἀργυρώνητον σέθεν;

679. νεανίας λόγους : ἀντὶ τοῦ φορτικοὺς λόγους. B. Fl. 6.

680. οὕτως ἄπει : οὐκ ἄπει βαλὼν ἡμῖν τὰς ὕβρεις, ἀλλὰ καὶ ἀκούεις.

683. οὐ γὰρ πατρῷον : οὐ παρείληφα νόμον παρὰ τοῦ πατρὸς ὥστε ἀντὶ τῶν παίδων ἀποθνήσκειν.

693. τὸ δὲ ζῆν σμικρόν : πρὸς τὸ εἰρημένον ὑπὸ Ἀδμήτου ἀντίθεσις "βραχὺς δὲ σοὶ πάντως ὁ λοιπὸς ἦν βιώσιμος χρόνος."

696. ἀψυχίαν : ἀτολμίαν. B. Fl. 6.

699. σοφῶς : πανούργως. B. Fl. 6.

700. εἰ τὴν παροῦσαν : εἰ ἂς λήψῃ γυναῖκας πείσεις ὑπὲρ σοῦ ἀποθνήσκειν.

708. ὡς ἐμοῦ λέξαντος : λέγε ὡς καὶ ἐμοῦ κακῶς ἐλέγξαντος δι' ὧν οὐκ ἠθέλησας ὑπὲρ ἐμοῦ ἀποθανεῖν.

710. σοῦ δ' ἂν προθνήσκων : σοῦ δὴ ἂν καὶ ἐν συναλοιφῇ σοῦ δ' ἄν. ἐκτατέον οὖν τὸν ἄν. ὁ δὲ νοῦς, οὐ νῦν ἁμαρτάνω, ἀλλ' εἰ ὑπὲρ σοῦ ἀπέθνησκον. A.

711, 712. σὺ πρέσβυς, ἐγὼ νέος. καὶ σὺ μίαν ἔχων ψυχὴν οὐκ ὀφείλεις ὑπὲρ δυοῖν ζῆν.

713. καὶ μὴν Διός γε : καὶ ζήσειας μείζονα παρὰ τοῦ Διὸς

2. ἀναβάλλοιο B. Fl. 6. 15. ἀναβάλοιο I.
ib. σπείρων] σπείρειν Fl. 6. 15.
3. γηροβοσκοὺς] γηρωβοσκοὺς B.
6. Fortasse praefigendum τὸ ἑξῆς.
ib. κακοῖς] κακῶς I.
8. ἀντὶ τοῦ om. B., λόγους om. Fl. 6.
10. ἀκούεις] ἀκούσεις Heathius.
13. ὑπὸ] ὑπὲρ B. Fl. 6. 15.
14. βραχὺς] V. 649.
17. λήψῃ B. λήψεις I.
ib. πείσεις] πόσιν I.
19. λέγε et καὶ om. B.I.
20. ὑπὲρ ἐμοῦ Matth. pro ὑπ' ἐμοῦ.
21. σοῦ δὴ—δ' ἄν] Haec sunt etiam in B. Fl. 6. 15. sic scripta σοῦ δὴ ἂν καὶ συναλειφὴ (voluerunt συναλιφῇ) σοῦ δ' ἄν. In I. σοῦ δ' ἄν. καὶ οὐ συναλοιφῇ σοῦ δ' ἄν. Inepta autem est opinio grammatici : nam δέ particula hic requiritur, non δή.
ib. συναλοιφῇ] συναλιφῇ A.

χρόνον. ὁ γὰρ μήν καὶ ἄν παρέλκει. ἔζησας τοσοῦτον χρόνον ὅσον ἔχει ὁ Ζεύς. Λ.

716. ἀλλ' οὐ νεκρόν γε : σὺ, φησὶν, οὐκ-ἤρας τοῦ ζῆν ἑτέραν ἀντὶ τοῦ ἀποστέλλων. Ἄλλως. δι' ὧν ἕτερος ἀπέθανεν ὑπὲρ ἐμοῦ σοῦ μὴ θελήσαντος. Α.

718. οὗτοι πρὸς ἡμῶν : οὐ δυνήσῃ τοῦτο λέγειν, ὅτι ὑπὲρ ἡμῶν ἀπέθανεν. B.I.

719. εἶθ' ἀνδρὸς ἔλθοις : εἴθε χρείαν μου ἔσχες ἵνα σοι ὑπηρετήσω. Α. τοῦδε : ἐμοῦ, δεικτικῶς. B. Fl. 6. 15.

720. μνήστευε πολλάς : γυναῖκας δηλονότι, εἰς τὸ ἑτέρας ὑπὲρ ἐμοῦ ἀποθανεῖν. B. Fl. 6. 15.

722. τοῦ θεοῦ : τοῦ Ἡλίου φησί. B. Fl. 6.

723. κακὸν τὸ λῆμα : οὐκ ἀποθανοῦμαι ὑπὲρ σοῦ, ἵνα σύ με νεκρὸν κομίζων γελάσῃς. B.I.

726. κακῶς ἀκούειν οὐ μέλει θανόντι μοι : κἂν κακῶς με εἴπῃς ἀποθανόντα, οὐ φροντίζω τεθνηκὼς, ἀναίσθητος ὤν.

728. τήνδ' ἐφεῦρες ἄφρονα : τὴν Ἄλκηστιν ἄφρονα εὗρες διὰ τὸ τεθνηκέναι. Α.

731. κηδεσταῖς : γαμβροῖς. B. Fl. 6.

733. αἷμα : ἀντὶ τοῦ ὑπὲρ τοῦ αἵματος. B. Fl. 6.

734. ἔρρεις νυν αὐτός : φθείρου. εἶτα ἐξ ἑτέρας ἀρχῆς, καὶ αὐτὸς καὶ ἡ ξυνοικοῦσά σοι γηράσκετε ἄπαιδες ὡς ἐστὲ ἄξιοι καὶ ταῦτα ἐμοῦ ζῶντος. τινὲς δὲ ἔρρων γράφουσι σὺν τῷ ν, ἵνα ᾖ μετοχὴ ἀντὶ ῥήματος τοῦ ἔρρε. Α.

χὴ ξυνοικήσασά σοι : ἡ γαμετή σου, ἡ μήτηρ Ἀδμήτου. ἐγὼ γὰρ οὐκέτι εἰμὶ παῖς ὑμῶν. B.I.

737. εἰ δ' ἀπειπεῖν : εἰ δέον δὲ καὶ διὰ κηρύκων τὸν σὸν οἶκον ἀποκηρῦξαι, καὶ τοῦτο ποιήσω.

741. σχετλία τόλμης : καρτερικὴ τῆς τόλμης χάριν. B.

747. πολλοὺς μέν : θεράπων ὁ πρὸς ὑπηρεσίαν τῷ Ἡρακλεῖ

6. δυνήσει B. δύνασαι I.
10. εἰς τὸ ἑτέρας Matth. pro τὸ ἑτέρους.
16. ἀναίσθητος om. A.
26. ὑμῶν] ἡμῶν I.
27. δέον B. δεῖ I., om. A.
28. ἀποκηρύξαι B. Fl. 6. 15. ἐπικηρίξαι I. ἀπειπεῖν με A.
ib. ποιήσω] Addit A. τουτέστι ἀπαγορεῦσαι ὑπὸ κηρύκων ἀπηγόρευον οἷος οὐδὲ βούλεται τοῦ εἶναι πατήρ :—
30. τῷ Ἡρακλεῖ] τοῦ ἡρακλέους A.

δοθεὶς ἕξεισι δυσφορῶν ἐφ' οἷς ὁ Ἡρακλῆς πένθους προκειμένου οὐ κατησχύνετο οὕτως ἀναιδῶς καὶ στεφανῶν καὶ ἐσθίων.

753. οὔτι σωφρόνως : οὐκ εὐτάκτως. ᾤετο γὰρ ὁ θεράπων ἐγνωκέναι τὸν θάνατον τῆς Ἀλκήστιδος. B.I.

755. ὤτρυνεν φέρειν : οὕτως ἡμῖν ἐκέλευσε φέρειν τὰ ὄψα. τοῦτο δὲ ἀναιδοῦς ξένου. B.I.

756. ποτῆρα : ὅτι ἀρσενικῶς εἴρηται. Ἄλλως. τὸν ποτῆρα· διὸ τὸ χ. λέγεται δὲ καὶ ποτήριον ἀρσενικὸν οὐδαμῶς, ὑποκοριστικὸν δέ. ἐξηγήσατο δὲ τί ἐστι κισσύβιον εἰπὼν ποτῆρα κίσσινον.

757. μελαίνης μητρός : τῆς ἀμπέλου. ὁ γὰρ μέλας οἶνος ἰσχυρότερός ἐστι. B.I.

762. οὐδὲν προτιμῶν : οὐδὲν φροντίζων. B. Fl. 6.

768. οὐδ' ἐξέτεινα χεῖρ' : σεσημείωται ὅτι καὶ Αἰσχύλος ὡς γινόμενον τοῦτο συνίστησιν ἐν ταῖς Χοηφόροις, τὸ ἐκτείνειν τὰς χεῖρας. λέγει δὲ Ὀρέστης

οὐ γὰρ παρὼν ᾤμωξα σὸν, πάτερ, μόρον,
οὐδ' ἐξέτεινα χεῖρ' ἐπ' ἐκφορᾷ νεκροῦ.

Ἄλλως. οὐκ ἐξέτεινα, φησὶ, τὴν χεῖρα ἐν τῷ θρηνεῖν διὰ τὸ ἀσχοληθῆναι. ἔθος γὰρ ἦν ἐκτείνειν τὰς χεῖρας, ὅταν ἐκφορὰ νεκροῦ γίνηται. A.

773. σεμνόν : ἀλαζονείας μεστὸν, ἀλαζονικόν. A.

πεφροντικός : στυγνὸν, σκυθρωπόν. οἱ γὰρ φροντίζοντες σκυθρωπάζουσιν. Ἄλλως. φροντίδων μεστὸν, πολυμέριμνον τὸ βλέμμα καὶ τὸ πρόσωπον ἔχεις. A.

1. ἕξεισι—καὶ ἐσθίων] Sic haec redintegrata ex A. In B. Fl. 6. 15. et I. est ἕξεισι ἐφ' ᾧ ὁ ἡρακλῆς πένθους προκειμένου καὶ οὐκ ἠσχύνετο οὕτω ἀναιδῶς ἐσθίων καὶ στεφάνῳ τὴν κεφαλὴν ὑπερβῆναι.

3. οὐκ εὐτάκτως] ἐκφορὰν μαθών add. I., omittit B. in quo οὐκ εὐτάκτως gl. est interlineare, in margine vero scholion ᾤετο γὰρ etc.

7. ὅτι—ὑποκοριστικὸν δέ A. τὸν ποτῆρα. διὸ λέγεται καὶ ποτήριον ὑποκοριστικῶς B. Fl. 6. 15. I.

9. κισσύβιον] κισύμβιον A.

10. ἰσχυρότερος] Fort. ἰσχυρότατος.

12. οὐδὲν φ.] οὐδὲν om. Fl. 6.

14. Χοηφόροις] In parte prologi perdita.

17. ἐκφορᾷ] Sic A., non ἐκφορὰν, quod ei tribuit Cobetus.

21. σεμνόν] ἄλλως A. in quo haec leguntur infra post πρόσωπον ἔχεις.

ib. ἀλαζονείας] Sic etiam B.I.

22. Ἄλλως addidi. In A. lemma est repetitum πεφροντικός.

ib. φροντίζοντες] φροντίζουσι A.

778. θυραίου πήματος : σπουδάζων εἰς ἀλλότριον πένθος· ἐνόμιζε γὰρ ἔτι ὅτι ξένη ἦν ἡ ἀποθανοῦσα.

780. τὰ θνητὰ : οὐκ εὐλόγως τὸν πράγματ' Ἡρακλέα εἰσήγαγε φιλοσοφοῦντα ἐν μέθῃ, ὃν ἔδει καὶ ἄλλου φιλοσοφοῦντος διαπαίζειν.

786. κἄστ' οὐ διδακτόν : οὔτε διὰ διδαχῆς οὔτε διὰ τέχνης ἔστι μαθεῖν τὸ ἀποβαῖνον. B. Fl. 6. 15. διὰ τὸ εἶναί σε δοῦλον οὐκ οἶδας. B.

789. τὰ δ' ἄλλα : τὰ ἐπιόντα. B.

795. πίει : πιόμαι πίῃ, ὡς πλέομαι πλεῖ. B. τύχας : γράφεται πύλας, ἵν' ᾖ ὑπερβὰς τὰς πύλας· εἰ δὲ τύχας, καταφρονήσας.

796. πυκασθείς : κοσμηθείς. Fl. 2.

798. μεθορμιεῖ σε : μεταστήσει σε εἰς ἕτερα ἡ συνεχὴς περιφορὰ καὶ ὁρμὴ τοῦ ποτηρίου. οὐκέτι γὰρ δακρύσεις ἐὰν πίῃς.

πίτυλος : ὁ κτύπος. A. προσβολή. Fl. 2.

800. ὡς τοῖς γε σεμνοῖς : τοῖς καταστύγνοις οὐκ ἔστι βίος ὁ βίος, ἀλλὰ λύπη, ὡς ἐμοὶ καταφαίνεται κρίνοντι. A.

801. ὥς γ' ἐμοί : ὡς ἐμοὶ καταφαίνεται κρίνοντι. B.I.

804. οὐχ οἷα : προσυπακουστέον τὸ τοιαῦτα, νῦν δὲ οὐ πράσσομεν τοιαῦτα.

807. κατοΐσθα : οὐ προπαροξύνεται τὸ κατοΐσθα. A.

808. δεσπότης ἐψεύσατο : οὐδεὶς τῶν ἐνταῦθα ἀπέθανεν, εἰ μὴ ἐπλάνησέ με ὁ Ἄδμητος. A. οὐδεὶς τέθνηκεν, εἰ μὴ ὁ σός με δεσπότης ἐψεύσατο. B.I.

810. οὐ χρῆν : εὐπαθεῖν ὑπὲρ ξένου νεκροῦ. B.I.

811. ᾗ κάρτα : οὐκ ἦν ξένη, ἀλλὰ πάνυ οἰκεία. B.I.

2. γὰρ ἔτι om. A.

3. οὐκ εὐλόγως A. οὐ λόγῳ B.I.

ib. Ἡρακλέα] ἥρωα I.

10. γράφεται (γρ. B.)] γὰρ I. In A. ὑπερβαλὼν τύχας, ἵν' ᾖ τὰς πύλας· εἰ δὲ τὰς τύχας, καταφρονήσας.

11. ὑπερβὰς Barnes. pro ἀποβάς.

14. εἰς ἕτερα—τοῦ A. τοῦ κλαίειν ἡ συνεχὴς φορὰ τοῦ B.I.

20. οὐχ οἷα] In I. lemma ἐπιστάμεθα ταῦτα (ex v. 803.), nullum in B.

ib. προσυπακουστέον] νῦν δὲ προσυπακουστέον A.

ib. τὸ τ. A. τὰ τ. B.I.

ib. νῦν δὲ οὐ Matth. pro οὐ νῦν δέ.

27. πάνυ οἰκεία] πανοικεία I.

817. οὐκ ἦλθες ἐν δέοντι : οὐκ ἐν δέοντι ἦλθες καιρῷ. B.I.

820. μῶν ἢ τέκνων τι φροῦδον : ἆρα, φησὶν, ἀφανὴς ἐγένετο τις τῶν παίδων, ἢ ὁ γέρων πατὴρ ἀπέθανεν, ταῦτα δὲ τὰ τρία ἔν τισιν οὐκ ἔγκειται. A.

824. σχέτλιε : ἄθλιε Ἄδμητε. B.I.

826. δακρυρροοῦν : τοῦ Ἀδμήτου ἰδὼν τὸ ὄμμα δακρῦον. B.I.

829. βίᾳ δὲ θυμοῦ : βιασθεὶς δὲ καὶ ἀναγκασθεὶς ὑπ' ἐκείνου πράσσοντος οὕτως, ἀτυχοῦντος. B.I.

832. ἀλλὰ σοῦ τὸ μὴ φράσαι : συντέτμηκε τὴν ἑρμηνείαν. βούλεται γὰρ εἰπεῖν, ἀλλὰ σοῦ τὸ ἁμάρτημα τὸ μὴ εἰπεῖν τὸ ἀληθές. A.

832. ἀλλὰ σοῦ τὸ μὴ φράσαι : ἀλλὰ σοῦ τὸ ἁμάρτημα τὸ μὴ εἰπεῖν ἀληθὲς ἐπὶ τοῦ θάπτοντος, τοῦ Ἀδμήτου. B.I.

835. ὀρθὴν παρ' οἶμον : πόλις Θεσσαλίας πλησίον Φερῶν. λέγει δὲ ὀρθὴν βαδίζειν τὴν ὁδὸν, οἷον πᾶσαν ὁδὸν ὅπου ἐπὶ τὴν Λάρισσαν φέρει ἐκτὸς τοῦ προαστείου. A. ὀρθήν : βαδίζων τὴν ὁδόν. B.I.

838. Τιρυνθία : Τίρυνθος πόλις Ἄργους. ἡ γὰρ Ἀλκμήνη ἀπὸ Τίρυνθός ἐστιν. A.

843. μελάμπεπλον : εἰδωλοποιεῖται μελαίνας πτέρυγας ἔχων ὁ Θάνατος. B.I.

844. φυλάξω : ἐπιτηρήσω. B.

845. πίνοντα τύμβου : προσδοκῶ αὐτὸν εὑρεῖν πλησίον τοῦ τύμβου πίνοντα τῶν προσφαγμάτων.

846. κἄνπερ λοχήσας : γράφεται λοχείας. λοχᾶν γὰρ αὐτὸν θέλει ὁ Ἡρακλῆς κρυφθείς. A.

847. περιβαλών : καὶ περιβαλὼν αὐτῷ κύκλον. B.I.

849. μογοῦντα πλευρά : κατὰ πλευρὰν μογοῦντα. B.I.

850. ἦν δ' οὖν ἁμάρτω : ἐὰν δὲ μὴ εὕρω αὐτὸν πλησίον τοῦ τάφου πίνοντα τὸ αἷμα, εἰς τοὺς δόμους τῆς Κόρης καὶ τοῦ βασιλέως πάντων Πλούτωνος.

8. πράσσοντος οὕτως om. B.
12. σοῦ τὸ] τοῦτο I.
13. Ἀδμήτου] ἀδμήτου τὸ νῦν :—B.
24. λοχείας] λοχίας A.
28. ἐὰν δὲ—τὸ αἷμα] Haec tantum verba habet A.
30. Πλούτωνος] εἶμι addit Barnes.

851. πέλανον : καὶ νῦν τὴν ῥύσιν τοῦ αἵματος. τὸν πέλανον δὲ ἐπὶ τῆς θυσίας φησί.

857. ἔκρυπτε : τὸ πένθος ἔκρυπτε. B.I.

859. τοιγὰρ οὐκ ἐρεῖ : αὐτὸς ὁ Ἄδμητος εὐγενὴς ὢν οὐ λέξει εὐεργετῆσαι κακὸν καὶ ἀτελῆ ἄνδρα, τουτέστιν ἐμέ. ἀντισάζω γὰρ αὐτῷ τὰς χάριτας τῆς ξενοδοχίας. A. καὶ οὐκ ἂν εἴποι με ἀγνώμονα ξένον. B.I.

861. ἰὼ, στυγναὶ πρόσοδοι : ἀντὶ τοῦ εἴσοδοι. ἔρχεται ὁ Ἄδμητος ἀπὸ τοῦ τύμβου καὶ οὐ τολμᾷ εἰσιέναι. B.I.

864. ποῖ : εἰς τίνα τόπον, ἢ ἐν τίνι τόπῳ ; B. Fl. 6. 15.

867. ζηλῶ : μακαρίζω. B.I.

870. ὅμηρον : τοιοῦτον ἐνέχυρον ὑπὲρ ἐμοῦ, ἵνα κἀγὼ ἀποθάνω. λυπούμενος γὰρ δι' αὐτὴν ἀπόλλυμαι. A. Ἄλλως. ἐνέχυρον. τοῦ δὲ ζῆν φησιν ὅμηρον αὐτοῦ γεγονέναι τὴν Ἄλκηστιν· ἀντὶ γὰρ αὐτοῦ δέδοται τῷ Ἅιδῃ. A.I.

878. ἔμνησας : τούτου με ὑπέμνησας, τοῦ ἑλκώσαντος καὶ λυπήσαντος τὴν ψυχήν. λέγει δὲ τῆς γυναικός.

879. ἁμαρτεῖν : τὸ ἀποτυχεῖν. ἡ μεταφορὰ ἀπὸ τοῦ ἁμαρτάνειν τοῦ σκοποῦ.

881. ὄφελον : εὐχῆς σημαντικόν. B.I.

883. μία γὰρ ψυχή : οὐδὲν γὰρ τὸ ὑπὲρ μιᾶς ἀλγεῖν ψυχῆς, οἷον ὁ ἄγαμος. A.

886. κεραϊζομένας : καταφθειρομένας. ἡ μεταφορὰ ἀπὸ τῶν τοῖς κέρασιν ἀμυνομένων ζώων. A.

887. ἐξὸν ἀτέκνους : ἐξὸν εἶναι καὶ ἀγάμους καὶ ἀτέκνους. B.I.

888. δυσπάλαιστος : δυσκαταγώνιστός σοι, ὦ Ἄδμητε, ἡ ἀτυχία ἦλθεν.

1. καὶ νῦν om. B. I.
ib. τὸν] Ἄλλως praefixit Matth. "Duo scholia esse etiam ex eo patet, quod, quum Florr. 6. 15. totum habeant, Flor. 2. priorem tantum partem exhibet, πέλ. νῦν τὴν ῥύσιν τοῦ αἵματος." MATTH.
2. θυσίας Matth. pro οὐσίας.
8. ἀντὶ τοῦ om. B.
13. Ἄλλως om. I.
14. φησὶν] φασὶν I.
16. τούτου A. τοῦτο B.I.
ib. τοῦ ἑλκώσαντος — γυναικός A. ὅ μου τὰς φρένας ἐλύπησεν B.I.
18. τὸ om. I.
20. σημαντικόν] ὄφελον add. B.
26. ὦ Ἄδμητε ante δυσκαταγώνιστος B. In A. est σοὶ, ὦ ἄδμητε, τύχη δ. ἦλθεν.

891. *βαρέα μέν* : *ἃ μὲν πέπονθας βαρέα ἐστίν, ὅμως δὲ φέρε αὐτά.*

897. *τί μ' ἐκώλυσας* : *διὰ τί με ἐκώλυσας ῥῖψαι ἐμαυτὸν τῷ τάφῳ τῆς γυναικός ; πρὸς τὸν χορόν φησιν. ἦν γὰρ ὁ χορὸς μετ' αὐτοῦ. δύναται γὰρ ὁ χορὸς ἐξίστασθαι τῆς σκηνῆς, ὡς καὶ ἐν Αἴαντι μαστιγοφόρῳ.* A.

900. *δύο—ψυχάς* : *τὴν ἐμὴν ψυχὴν καὶ τὴν ἐκείνου.* B.

902. *χθονίαν λίμναν* : *τὴν Ἀορνόν φησι.* B.I.

διαβάντε : *διαβάσας ἔδει εἰπεῖν. πρὸς τὸ σημαινόμενον ὃ οὖν ἀπηντήσαμεν.* B.I.

903. *ἐμοί τις ἦν ἐν γένει* : *παραμυθεῖται αὐτὸν ὁ χορός· ἐμοί τις τῶν ἐν γένει, ᾧ νεανίας ἀπέθανεν ἄξιος τοῦ θρηνεῖσθαι διὰ τὸ μονογενὴς εἶναι, ἀλλ' ὅμως ἐκαρτέρουν.* A.

907. *ἄλις, ἄτεκνος* : *παντελῶς ἄτεκνος ὤν. ἀλλ' ἰδίως τὸ ἄλις τέταχεν ἐπὶ τοῦ μετρίως, μετρίως ἔφερε τὸ κακὸν, καίπερ ἄτεκνος ὤν.*

908. *πολιὰς ἐπὶ χαίτας* : *τινὲς εἰς τὸ χαίτας στίζουσι. τὸ δὲ προπετὴς πρεσβύτερος. τῷ ὄντι γὰρ οἱ γέροντες προπετεῖς εἰσιν ἐπὶ πρόσωπον φερόμενοι.* A.

909. *ἤδη προπετὴς ὤν* : *ἤδη προνενευκὼς ἐπὶ τὰς πολιὰς χαίτας, καὶ πρόσω τοῦ βίου ὢν, ὅ ἐστιν ἤδη προβεβηκὼς τῇ ἡλικίᾳ.*

914. *τὸ μέσον* : *τὸ διάφορον τῆς νῦν τύχης καὶ τῆς παλαιᾶς.* B.I.

915. *τότε μὲν πεύκαις* : *μετὰ λαμπάδων ἀπὸ Πηλίου τμηθεισῶν. τότε μὲν, φησὶ, μετὰ γυναικῶν ᾀσμάτων καὶ σὺν λαμπάσι ταῖς ἀπὸ*

1. ὅμως δὲ om. B.I.
ib. φέρε αὐτά Barnes. φέρεται B. Fl. 6. 15. φέρετε I.
ib. αὐτά om. A.
5. Αἴαντι μαστιγοφόρῳ] Respicit ad v. 813. ubi chorus scenam relinquit Ajacem investigaturus.
8. φησί B. λέγει I.
9. πρὸς τὸ—ἀπηντήσαμεν] Fort. πρὸς τὸ σημαινόμενον οὖν ἀπήντησεν, nisi scholion mutilum est.
14. ἄλις ἄτεκνος] Lemma in codicibus nullum, in I. μονόπαις.
ib. ἄτεκνος ὤν] ἄτεκνος. ἄτεκνος ὢν I. Verba παντελῶς ἄτεκνος ὤν om. A.
15. μετρίως ἔφερε τὸ κ. A. ἔφερε τὸ κ. μετρίως B.I.
17. Ἄλλως praefixum in A. in quo praecedit scholion proximum.
20. ἤδη προπετὴς ὤν A. βιότου τε πρόσω B.I.
ib. ἐπὶ—βίου ὤν] ἐπὶ πρόσω περ βίου πολιᾶς χαίτης A.
21. τῇ ἡλικίᾳ] τὴν ἡλικίαν A.

Πηλίου ὄρους τεμνομέναις εἰς τὸν οἶκον ἐπορευόμην τὴν χεῖρα τῆς γαμετῆς ἔχων. A.

917. φιλίας ἀλόχου : γράφεται πιστῆς. A.

918. πολυάχητος : πολυβόητος. B. Fl. 6. 15.

εἵπετο κῶμος : συνηκολούθει καὶ παρ' ὁρισμὸν καὶ ἐμακάριζον ἡμᾶς ὡς ἐσμὲν εὐγενεῖς. A.

920. εὐπατρίδαι : ὄντες ἀπ' ἀμφοτέρων τῶν γονέων εὐπατρίδαι.

922. νῦν δ' ὑμεναίων : νῦν δὲ ἀντὶ γαμικῶν ᾀσμάτων θρῆνος ἀντικείμενος. A.

923. λευκῶν τε πέπλων : ἀπὸ κοινοῦ ἀντίπαλος. B. Fl. 6. 15.

926. παρ' εὐτυχῆ σοι : παρὰ τὸν εὐτυχῆ σοι πότμον τοῦτο τὸ ἄλγος ἦλθεν, ἀντὶ τοῦ εὐτυχοῦντί σοι τοῦτο συμβέβηκεν.

930. ἔθανε δάμαρ : λέγεις, φησὶν, ὅτι ἀπέθανεν ἡ γυνὴ καὶ κατέλιπε τὴν ἐμὴν φιλίαν· διὸ ἀλγῶ. καὶ τί ξένον ; πολλοὶ τὰς γυναῖκας ἀπώλεσαν. A.

936. οὐ δοκοῦνθ' ὅμως : διὰ τὸ τεθνηκέναι. B. Fl. 6. 15.

939. παρεὶς τὸ μόρσιμον : τὸ εἱμαρμένον ὑπερβάς. B. Fl. 6. 15.

942. τίν' ἂν προσειπών : ὑπὸ τίνος προσαγορευθείς· ὡς ἔθους ὄντος προσαγορεύειν τὸν εἰσιόντα. A.

946. θρόνους τ' : ὅταν γὰρ ἐσίδω κενοὺς δηλονότι. ἀπὸ κοινοῦ τὸ εὖτ' ἂν εἰσίδω. B. Fl. 6. 15.

947. ἀμφὶ γούνασι : τοῖς ἐμοῖς. B. Fl. 6. 15.

948. οἱ δέ : οἱ οἰκέται. B. Fl. 6. 15.

951. γάμοι τ' ἐλῶσι : οἱ ἔχοντες βίον ἐν ἀσφαλείᾳ σωζόμενοι. B. Fl. 6. 15.

955. ἰδοῦ : ὅρα, ἴδε. τῇ προσῳδίᾳ ὡς γενοῦ· εἰ δὲ ἀπ' ἄλλου ἤθους, ἰδού. A.

956. ἀψυχίᾳ : δειλίᾳ. B.

958. στυγεῖ δὲ τοὺς τεκόντας : δι' ὧν ὕβρισεν αὐτοῦ τὸν πατέρα. B.I.

962. ἐγὼ καὶ διὰ μούσας : ὁ ποιητὴς διὰ τοῦ προσώπου τοῦ

4. Lemma πολυάχητος est in I., sed gl. πολυβόητος excidit.

10. ἀπὸ κοινοῦ post ἀντίπαλος B.

20. κενοὺς Matth. pro κενάς.

22. ἀμφὶ γούνασι : τοῖς ἐμοῖς Matth. pro τοῖς ἐμοῖς γούνασι.

26. ἴδε—γενοῦ scripsi pro εἰ δέ—γένου.

χοροῦ βούλεται δεῖξαι ὅσον μετέσχε τῆς παιδεύσεως. καὶ περὶ μετεώρων ἐφρόντισα, οἷον ἠστρολόγησα, καὶ ὁρμὴν ἐπὶ τούτῳ ἔσχον.

965. κρεῖσσον οὐδὲν ἀνάγκας: ἐπικρατέστερον, δυνατώτερον. καὶ Ὅμηρος "κρείσσων γὰρ βασιλεύς."

968. Ὀρφεία κατέγραψε: καὶ ποιητὴς καὶ μάντις ἦν ὁ Ὀρφεύς. Φιλόχορος ἐν πρώτῳ περὶ μαντικῆς ἐκτίθησιν αὐτοῦ ποιήματα ἔχοντα οὕτως·

οὗτοι ἀριστερός εἰμι θεοπροπίας ἀποειπεῖν,
ἀλλά μοι ἐν στήθεσσιν ἀληθεύουσι μέλαινα.

ὁ δὲ φυσικὸς Ἡράκλειτος εἶναι ὄντως φησὶ σανίδας τινὰς Ὀρφέως γράφων οὕτως "τὸ δὲ τοῦ Διονύσου κατεσκεύασται ἐπὶ τῆς Θράκης, ἐπὶ τοῦ καλουμένου Αἵμου, ὅπου δή τινας ἐν σανίσιν ἀναγραφὰς εἶναί φασιν." A. πρῶτος Ὀρφεὺς μυστήρια θεῶν παραδέδωκεν, ὅθεν καὶ θρησκεία τὸ μυστήριον καλεῖται ἀπὸ τοῦ Θρᾳκὸς Ὀρφέως. A.B.I.

970. οὐδ' ὅσα Φοῖβος: ἀναγνοὺς δὲ καὶ τὰ τοῦ Φοίβου ἰατρικὰ οὐδὲν ἀνάγκης μεῖζον εὗρον. A.

971. ἀντιτεμών: εὑρών· μεταφορικῶς ἀπὸ τῶν τὰς ῥίζας τεμνόντων καὶ εὑρισκόντων.

978. καὶ γὰρ Ζεὺς ὅ τι νεύσῃ: τοῦτο ἀναγκαστικώτατα πράττει. οἷον καὶ Ζεὺς ὑπόκειται τῷ τῆς ἀνάγκης ζυγῷ, ἀφ' οὗ ἐπένευσέ τινι. καὶ Ὅμηρος

2. τούτῳ] τοῦτο A.
4. Ὅμηρος] Il. 1, 80.
6. αὐτοῦ] αὐτῷ A.
8. οὗτοι] οὔ τι Fl. 6.
ib. θεοπροπίας] θεοπροπίας. ἅστινας κατέγραψε σανίδας B. Fl. 6. 15. I., reliquis omnibus, quae A. servavit, omissis. Illa ἅστινας—σανίδας spectant ad verba σανίσιν, τὰς Ὀρφεία κατέγραψεν.
9. μέλαινα] μέριμναι Cobetus.
10. Ἡράκλειτος Cobetus pro ἡρακλείδης.
13. εἶναί φασιν] Apparet excidisse ἃς κατέγραψεν Ὀρφεύς vel simile quid. COBET.
ib. πρῶτος—Θρᾳκὸς Ὀρφέως] Haec in B.I. initio scholii posita sunt. Tum sequitur, καὶ ἄλλως. καὶ ποιητὴς καὶ μάντις ἦν—κατέγραψε σανίδας.
ib. θεῶν] εἶναι A.
14. θρησκεία] θρησκείας I.
18. εὑρὼν om. I.
20. οἷον καὶ B. καὶ γὰρ I.
21. ἐπένευσε Heathius pro ἐπινεύσει.
ib. καὶ Ὅμηρος (Il. 1, 526.) huc transposuit Barnes. In B. ὅμηρος post οἷον καὶ legitur, in I. καὶ ὅμηρος. καὶ γὰρ—. In A. est καὶ ὅμηρος ζεὺς —ἐπινεύσει τινί. οὐ γὰρ ἐμὸν etc. unde conjici potest καὶ ὁ Ὁμηρικὸς Ζεὺς etc.

οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ' ἀπατηλόν,
οὐδ' ἀτελεύτητον, ὅ τι κεν κεφαλῇ κατανεύσω.

980. καὶ τὸν ἐν Χαλύβοις: Χάλυβες ἔθνος τοῦ Πόντου, ἔνθα σιδηρᾶ μέταλλά ἐστιν.

981. ἀποτόμου λήματος: τοῦ σκληροῦ σου φρονήματος. B.I.

984. καὶ σ' ἐν ἀφύκτοις: καὶ σοῦ οὖν περιγέγονεν ἡ ἀνάγκη, ὦ Ἄδμητε, ἐν ἀλύτοις δεσμοῖς.

988. καὶ θεῶν σκότιοι: οἱ μὴ γνήσιοι ὄντες τῶν θεῶν παῖδες ἀποθνήσκουσιν, οἱ μὴ ὄντες ἐξ ἀμφοτέρων θεῶν. A. Ἄλλως. οἱ λαθραῖοι παῖδες καὶ ἐξ ἀδαδουχήτων γάμων γενόμενοι. Ὅμηρος "σκότιον δὲ σὲ γείνατο μήτηρ." τούτους καὶ Ῥόδιοι ματροξένους καλοῦσιν. Κρῆτες δὲ τοὺς ἀνήβους σκοτίους λέγουσι.

994. κλισίαις: νῦν ἐν τοῖς οἴκοις. B. Fl. 6.

996. μηδὲ νεκρῶν: μὴ νομιζέσθω ὁ τάφος τῆς σῆς γυναικὸς ὡς τῶν ἀποθανόντων νεκρῶν, ἀλλ' ἐξ ἴσου τοῖς θεοῖς τιμάσθω. A. χῶμα νομιζέσθω: τὸ ἐπιχεόμενον τοῖς νεκροῖς. ἀπὸ δὲ τούτου τὸν τάφον φησὶν, ὃς οὐ κληθήσεται τάφος, ἀλλὰ θεοῦ τινος ναός.

1000. ἐμπόρων: ὁδοιπόρων. B. Fl. 15.

1001. δοχμίαν κέλευθον: ἐκ πλαγίου τοῦ τάφου πορευόμενος. B.I.

1002. προὔθανεν ἀνδρός: ἀντὶ τοῦ ὑπὲρ τοῦ ἀνδρὸς ἀπέθανεν. B. Fl. 6.

1009. μομφάς: οὐ χρὴ τὸν φίλον τὰς μέμψεις τῶν φίλων κρύπτειν πρὸς τοὺς φίλους.

1011. ἐγγὺς παρεστώς: ἐγγὺς παρεστὼς τῶν σῶν κακῶν ἄξιον ἐμαυτὸν ἐνόμιζον ἀριθμεῖσθαι τῶν σῶν φίλων.

2. ὅ τι] ὅττι B.
ib. κεφαλῇ] κεφαλὴ B.
ib. κατανεύσω] ἰσχύει οὖν μεγάλα addit A.
3. Χαλύβοις scripsi pro Χαλύβῳ. In A. χάλυ, est. Lemma om. B.
4. ἐστιν] εἰσί I.
5. σου] σοι I.
7. ἀλύτοις A. ἀφύκτοις B.I.
9. Ἄλλως addidi ex A.
10. καὶ om. B.I.
ib. Ὅμηρος] Il. 16, 24. (ubi δέ ἑ) Ὅμηρος—μήτηρ om. A.
11. ματροξένους Alberti ad Hesych. vol. 2. p. 549. μητροξένους A. μαστροξένους B.I.
17. τάφος, ἀλλὰ A. τύμβος, ἀλλὰ καὶ B.I.
21. ἀντὶ τοῦ om. B.
ib. ἀπέθανεν om. Fl. 6.
23. φίλον—φίλους A. φίλον τοὺς φίλους ἀποκρύπτειν τὰς μέμψεις. B.I.
26. τῶν σῶν φίλων A. ὡς φίλοι B.I.

1023. πράξας δ' ὃ μὴ τύχοιμι: ἐὰν δὲ συμβῇ μοι ἀποθανεῖν, ὅπερ μὴ γένοιτο, δίδωμί σοι ταύτην δούλην.

πράξας δέ: λείπει κακῶς. Ἄλλως. οὐκ ἂν, φησὶν, ἃ μὴ θέλω πράξω· καὶ γὰρ ἐλπίζω ἐπανελθεῖν. δίδωμί σοι ταύτην δούλην ἔχειν. A.

1025. πολλῷ δὲ μόχθῳ: σὺν πολλῇ ταλαιπωρίᾳ. B.I.

1026. ἀγῶνα γάρ: αἰνίττεται τὸν εἰς τὸν θάνατον ἀγῶνα, ὃν νικήσας ἀνήγαγε τὴν Ἄλκηστιν.

1029. τὰ μὲν γὰρ κοῦφα: τὰ μὲν γὰρ κοῦφα ἀγωνίσματα, οἷον δρόμοι, ἡνιοχεῖαι, τὰ περὶ ταχύτητος καὶ κουφότητος, ἀντὶ τοῦ οἱ κούφως ἀγωνιζόμενοι ἵππους ἐλάμβανον. A.

1030. τοῖσι δ' αὖ τὰ μείζονα: τοῖς δὲ νικῶσι τὰ μείζονα, ἢ γυμνὴν, ἢ πάλην, ἀγέλη βοῶν ἐδίδοτο καὶ γυνή. A.

1032. ἐντυχόντι δέ: ἐπειδὴ ἔτυχον ἐκεῖσε, τὸ μὲν κερδαίνειν αὐτὴν εὐκλεὲς ἡγησάμην, τὸ δὲ ἐᾶσαι αἰσχρόν.

1033. παρεῖναι: παραπέμψασθαι. ἴημι ἰέναι καὶ κράσει ἶναι. A.

1037. οὗτοι σ' ἀτιμάζω: οὐ διὰ τοῦτο σὲ ἔκρυψα τὸ πένθος, ἀτιμάσαι σε βουλόμενος.

1039. ἀλλ' ἄλγος ἄλγει: τοῦτο λύπη πρὸς τῇ λύπῃ ἦν, εἰ πρὸς ἄλλον τινὰ ἀπήεις ξενισθησόμενος. A.

1041. ἄλις δέ: ἤρκει τὸ ἐμὲ κλαίειν τὸ ἐμὸν κακόν. τίς χρεία καὶ σὲ παρόντα;

1042. εἴ πως: εἰ ἔστι δὲ δυνατὸν, παρακαλῶ σε, τὴν γυναῖκα ταύτην ἄλλον κέλευσον λαβεῖν Θεσσαλῶν, ὅστις οὐ πέπονθεν οἷα ἐγώ.

1049. ποῦ καὶ τρέφοιτ' ἄν: πῶς δύναται μεταξὺ ὄχλου νέα οὖσα τρέφεσθαι; A.

1050. νέα γάρ, ὡς ἐσθῆτι: καὶ γὰρ νέα φαίνεται ὡς ἐκ τῆς ἐσθῆτος· ἦν γὰρ περικεκαλυμμένη. A.

1. συμβῇ μοι A. συμβῇ με B. μοι συμβῇ I.
2. δούλην A. δούλην. παθὼν ὃ μὴ γένοιτο τυχεῖν B.I.
7. τὸν εἰς τὸν θάνατον A. εἰς τὸν τοῦ θανάτου B.I.
ib. ὃν] εἰς ὃν A.
8. νικήσας ἀνήγαγε] νικήσασαν (νικήσασα Fl. 15.) ἤγαγε B. Fl. 6. 15. I.
15. εὐκλεὲς A. εὐκλεῶς B.I.
16. παρεῖναι] παρίναι A.
17. πένθος A. πάθος τῆς γυναικὸς B.I.
18. σε om. A.
20. ἀπήεις scripsi pro ἀπείης.
21. ἤρκει] ἠρκεῖ (sic) B. Fl. 6. 15. ἀρκεῖ I.
23. τὴν γ. ταύτην ἄλλον κέλευσον A. ταύτην τὴν γ. ἄλλον κέλευε B.I.

1052. καὶ πῶς ἀκραιφνής: καθαρὰ ἀνδρῶν, οἷον καὶ πῶς ἄφθορος ἀνδρῶν εἶη ἐν νέοις στρεφομένη;

1054. ἐγὼ δέ σου προμηθίαν ἔχω: ἐγὼ δέ σου πρόνοιαν ἔχω μή ποτε συμβῇ τι παθεῖν ὑπὸ τῶν νεῶν. A.

προμηθίαν: εὐλάβειαν, φόβον. Fl. 2.

1055. ἢ τῆς θανούσης: ἀλλ' ἐρεῖς, εἰς τὸν τῆς τεθνηκυίας θάλαμον εἴσφερε αὐτήν. καὶ πῶς οὐκ ἄτοπον τοῦτο;

1057. ἔκ τε δημοτῶν: καὶ τῶν δημοτῶν, καὶ τοῦ δήμου καὶ τῆς γυναικός. οὐκοῦν διπλῆ μέμψις.

1060. ἀξία δ' ἐμοί: παρ' ἐμοῦ τιμᾶσθαι ἡ Ἄλκηστις ἀξία ἐστί.

1063. μορφῆς μέτρ' ἴσθι: προσεοικὸς γὰρ ἔχει τὸ αἴθυγμα ἐκείνης τῆς μορφῆς B.I.

προσήϊξαι: ὥρμησαι. Fl. 2.

1065. ἕλῃς: φονεύσῃς, κρατήσῃς. Fl. 2.

1067. θολοῖ: οὐκ ἐᾷ καθαρὰν εἶναι τὴν καρδίαν, ἀναταράττει καὶ ἀναβάλλει. A. ταράττει, ἀπὸ τοῦ θόλου τῆς σηπίας, ἣ μέλλουσα ἀγρευθῆναι τοῦτον προΐεται ὑπὲρ τοῦ σκοτίσαι τοὺς ἀγρεύοντας.

1070. οὐκ ἔχοιμ' ἂν εὖ λέγειν: οὐ δύναμαί σοι λέγειν ὅτι εὐτυχὴς εἶ. A.

1071. καρτερεῖν θεοῦ δόσιν: τὴν μοῖραν. τινὲς δὲ τὴν διδομένην σοι γυναῖκα παρὰ Ἡρακλέους· οὐ καλῶς. A.B. Fl. 6. 15.

1075. σάφ' οἶδα: κἀγὼ οἶδα ὅτι ἤθελές μοι συνεργεῖν.

1077. μή νυν ὑπέρβαλ': μὴ νῦν ὑπερβαλλόντως φέρε, ἀλλ' ἐναισίμως. A. ἀλλ' ἐναισίμως: ἀλλὰ καθηκόντως φέρε.

1078. ἢ παθόντα: ὡς νῦν ῥᾳδίως παραινεῖς. B.I.

1080. ἔρως: τοῦ θρηνεῖν. B.I.

1. καθαρὰ ἀνδρῶν, οἷον om. B.I.
7. αὐτήν A. ταύτην B.I.
8. καὶ τῶν—μέμψις] καὶ τῶν δόμων καὶ τῆς γυναικὸς διπλῆ μέμψις A.
10. ἐμοῦ] ἐμοί A.
17. ταράττει] θολοῖ δὲ ταράττει B.I.
ib. τοῦ θόλου] τοῦ καθόλου A.
18. ἀγρευθῆναι A. ἀγρεύεσθαι B.I.
ib. ὑπὲρ] ὑπὸ I.
ib. τοὺς ἀγρεύοντας A. τὸν ἀγρεύοντα B.I.
22. οὐ καλῶς] οὐ om. A.
23. κἀγὼ A. καλῶς B.I.
24. ἐναισίμως] αἰνεσίμως A.
25. In A. verba ἀλλὰ καθηκόντως φέρεις praecedenti scholio adjuncta sunt post συνεργεῖν.
27. ἔρως: τοῦ θρηνεῖν] τοῦ θρηνεῖν ἔρως B.

1082. κἄτι μᾶλλον: ὑπεραπώλεσεν. B.I. ὑπερβαλλόντως ἀπώλεσέ με, ὑπερβάλλει πάντα λόγον ἡ ἀτυχία. A.

1084. ἄνδρα τόνδ': ἑαυτὸν λέγει δεικτικῶς. B.I.

1086. χρόνον λέγοις ἄν: ὁ χρόνος με θεραπεύσει, εἰ χρόνον λέγεις τὸν μέχρι θανάτου. μέχρι γὰρ θανάτου λυπηθήσομαι. B.I.

1090. τᾷδε: δεικτικῶς ἐμοί. B.I.

1094. ὡς μήποτ': ἴσθι μὴ καλέσων με νυμφίον. B.I.

1096. θάνοιμ' ἐκείνην: ἐὰν γαμήσω προδοὺς ἐκείνην, καίπερ ἀποθανοῦσαν προδούς, ἀποθάνοιμι.

1100. καὶ δρῶν γε: διὰ τὴν Ἄλκηστιν αἰνίττεται.

1103. νικῶντι μέντοι: συμμεταλαμβάνεις τῆς νίκης ἐμοὶ νικῶντι.

1104. καλῶς ἔλεξας: ἐνόμισε διὰ τὴν φιλίαν εἰρηκέναι αὐτὸν μετέχειν τῆς νίκης.

1105. πρῶτα δ', εἰ χρεών: εἰ χρὴ ἀπιέναι με σκόπει καὶ μεταβουληθῆς πάλιν.

1106. χρή: δεῖ, ἀλλὰ μὴ ὀργίζου μοι, ὅ ἐστιν εἰ μὴ λυπῇ. A. ὀργαίνειν: ὀργίζεσθαι. Fl. 2.

1107. εἰδὼς ὅτι συμφέρει σοι κἀγὼ ταύτην τὴν σπουδὴν ἔχω. A.

1108. νίκα: κράτει, ὃ θέλεις ποίει. B. ποιεῖς: κοινόν. Fl. 2.

1111. οὐκ ἂν μεθείην: οὐκ ἂν συγχωρήσω τοῖς δούλοις τὴν γυναῖκα ταύτην. A.

1114. οὐκ ἂν θίγοιμι: ἔξεστιν αὐτῇ εἰσελθεῖν, οὐ μέντοι δι' ἐμοῦ. A.

1118. Γοργόν' ὡς καρατόμῳ: τὸ ἐντελὲς Γοργόνι. καὶ δὴ προτείνω τὴν χεῖρα ὡς Γοργόνι, ἧς ἡ κεφαλὴ ἀπετμήθη. λέγει δὲ ἀπεστραμμένος. A.

Γοργόν' ὡς καρατόμῳ: ἧς τὸ κάρα ἀπετμήθη. Καὶ ἄλλως. καρατόμῳ, τῇ καρατομηθείσῃ, ἀπὸ τοῦ καρατόμος.

1. ὑπερβαλλόντως] ὑπερβαλόντως A. hic et supra.
4. λέγεις B. λέγοις I.
8. καίπερ] καίπου B. Fl. 6. 15.
ib. προδοὺς] οὐκ οὖσαν A.
9. προδοὺς om. A.B. Fl. 6. 15.
11. συμμεταλαμβάνεις] μεταλαμβάνεις B.I.
ib. ἐμοὶ νικῶντι om. B.I.
12. αὐτὸν μετέχειν A. καὶ μεταβουληθῆς πάλιν om. B.I.
14. με om. A.
24. Γοργόνι—Γοργόνι] γοργόνη—γοργόνη A.
25. λέγει δὲ ἀπεστραμμένος Cobetus. οὕτως λέγει ἀνεστραμμένως A.
27. καρατόμῳ τῇ καρατομηθείσῃ om. A.
28. καρατόμος] Pergit A. τὸ ἐντελὲς δὲ—ἀνεστραμμένως.

1120. γενναῖον: περὶ αὐτοῦ λέγει. B.I.

1125. ἦ κέρτομός με: ἆρα, φησὶ, μὴ χλευάζομαι ὑπὸ χαρᾶς; B.I. κέρτομος: λοίδορος. Fl. 2.

1127. ὅρα γε: ὥστε φαντάσματα ποιεῖν καὶ μὴ ἀληθῆ.

1128. οὐ ψυχαγωγόν: ψυχαγωγοί τινες γόητες ἐν Θετταλίᾳ οὕτω καλούμενοι, οἵτινες καθαρμοῖς τισι καὶ γοητείαις τὰ εἴδωλα ἐπάγουσί τε καὶ ἐξάγουσιν, οὓς καὶ Λάκωνες μετεπέμψαντο, ἡνίκα τὸ Παυσανίου εἴδωλον ἐξετάραξε τοὺς προσιόντας τῷ ναῷ τῆς Χαλκιοίκου, ὡς ἱστορεῖ Πλούταρχος ἐν ταῖς Ὁμηρικαῖς μελέταις.

1130. ἀπιστεῖν δ' οὔ σε θαυμάζω: οὐδὲν θαῦμα εἰ ἀπιστεῖς· παρ' ἐλπίδα γὰρ γέγονεν. B.I.

1140. δαιμόνων τῷ κυρίῳ: ἢ τῷ τῶν νεκρῶν κοιράνῳ· φασὶ γὰρ καὶ τοὺς νεκροὺς δαίμονας· ἢ ἐν τῷ τῶν νεκρῶν δαιμόνων τῷ ταύτης κυρίῳ.

1145. νερτέροις: Πλούτωνα καὶ Φερσεφόνην.

1149. τὸν προκείμενον: τὸν τῶν ἵππων Διομήδους.

1153. νόστιμον δ' ἔλθοις πόδα: γρ. δόμον. γρ. καὶ ὁδόν. B.I.

1154. τετραρχίᾳ: εἰς τέσσαρας διῄρητο τότε ἡ Θεσσαλία πόλεις, αἵτινες ἦσαν ὑποτεταγμέναι Ἀδμήτῳ, ὡς καὶ Ἀρίσταρχός φησιν· ὅθεν ἐκαλεῖτο τετραρχία. εἰσὶ δὲ αὗται Φεραὶ, Βοίβη, Γλαφύραι καὶ Ἰωλκός. καὶ Ὅμηρος

οἱ δὲ Φερὰς ἐνέμοντο παραὶ Βοιβηΐδα λίμνην,
Βοίβην καὶ Γλαφύρας καὶ ἐϋκτιμένην Ἰαωλκὸν,
τῶν ἦρχ' Ἀδμήτοιο φίλος παῖς.

ὁμωνύμως δὲ λέγει Ὅμηρος καὶ τὴν λίμνην καὶ τὴν πόλιν. Ἄλλως. τὴν εἰς τέσσαρα μέρη διαμεριζομένην, εἰς ἀνατολὴν, εἰς δύσιν, εἰς ἄρκτον καὶ μεσημβρίαν. A.

2. χλευάζομαι B. χλευάζοιμι I.
4. ὥστε B.I. ὥστε μὴ Fl. 6. 15.
7. οὓς καὶ Λάκωνες] ὡς καὶ Λάκωνας I.
8. προσιόντας] προϊόντας A.
ib. Χαλκιοίκου] χαλκειοίκου A.B.
12. κοιράνῳ A. κυρίῳ B.I.
13. καὶ τοὺς A. καὶ om. B.I.
ib. ἐν τῷ τῶν νεκρῶν δαιμόνων om. B.I.
14. φερσεφόνην B. περσεφόνην I. λέγει addit Matth.
16. γρ. δόμον. γρ. καὶ ὁδόν B. γράφεται καὶ δόμον καὶ ὁδόν I.
17. διῃρῆτο τότε ἡ Θεσσαλία Cobetus. διηρῆτοτιθεσσαλία A.
19. Φεραὶ, Βοίβη] φέραι βοίβαι A. Correxit Cobetus.
20. Ὅμηρος] Il. 2, 711.
21. Φερὰς] φερνὰς A.
24. Ὅμηρος] καὶ ὅμηρος A.

ΥΠΟΘΕΣΙΣ ΑΝΔΡΟΜΑΧΗΣ.

I.

ΝΕΟΠΤΟΛΕΜΟΣ ἐν τῇ Τροίᾳ γέρας λαβὼν τὴν Ἀνδρομάχην, τὴν τοῦ Ἕκτορος γυναῖκα, παῖδα ἔτεκεν ἐξ αὐτῆς. ὕστερον δὲ ἐπέγημεν Ἑρμιόνην τὴν Μενελάου θυγατέρα. δίκας δὲ πρῶτον ᾐτηκὼς τῆς Ἀχιλλέως ἀναιρέσεως τὸν ἐν Δελφοῖς Ἀπόλλωνα πάλιν ἀπῆλθεν ἐπὶ τὸ χρηστήριον μετανοήσας, ἵνα τὸν θεὸν ἐξιλάσηται. ζηλοτύπως δὲ ἔχουσα πρὸς τὴν Ἀνδρομάχην ἡ βασιλὶς ἐβουλεύετο κατ' αὐτῆς θάνατον μεταπεμψαμένη τὸν Μενέλαον. ἡ δὲ τὸ παιδίον μὲν ὑπεξέθηκεν, αὐτὴ δὲ κατέφυγεν ἐπὶ τὸ ἱερὸν τῆς Θέτιδος. οἱ δὲ περὶ τὸν Μενέλαον καὶ τὸ παιδίον ἀνεῦρον καὶ ἐκείνην ἀπατήσαντες ἤγειραν. καὶ σφάττειν μέλλοντες ἀμφοτέρους ἐκωλύθησαν Πηλέως ἐπιφανέντος. Μενέλαος μὲν οὖν ἀπῆλθεν εἰς Σπάρτην, Ἑρμιόνη δὲ μετενόησεν εὐλαβηθεῖσα τὴν παρουσίαν τοῦ Νεοπτολέμου. παραγενόμενος δὲ ὁ Ὀρέστης ταύτην μὲν ἀνήγαγε πείσας, Νεοπτολέμῳ δὲ ἐπεβούλευσεν,

Argumentum recensui ad codices A. (Vaticanum 909.) B. (Paris. 2713.) M. (Marcianum 471.) Paris. 2712. (quo usus est Lascaris). Vaticanum Palatinum 287. (quem expressit Aldus.) et, ne recentiorum exemplum deesset G. (Guelferbytanum), in quo haec fabula a manu multo recentiore scripta est quam quae praecedentes eo in libro fabulas scripsit.

3. τῇ Τροίᾳ — τὴν Ἀ.] τῇ et τὴν om. Pal., τὴν om. G.

ib. τὴν τοῦ ἕκτορος A. τὴν ἕκτορος G. Articulum utrumque om. B.

4. αὐτῆς] τὸν μολοττόν add. Pal. G.

ib. δὲ om. A.

ib. ἐπέγημεν] ἔγημεν Pal. G.

5. ἐπέγημεν Ἑρμιόνην] ἐπέγημε τὴν ἑρμιόνην A. et Par. 2712.

ib. Μενελάου] μενέλεω A.

ib. πρῶτον] πρότερον Lasc.

ib. τῆς—Ἀπόλλωνα] τὸν ἐν δελφοῖς ἀπόλλωνα περὶ τῆς ἀχιλλέως ἀναιρέσεως B.

6. ἀπῆλθεν] ἐπῆλθεν G.

8. ἡ βασιλὶς ante πρὸς τὴν ἀ. Par. 2712.

ib. ἐβουλεύετο] ἐβούλετο Pal. G.

ib. κατ' αὐτῆς] κατὰ ταύτης Pal. G.

11. καὶ τὸ] καὶ om. A. ἀνεῦρον ante καὶ τὸ παιδίον Par. 2712.

ib. ἀπατήσαντες] ἀπαντήσαντες A.

ib. ἤγειραν] ἀνήγειραν Lasc. et Ald.

12. Πηλέως] τοῦ πηλέως Pal. G.

13. ἀπῆλθεν] ἐπῆλθεν G.

14. ὁ Ὀρέστης] ὁ om. B. Pal. G.

15. ἀνήγαγε] ἀνήγαγεν M. (non ἀπήγαγεν) G. ἀπήγαγε A. et superscripto ἀνή Par. 2712.

ib. πείσας] εἰς σπάρτην Pal. G.

ib. δὲ om. A. qui post νεοπτολέμῳ interpungit.

ὃν καὶ φονευθέντα παρῆσαν οἱ φέροντες. Πηλεῖ δὲ μέλλοντι τὸν νεκρὸν θρηνεῖν Θέτις ἐπιφανεῖσα τοῦτον μὲν ἐπέταξεν ἐν Δελφοῖς θάψαι, τὴν δὲ Ἀνδρομάχην εἰς Μολοσσοὺς ἀποστεῖλαι μετὰ τοῦ παιδός, αὐτὸν δὲ ἀθανασίαν προσδέχεσθαι. τυχὼν δὲ αὐτῆς εἰς μακάρων νήσους ᾤκησεν.

II.

Ἀριστοφάνους Γραμματικοῦ.

Ἡ μὲν σκηνὴ τοῦ δράματος κεῖται ἐν Φθίᾳ, ὁ δὲ χορὸς ἐκ Φθιωτίδων γυναικῶν. προλογίζει δὲ Ἀνδρομάχη. τὸ δὲ δρᾶμα τῶν δευτέρων. ὁ πρόλογος σαφῶς καὶ εὐλόγως εἰρημένος. ἔστι δὲ καὶ τὰ ἐλεγεῖα τὰ ἐν τῷ θρήνῳ τῆς Ἀνδρομάχης. ἐν τῷ δευτέρῳ μέρει ῥῆσις Ἑρμιόνης τὸ βασιλικὸν ὑποφαίνουσα καὶ ὁ πρὸς Ἀνδρομάχην λόγος οὐ κακῶς ἔχων. εὖ δὲ καὶ ὁ Πηλεὺς ὁ τὴν Ἀνδρομάχην ἀφελόμενος.

21. ὃν καὶ] οἳ καὶ B.M. αὐτὸν G.
2. μὲν om. G.
ib. ἐπέταξε post ἐν Δελφοῖς Lasc. Ald.
3. θάψαι] θάπτειν G. μένειν superscripto θάψαι A.
ib. ἀποστεῖλαι Lasc. Ald.: codices omnes ἀπέστειλε.
4. αὐτὸν δὲ] αὐτὸν δὲ εἶπεν Pal. G.
ib. προσδέχεσθαι] δέχεσθαι G.
ib. αὐτῆς] ταύτης Lasc. Ald.
5. ᾤκησεν] Sic etiam G., non ἀπῴκησεν, quod ei tribuit Matth.
7. Ἀριστοφάνους γραμματικοῦ addidi cum Kirchhoffio. Nam quae sequuntur fragmentum esse Argumenti ab Aristophane scripti similium ὑποθέσεων comparatio docet aliis fabulis praefixarum, servato interdum in codicibus nomine.
8.—13. Desunt haec in B.M., in G. post τὰ τοῦ δράματος πρόσωπα leguntur.
8. κεῖται om. Lasc., post φθίᾳ legitur ap. Ald.
ib. ὁ δὲ χορὸς] συνέστηκεν addunt Pal. G.
9. προλογίζει δὲ] δὲ om. A. Lasc.
ib. τὸ δὲ] δὲ om. Par. 2712. Cum judicio de hac tragoedia comparanda annotatio scholiastae ad v. 32. p. 129, 5—11.
10. ὁ πρόλογος] ὁ om. A. et Par. 2712.
ib. σαφῶς] σαφὴς Pal. G.
ib. ἔστι] ἔτι Hermannus.
12. Ἑρμιόνης] τῆς ἑρμιόνης Par. 2712.
ib. ὑποφαίνουσα Lasc. ὑφαίνουσα codices. ἐμφαίνουσα Musurus.
13. οὐ κακῶς A. Par. 2712. οὐ καλῶς Pal. G. et, omisso οὐ, Ald.
ib. ἔχων] εἰρημένος Par. 2712., om. G.
ib. εὖ δὲ καὶ] καὶ om. Pal. G. et Lasc.

ΣΧΟΛΙΑ
ΕΙΣ ΤΗΝ ΑΝΔΡΟΜΑΧΗΝ.

---

1. ΘΗΒΑΙΑ *πόλις*: *τὴν ἐν Ἀσίᾳ λέγει τὴν Ὑποπλάκιον Θήβην, ἧς Ἠετίων ἐβασίλευσεν.* B.G.M.T.I. *Δικαίαρχός φησιν ἐνθάδε ἀπόσπασμά τι μετὰ τοῦ Κάδμου οἰκῆσαι. ἔνιοι δὲ καὶ τὴν Χρύσην καὶ τὴν Λυρνησσὸν ἐν τῷ τῆς Θήβης πεδίῳ τάσσουσιν, ὡς ὁ Αἰσχύλος Λυρνησσίδα προσαγορεύσας τὴν Ἀνδρομάχην ἐν τοῖς Φρυξίν, ἔνθα καὶ ξένως ἱστορεῖ Ἀνδραίμονος αὐτὴν λέγων·*

Ἀνδραίμονος γένεθλον Λυρνησσίου,
ὅθενπερ Ἕκτωρ ἄλοχον ἤγαγεν φίλην.

Φιλέας δὲ καὶ ἐν Θεσσαλίᾳ φησὶν ἐν τῷ Φθιωτικῷ τέλει Θήβας εἶναι. Θεόπομπος δὲ ἐν τοῖς Ἑλληνικοῖς καὶ περὶ τὴν Μυκάλην λευκάλην ἄλλας εἶναί φησι, ταύτας δὲ Μιλησίους ἀλλάξασθαι πρὸς αὐτούς. B.G.M.T.

3. πόλις] πτόλι B.
ib. τὴν Υ.] τὴν om. B.G.T.I. In G. hoc scholion non in margine legitur, sed post ὑπόθεσιν fabulae.
4. Δικαίαρχος—οἰκῆσαι om. G.T.
5. ἔνιοι Cobetus. ἐν ᾗ M. ἔνθα G.T.
ib. τὴν] τὸν M.
6. Χρύσην M. Χρύσαν G.T.
ib. Λυρνησσὸν—Λυρνησσίου] Alterum σ superscriptum habet G.: consentit vero in Λυρνησσίδα.
7. Αἰσχύλος] Fragm. 260.
8. ξένως ἱστορεῖ Ἀνδραίμονος] ξένων ἱστοριάνδρεμονος M.
9. γένεθλον] Utrum ἦν an, quod Hermannus conjecit, ὦ addendum sit incertum est.
10. ὅθενπερ ἕκτωρ M. ὅθεν παρ' ἕκτορος G.T. ὅθενπερ Ἕκτωρ σ' Hermannus. ὅθεν refertur ad Λυρνησσόν, quod nomen latet in adjectivo Λυρνησσίου.
ib. ἤγαγεν] ἤγαγε libri.
11. Φιλέας—πρὸς αὐτούς addidi ex M.
ib. Φιλέας — Θεσσαλίᾳ Cobetus. φιλίας—θαλασσιᾳ M.
12. ἄλλας scripsi pro ἄλας.
13. Μιλησίους] μιλισίους M.

Πέντε εἰσὶ Θῆβαι, Ὑποπλάκιοι, Αἰγύπτιαι, Βοιάτιαι, καὶ ἐν τῷ Φθιωτικῷ μέρει καὶ περὶ Μυκάλην. B.M.G.T.

σχῆμα: πρόσχημα. A. κάλλος, εὐπρέπεια, κόσμος, ἀξίωμα, δόξα. A.B.I. καλλώπισμα. M. καλλώπισμα δέ ἐστι κυρίως τὸ τὴν ποιὰν διάθεσιν ἑκάστου δεικνύον. διὸ καὶ πολλάκις φαμὲν, αὕτη ἡ οἰκία σχῆμα οἰκίας οὐκ ἔχει, καὶ ἐπὶ πόλεως σχήματος ἐν αὐτῇ ὁρᾶται. ὃ δὲ βούλεται εἰπεῖν τοιοῦτόν ἐστιν, ὦ Θήβη, δι' ἣν ἡ Ἀσία χώρα ἐνομίζετο, οἷον, ἡ σὴ εὐδαιμονία σχῆμα περιετίθει τῇ Ἀσίᾳ, καὶ τοὐναντίον, ἡ σὴ ἅλωσις τὸ καὶ καλεῖσθαι τὴν Ἀσίαν χώραν ἀφῄρηται. σχῆμα γὰρ τῶν χωρῶν ἡ πόλις. M.

2. ἔδνων: δώρων. M. χλιδῇ: πολυτελείᾳ τῶν ἐν τῇ φερνῇ δώρων. Καὶ ἄλλως. χλιδῇ: τρυφῇ, προικὸς κόσμῳ. ἔστι δὲ παρὰ τὴν χύσιν, οἱονεὶ χύδην πληθύοντα. A.B.M.

3. ἑστίαν: εἰς τὴν βασιλικὴν οἰκίαν. M. οἰκίαν. I.

4. δάμαρ: νομίμη, γνησία παιδοτρόφος. οἱ γὰρ σκότιοι παῖδες ἐκρίπτονται. A.B.M.I.

παιδοποιός: γνησίων ἐπὶ σπορᾷ παίδων. M.

5. ζηλωτός: ἐπίφθονος, εὐδαίμων, μακαρία. τὸ δὲ ἐν τῷ συναπτέον τῷ χρόνῳ, ἵν' ᾖ ἐν τῷ προτέρῳ χρόνῳ. A.B.M.I.

6. νῦν δ' εἴ τις ἄλλη: ἀντὶ τοῦ ὡς οὐδεμία ἄλλη δυστυχεῖ γυνή.

1. Πέντε (ε M.)] Alius scholii initium.

ib. εἰσὶ] εἰσὶ δὲ G.T., qui om. πέντε.

ib. ὑποπλάκιοι M. ὑποπλάκιαι B.G.T.

ib. Αἰ. Βοιάτιαι] βοιάτιαι, αἰ. M.

2. τῷ om. G.T.

ib. Φθιωτικῷ] φθοιωτικῷ G.

ib. Μυκάλην M. θαικάλην G.T.

4. καλλώπισμα δέ ἐστι] Scribendum videtur καλλώπισμα. καὶ ἔστι—.

6. σχήματος] Fort. σχῆμα πόλεως.

11. πολυτελείᾳ — χλιδῇ om. M., sed habet gl. τρυφῇ. πολυτελείᾳ et τῇ et καὶ ἄλλως om. A.

ib. φερνῇ] φέρνῃ B.

12. προικὸς] προικὶ A.M.

14. οἰκίαν etiam I.

17. γνησίων ἐπὶ σπορᾷ παίδων] Videtur esse lacinia Euripidea. COBET. In M. haec verba gl. sunt interlineare.

18. τὸ δὲ ἐν τῷ A.B.M. τὸ δὲ πρὶν I.

19. τῷ χρόνῳ, ἵν' ᾖ om. B.

20. νῦν—ἀντὶ τοῦ om. B. In M. totum scholion sic scriptum νῦν δ' εἴ τις ἄλλη: εἶπεν τὸν ε στίχον περισσὸν ἐκδεχόμενος τὸν νοῦν, νῦν δὲ ἤτις ἄλλη ἀντὶ τοῦ ὡς οὐδεμία ἄλλη δυστυχῆς (hoc accentu) γυνή. εἰ δέ τις θελήσοι ἐκδέξασθαι τὸ οὐχὶ ὑπολαμβάνω—ἐστίν. In A. νῦν δ' οὔ τις ἄλλη. οὕτω γράφων εἶπε τῶν δύο στοιχείων περισσὸν ἐκδεχόμενος τὸν νοῦν. νῦν δὲ εἴ τις ἄλλη ὡς οὐδεμία ἄλλη δυστυχεῖ γυνή. εἰ δέ τις ἐκδέξασθαι αὐτὸν θελήσοι τὸ οὐχ ὑπολαμβάνω, ἵν' ᾖ ὁ νοῦς νῦν δ' οὐχ ὑπολαμβάνω εἰ ἄρα τις γυνὴ ἀθλιωτέρα μου ἐστίν: — Quibus inter se collatis

ἢ καὶ οὕτως, νῦν δ' οὐχ ὑπολαμβάνω εἰ ἄρα τις γυνὴ ἀθλιωτέρα μου ἐστίν. B.I. νῦν δ' εἴ τις ἄλλη: ... οὕτω γράφων εἶπε τὸν ἕτερον τῶν δύο στίχων περισσὸν, ἐκδεχόμενος τὸν νοῦν, νῦν δὲ εἴ τις ἄλλη, ἀντὶ τοῦ ὡς οὔ τις ἄλλη, δυστυχῶ γυνὴ, εἰ μή τις θελήσοι ἐκδέξασθαι τὸ οὐχ ὑπολαμβάνω, ἵν' ᾖ ὁ νοῦς, ἐγὼ δ' οὐχ ὑπολαμβάνω εἰ ἄρα τις γυνὴ ἀθλιωτέρα μου ἐστίν. A.

6. ἐμοῦ πέφυκεν ἢ γενήσεταί ποτε: οἱ ὑποκριταὶ τὸν ἴαμβον προσέθηκαν ὑπονοήσαντες εἶναι τὴν γραφὴν "δὴ τίς," ἵν' ᾖ οὕτως "νῦν δὴ τίς ἄλλη" καὶ ἀντὶ τοῦ συγκριτικοῦ τὸ δυστυχεστάτη φασίν. A.M.

10. ῥιφέντα πύργων: Λυσανίας κατηγορεῖ Εὐριπίδου κακῶς λέγων αὐτὸν ἐξειληφέναι τὸ παρ' Ὁμήρῳ λεχθέν

ἤ τις Ἀχαιῶν
ῥίψει χειρὸς ἑλὼν ἀπὸ πύργου,

οὐχ ὡς πάντως γενησόμενον, ἀλλ' ὡς εἰκαζόμενόν ἐστιν ὑπ' αὐτῆς, ὡς εἰ ἔλεγε κατακαυθήσεσθαι τὸν παῖδα, ἤ τι ἄλλο. Ξάνθον δὲ τὸν τὰ Λυδιακὰ συγγράψαντά φασιν ὅτι Εὐριπίδῃ σύνηθες προσέχειν περὶ τοῖς Τρωϊκοῖς.....τοῖς δὲ χρησιμωτέροις.....φοις. Στησί-

haec correxi ut in textu leguntur, indicata ante οὕτω γράφων lacuna. Nam excidit nomen grammatici, fortasse Δίδυμος. In verbis proximis aut sic scribendum ut ego correxi, aut εἶπε τὸν ζ̄ στίχον. Nam septimus versus est ἐμοῦ πέφυκεν ἢ γενήσεταί ποτε.

P. 125. l. 20. δυστυχεῖ] δυστυχὴς I.

1. νῦν δ'] ἐγὼ δὲ I.

4. εἰ μή τις θελήσοι—] Interpretatio inepta, cujus auctor δυστυχεστάτη pro δυστυχεστέρα dictum accepit, ut alius grammaticus lin. 9.

7. ἐμοῦ—ποτε] ἥτις πόσιν μέν M.

8. τὴν γραφὴν δὴ τίς, ἵν' ᾖ οὕτως "νῦν δὴ τίς ἄλλη"] τὴν γραφὴν ἥτις ἵν' ᾖ ὁ νῦν δή τις ἄλλη A. τὴν γραφὴν ἵν' ᾖ οὕτως νῦν δ' ἥτις ἄλλη M. Correxit Kirchhoffius, qui etiam φασίν pro φησίν restituit.

11. Λυσανίας] Λυσίμαχος Mueller. Fragm. Hist. vol. 4. p. 661. recte.

12. Ὁμήρῳ] Il. 24, 734.

13. ἤ τις] εἴ τις A.

14. πύργου] πύργον M. πύργων ἑνὸς A.

15. γενησόμενον Cobetus. γενόμενον M. γιγνόμενον A.

ib. ἀλλ' ὡς A. ὡς om. M.

ib. ὑπ' Cobetus. ἀπ' A. ὑπ' αὐτῆς om. M.

16. Ξάνθον—φοις om. A. in lacuna.

17. συγγράψαντα] Obliteratum in M., sed literis υγ et ρ apparentibus, ut συγγράψαντα potius esse videatur quam quod Cobetus posuit συντάξαντα.

18. περὶ] π̣ M.

ib. Στησίχορον μέντοι ἱστορεῖν Cobetus. στησίχορος (στησιχ° A.) μέντοι ἱστορεῖ A.M.

χορον μέντοι ἱστορεῖν ὅτι τεθνήκοι καὶ τὸν τὴν πέρσιδα συντεταχότα ...ποιητὴν ὅτι καὶ ἀπὸ τοῦ τείχους ῥιφείη. A.M.

ἀπ' ὀρθίων: ἀπὸ τῶν ὑψηλῶν καὶ τεταμένων πύργων, τουτέστι τειχῶν. B. Fl. 6. 15. I.

12. αὐτὴ δὲ δούλη τῶν ἐλευθερωτάτων: ἐγὼ αὐτή. M. ἀντὶ τοῦ εὐγενεστάτων γονέων οὖσα δούλη Ἑλλάδ' εἰσαφικόμην. ἢ εὐγενεστάτους οἴκους φησὶ τῶν Αἰακιδῶν. A.B.M.I.

14. τῷ νησιώτῃ: ὅτι ἐν Σκύρῳ ἐτέχθη, ἥτις ἐστὶ νῆσος περὶ τὴν Θεσσαλίαν. Ὅμηρός φησιν

ἠὲ τὸν ὃς Σκύρῳ μοι ἐνὶ τρέφεται φίλος υἱός.

A.B.M. Fl. 6. 15. I.

δορὸς γέρας: Σιμίας ἐν τῇ Γοργόνι Ἀνδρομάχην φησὶ καὶ Αἰνείαν γέρας δοθῆναι Νεοπτολέμῳ λέγων οὕτως

1. πέρσιδα] Id est Ἰλιοπέρσιδα.

3. τεταμένων I. τεταμμένων B. Fl. 6. τεταγμένων Fl. 15.

5. ἐγὼ αὐτή gl. est interl. in M. In I. est ἐγὼ δὲ αὐτὴ ἐγενεστάτων etc., omisso ἀντὶ τοῦ.

6. Ἑλλάδ'] ἑλλάδος B.M.I.

ib. εἰσαφικόμην] ἢ ἠκολούθησα addit A., reliquis omissis.

8. ὅτι—ἐτέχθη] In M. etiam gl. interl. ὅτι ἐν σκύρῳ ἐγεννήθη.

ib. ἥτις ἐστὶ M. ἢ ἔστι A.I. ἢ ὅτι B. Fl. 6. 15.

9. Θεσσαλίαν] θάλασσαν M. φαρσαλίαν A.

ib. Ὅμηρος] Il. 19, 326.

10. ὃς] ὡς M.

ib. ἐνὶ τρέφεται M. ἐνιτρέφεται ceteri excepto A. in quo verba ἐνιτρέφεται φίλος υἱός in lacunam incidunt.

12. Σιμίας ἐν Γοργόνι Ἀνδρομάχην] σιμμίας ἐν τῇ γοργόνῃ ἀνδρομάχῃ M. Tzetzes ad Lycophronem v. 1263. Λέσχης ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκὼς Ἀνδρομάχην καὶ Αἰνείαν αἰχμαλώτους φησὶ δοθῆναι τῷ Ἀχιλλέως υἱῷ Νεοπτολέμῳ καὶ ἀπαχθῆναι σὺν αὐτῷ εἰς Φαρσαλίαν, τὴν Ἀχιλλέως πατρίδα. φησὶ γὰρ οὕτωσί·

Αὐτὰρ Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱὸς
Ἕκτορέην ἄλοχον κάταγεν κοίλας ἐπὶ νῆας.
παῖδα δ' ἐλὼν ἐκ κόλπου εὐπλοκάμοιο τιθήνης
ῥῖψε ποδὸς τεταγὼν ἀπὸ πύργου. τὸν δὲ πεσόντα
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
ἐκ δ' ἕλετ' Ἀνδρομάχην ἠϋζωνον παράκοιτιν
Ἕκτορος, ἥντε οἱ αὐτῷ ἀριστῆες Παναχαιῶν
δῶκαν ἔχειν ἐπίηρον ἀμειβόμενοι γέρας ἀνδρὶ,
αὐτόν τ' Ἀγχίσαο κλυτὸν γόνον ἱπποδάμοιο
Αἰνείαν ἐν νηυσὶν ἐβήσατο παντοπόροισιν
ἐκ πάντων Δαναῶν ἀγέμεν γέρας ἔξοχον ἄλλων.

Adscripsi totum locum, ut quisque monitus videat duo fragmenta, incertum codicum an Tzetzae vitio, coaluisse in unum. Versus quinque priores sunt Leschae, reliqui Simiae. COBET.

ἐκ δ' ἕλετ' Ἀνδρομάχην ἠΰζωνον παράκοιτιν
Ἕκτορος, ἥντε οἱ αὐτῷ ἀριστῆες Παναχαιῶν
δῶκαν ἔχειν ἐπίηρον ἀμειβόμενοι γέρας ἀνδρί,
αὐτόν τ' Ἀγχίσαο κλυτὸν γόνον ἱπποδάμοιο
Αἰνείαν ἐν νηυσὶν ἐβήσατο ποντοπόροισιν
ἐκ πάντων Δαναῶν ἀγέμεν γέρας ἔξοχον ἄλλων. M.

16. Φθίας: Θεσσαλίας πόλεις αὗται. M.

17. σύγχορτα ναίω πεδία: πλησιόχωρα, γείτονα. σύγχορτα τὰ ὅμορα, ὅτι χόρτῳ διέγραφον τὰς πόλεις οἱ ἄρχοντες, Ἀλέξανδρος δὲ ἢ ὀσπρίοις ἢ ἀλεύροις. μεταξὺ δὲ τούτων τῶν πόλεων ἐστὶ τὸ Θετίδειον. B.M. Fl. 6. 15. I. ἀντὶ τοῦ μεταξὺ ὑπάρχοντα. M.

18. Πηλεῖ συνῴκει: τοῦτο ἀπὸ ἱστορίας εἴληφεν. αὖθις γὰρ αὐτῇ συνῴκησε Πηλεύς, καὶ ἡ Ἀχιλλέα τὸ Θετίδειον διόπερ ἐστὶ πόλις Θεσσαλίας, ὥς φησι Φερεκύδης καὶ Σουίδας. Ὁμηρικὴ δὲ ἡ σύνταξις·

τὰ δὲ δώματα κάλ' Ὀδυσῆος·
οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο.

καὶ ὁ μὲν ποιητὴς πρὸς τὸ σημαινόμενον ἀπέδωκεν ἀντὶ τοῦ αὐτὸ τὸ οἴκημα, οἱ δὲ νεώτεροι οἰηθέντες τὸν Ὅμηρον κατὰ πληθυντικόν * * * ἔστιν οὖν ἀπάτη νεωτέρων. M.

22. Φαρσαλίας: ἡ Φαρσαλία ἐστὶ πόλις τῆς Φθιώτιδος μοίρας. μητρόπολις γάρ ἐστιν ἡ Φθία πλειόνων πόλεων. ὡς ἀπὸ μέρους οὖν τὸ πᾶν, ὡς τὸ "ἀργυρόπεζα Θέτις" καὶ "λευκώλενος Ἥρη." A.M.

1. ἠΰζωνον παράκοιτιν] ὑζων παρακοίτην M. Correctum ex Tzetza.

4. τ'—ἱπποδάμοιο] τῆς—ὑποδάμοιο M. Correctum ex Tzetza.

8. πλησιόχωρα—χόρτῳ M. τὰ ὅμορα. ἐν χόρτοις ceteri.

ib. σύγχορτα Cobetus. σύνορα M.

10. ἀλεύροις] ἀλεύραν (sic) B.

ib. ἐστὶ] ἐπὶ B.M. Fl. 6. 15. I.

13. καὶ ἡ Ἀχιλλέα—] Corrupta et mutila. Quae sequuntur pertinent ad v. 19. Θεσσαλὸς δέ νιν λεώς, ubi νιν pro plurali habebant. COBET. αὐτόθι γὰρ αὐτῇ—καὶ ἐγέννησεν Ἀχιλλέα· διόπερ τὸ Θετίδειον etc. Mueller. Fragm. Hist. vol. 4. p. 638.

ib. Θετίδειον] θετίδιον M.

14. ὡς] καὶ M.

ib. Σουίδας Cobetus. συίδας M. Suidam dicit Θεσσαλικῶν scriptorem, quorum pauca quae supersunt fragmenta collegit Mueller. vol. 2. p. 464.

ib. Ὁμηρικὴ] Od. 17, 264. et 268.

16. τὰ—κάλ' Ὀδυσῆος—τίς μιν—ὑπεροπλίσσαιτο] τὸ—κάκ' ὀδυσσῆος—τις νῦν—ὑπεροπλίσαιτο M.

19. Lacunam post πληθυντικόν indicavit Cobetus.

21. ἡ Φαρσαλία ἐστὶ et τῆς om. A.

23. ὡς τὸ—Ἥρη om. A.

24. ἄρσεν' ἐντίκτω κόρον: ἰδίως ἕνα φησὶ παῖδα γενέσθαι τῷ Νεοπτολέμῳ ἄλλων τρεῖς λεγόντων, Πύρρον, Μολοσσὸν, Αἰακίδην. Λυσίμαχος δὲ ἐν τῷ δευτέρῳ τῶν Νόστων φησὶ Πρόξενον καὶ τὸν Ἀκάνθιον Νικομήδην ἐν τοῖς Λακεδαιμονικοῖς ἱστορεῖν ἐκ μὲν Ἀνδρομάχης γενέσθαι τοὺς προειρημένους, ἐκ δὲ Λεωνάσσης τῆς Κλεοδαίου Ἄργον, Πέργαμον, Πάνδαρον, Δωριέα, Ἔραον, Δανάην, Εὐρύμαχον καὶ Τρωάδα. φασὶ δὲ Πύρρῳ μὲν ἐγχειρίσαι τὴν βασιλείαν τὸν πατέρα, Μολοσσῷ δὲ τὴν ἐκ τῆς προσηγορίας τιμὴν προστάξαντα τὴν χώραν Μολοσσίαν ὀνομάζειν. διὸ τὸν Αἰακίδην ὑπ' αὐτῆς ὑπεκτεθῆναι Ἀνδρομάχης πρὸς τὸ, εἴ τι διὰ τὴν ἀπαιδίαν Ἑρμιόνης καὶ τὴν ἑαυτῆς ἀσθένειαν γένοιτο τοῖς τέκνοις δυσχερὲς, μὴ ὑποχειρίους πάντας ληφθῆναι. M.

1. κόρον] κοῦρον B. sed in textu κόρον.

1, 2. ἰδίως—Αἰακίδην] Hanc scholii partem habent etiam B. Fl. 6. 15. I.

1. ἰδίως ἕνα] ἕνα παῖδα. ἰδίως δὲ ἕνα I. Sic etiam B. Fl. 6. 15. nisi quod ab initio non ἕνα παῖδα, sed υἱὸν παῖδα habent, υἱὸν tamen in B. ῦν scripto, usitato compendio.

2. τρεῖς Barnesius pro τριῶν.

ib. Πύρρον, Μολοσσὸν, Αἰακίδην] Πέλον, Μολοσσὸν et Πέργαμον memorat Pausanias 1, 11, 1. Noster Pergamum memorat inter liberos e Lanassa susceptos. *Aeacidem* alius nemo exhibet. *Pielum* habes etiam in Alexandriade apud Pseudocallisth. 1, 42. in Latinis et apud Justinum 17, 3. ubi perperam legitur *Pialis*. Hyginus fab. 123. Andromachae filium ponit *Amphialum*, quod ejusdem nominis corruptio est, aut componi delet cum *Anchialo*, cujus ap. schol. ad v. 32. mentio fit. MUELLER. Fragm. Hist. vol. 4. p. 338. De verbis καὶ Τρωάδα, quae in libris post Αἰακίδην leguntur v. ad lin. 7.

3. δευτέρῳ] β M.

4. Ἀκάνθιον Cobetus pro ἀκάνθινον.

ib. Νικομήδην] Sic scripsi pro Λυκομήδην. Nicomedem Acanthium de Perdiccae et Archelai regum temporibus laudat Athenaeus 5. p. 217 D. Quod fragmentum quum librum de rebus Macedonum arguat, fortasse etiam Μακεδονικοῖς pro Λακεδαιμονικοῖς reponendum est. MUELLER. l. c.

5. Λεωνάσσης] In Κλεώνασσαν hoc nomen corruptum in scholio v. 32. *Lanassam* (i. e. Laonassam) appellavit Justin. 17, 3. De quo dixit Muellerus l. c. p. 339.

ib. Κλεοδαίου] κλαιοδάου M. Correxit Cobetus ex schol. v. 32. ubi in codice est κλεδαίου.

7. Verba καὶ Τρωάδα in M. (et B. Fl. 6. 15.) supra posita post Αἰακίδην huc transposuit Muellerus. Nam octo Neoptolemi liberos fuisse Justinus testatur.

8. προστάξαντα] προτάξαντα M.

9. διὸ—ὑπεκτεθῆναι—'Ανδρομάχης Cobetus. δι' ἃι—ἐκτεθῆναι—ἀνδρομάχην M.

10. ἀπαιδίαν—τὴν ἑαυτῆς—γένοιτο Cobetus. ἀσπιδίαν—τὴν (sic, non τὸν) δι' αὐτῆς—γενοιτό τι M. Muellerus servato τι post γένοιτο scripsit τὸ εἰ pro εἴ τι.

25. πλαθεῖσ᾽: ἀντὶ τοῦ συμπελασθεῖσα· ὅθεν καὶ ἡ πλάξ. M.I.

26. ἐν κακοῖσι κειμένην: διὰ τὰ πάτρια κακά. B.M.I.

28. ἀλκήν τιν᾽: τὴν τοῦ παιδὸς βοήθειαν. B.M. δόμων γρ. κακῶν. B.

29. ἐπεὶ δέ: ἀφ᾽ οὗ δέ. M.I.

30. παρώσας: ἀπωσάμενος, ἀπωθήσας, ὑβρίσας, ἐκβαλών. B.M. Fl. 6. 15. δοῦλον δὲ τὸ δουλικόν. B. Fl. 6. 15. I.

31. πρὸς αὐτῆς: ὑπ᾽ αὐτῆς τῆς Ἑρμιόνης διώκομαι. B.I.

32. λέγει γάρ: ὁ μὲν Εὐριπίδης ἀπὸ Νεοπτολέμου φησὶν εἶναι τὴν Ἑρμιόνην, ὁ δὲ Λυσίμαχος ταύτην παρ᾽ αἰνείου, ὃς γράφει "γήμαντι δ᾽ Ἑρμιόνην τὴν Μενέλεω καὶ Ἑλένης, μετὰ ταῦτα Λεώνασσαν τὴν Κλεοδαίου τοῦ μν... ἐξ ἐκείνης μὲν γενέσθαι Μολοσσὸν ὁμώνυμον τῇ χώρᾳ καὶ τοῦ ἀνδ...κληθῆναι, ἐκ δὲ τῆς Λεωνάσσης...Δ γενον Δωριέα, Πέργαμον καὶ . ν . . χωρον." ταῦτα μὲν Λυσίμαχος .. λ. κλ^{s} δὲ ὁ τραγῳδοποιὸς καὶ. εον πρόση δ᾽ . . ναι . . φασὶν ὑπό τινος . . . . Ἑρμιόνην τῷ Ὀρέστῃ, ὃς ὑπὸ Μενελάου δοθῆναι . . εολ . . μ^{o} δὲ γ. νν . . . . . ὀνα. ὕστερον δὲ Διομήδει συνοικῆσαι . . τι. φησὶ δὲ καὶ Ἀσκληπιάδης Νεοπτολέμῳ Ἀγχίαλον γενέσθαι . . . ξ. φ. . πημ^{o} . . . ληνὶς δὲ ἐκ μὲν Ἀνδρομάχης . . γ . . πνην, ἐκ δὲ

1. ἀντὶ τοῦ om. M.

7. παρώσας] τοὐμὸν παρώσας B.

ib. ἐκβαλών om. I.

8. δὲ τὸ] δὲ διὰ B. Fl. 6. 15. In Par. 2712. ad δοῦλον adscriptum δουλικόν.

9. Lemma πρὸς αὐτῆς om. B.

ib. ὑπ᾽ αὐτῆς om. I.

10, 11. ἀπὸ—ὃς γράφει] Sensus verborum corruptorum hic fuisse videtur Muellero l. c. p. 339. ἄπαιδα ἀπὸ Νεοπτολέμου φησὶν εἶναι τὴν Ἑρμιόνην, ὁ δὲ Λυσίμαχος τεκεῖν αὐτήν φησι λέγεσθαι παρὰ Κινέᾳ, ὃς γράφει etc. Nam Cineas (Κινέας, Κεινέας) Epirotica tractasse ex fragmentis (vol. 2. p. 463.) intelligitur, Lysimachum vero in congerendis antiquiorum scriptorum testimoniis operam posuisse praecipuam ex reliquiis satis liquet.

11. γήμαντι δ᾽] γήμας τᾶδ᾽ M. γήμαντι πρῶτον Muellerus.

12. Λεώνασσαν Muellerus ex schol. v. 24. pro κλεώνασσαν.

13. Κλεοδαίου Cobetus pro κλεοδαίου.

ib. τοῦ μν] τοῦ Ἡρακλέους Muellerus.

ib. Μολοσσὸν] μολο... M.

14. Λεωνάσσης Muellerus. κλ.... σσης M. In sequentibus plura ita sunt pene evanida ut lectio incerta sit.

17. Ὀρέστῃ] ὀρ. . . . M.

ib. ὃς] Sic M. ut videtur.

ib. Μενελάου] με...λ^{α} M.

19. Ἀσκληπιάδης] ἀσκληπ..... M.

Ἑρμιόνης Ἀγλαὸν καὶ Μενεσ.....η. ρο εἰς ειρ . . . . αὐτῷ Μενέλαον δὲ καὶ Ἀπολλόδωρος . . . . . σ . . χρήσασθαι. Πρόξενος δὲ . . πρωτ...δρο.....φησὶ . . . ε . . . ρον τῶν ἑξῆς Ἑρμιόνῃ παραδοθῆναι . . . . M.

λέγει γὰρ ὡς νιν φαρμάκοις κεκρυμμένοις : οἱ φαύλως ὑπομνηματισάμενοι ἐγκαλοῦσι τῷ Εὐριπίδῃ φάσκοντες ἐπὶ τραγικοῖς προσώποις κωμῳδίαν αὐτὸν διατεθεῖσθαι· γυναικῶν τε γὰρ ὑπονοίας κατ' ἀλλήλων καὶ ζήλους καὶ λοιδορίας καὶ ἄλλα ὅσα εἰς κωμῳδίαν συντελεῖ, ταῦτα ἅπαξάπαντα τοῦτο τὸ δρᾶμα ἀπειληφέναι, ἀγνοοῦντες. ὅσα γὰρ εἰς τραγῳδίαν συντελεῖ, ταῦτα περιέχει, τὸν θάνατον τοῦ Νεοπτολέμου καὶ θρῆνον Πηλέως ἐν τέλει, ἅπερ ἐστὶ τραγικά. A.M.

κεκρυμμένοις : λαθραίοις. M. κρυφίοις. I.

37. ἐκλέλοιπα : κατελείφθην. I.

40. συνδρᾷ : συνέρχεται, συμπράττει. B.M.I.

43. πάροικον : τὸ πλησιάζον τοῖς οἴκοις. B.M.I.

ἀνάκτορον : ναόν. P.

44. θάσσω : κάθημαι. I. καθέζομαι, διατρίβω, παραμένω. A.M.

ἦν με κωλύσῃ : ὅπως με τοῦ κινδύνου ἐξέληται. A.B.M.I.

46. ἑρμήνευμα : ὑπόμνησιν, ἄγγελον, σημεῖον, μνημόσυνον, τεκμήριον. ταῦτα σημαίνει τὸ ἑρμήνευμα. Καὶ ἄλλως. τὸ ἐν τῷ Θετιδείῳ ξόανόν φησιν, ἱερὸν τῆς Θέτιδος· ἐκεῖ γὰρ ᾤκει Πηλεὺς σὺν Θέτιδι. ἑρμήνευμα δὲ λέγει αὐτό, ἐπεὶ ἑρμηνεύει καὶ εἰς ὑπόμνησιν ἄγει τοὺς γάμους τῆς Θέτιδος. A.B.G.M. Fl. 6. 15. I.

2. Μενέλαον] μενέλα M.

5. οἱ—ἐγκαλοῦσι]...ὡς οἱ ὑπὸ μνήματι ὄντες διεγκαλοῦσι A.

7. διατεθεῖσθαι] διατελεῖσθαι A.

8. ταῦτα Cobetus. ἐνταῦθα A.M.

9. ἀπειληφέναι] περιειληφέναι Cobetus.

ib. ἀγνοοῦντες] ἀγνοοῦσιν M.

10. τοῦ om. A.

11. ἐν τέλει] ἐντέλειαν M.

ib. τραγικά A. τραγῳδία M.

13. In M. τὸ ἐκλελοίπαμεν πληθυντικὸν ἐστὶ ὡς....τως ἐκλέλοιπα ὑπ' αὐτοῦ ἀντὶ τοῦ κατελείφθην :—

14. συνέρχεται, συμπράττει B. συμπράττει, συνέρχεται I.

17. παραμένω] περιμένω A.

18. ὅπως M. εἴπως A.B.I.

19. ὑπόμνησιν—μνημόσυνον] μιῆσιν (litera μ ab rubricatore)—ἰμόσυνον G.

20. ταῦτα—καὶ ἄλλως om. A.G. ταῦτα—καὶ om. I. καὶ ἄλλως om. M.

ib. τὸ ἐν τῷ Θ.] τῷ ἐν τῷ θ. B. τῷ ἐν θ. G. In A. est λέγει δὲ τὸ ἐν τῷ θετιδείῳ ξόανον ἱερὸν etc.

21. ξόανον om. M. In G. φησὶ ξοάνῳ, omisso ἱερόν.

ib. φησιν] λέγει M.

ib. ἐκεῖ—ἑρμήνευμα δὲ om. I.

ib. ᾤκει M. ᾤκησε ceteri.

22. ἑρμήνευμα —ἐπεὶ om. G. δὲ addidi ex A.M.

ib. λέγει] λέγεται I.

23. τοὺς γάμους] τοῦ γάμου M.

49. οὔτ' ἐμοὶ πάρα προσωφελῆσαι παιδί τ' οὐδέν ἐστ' : ἐκ παραλλήλου τὸ αὐτό. ταὐτὸ γὰρ ἀκόλουθον ἦν ἐκείνου καὶ δι' ἑκατέρου δηλοῦται, οὔτε ἐμοὶ πάρα προσωφελῆσαι οὔτε τῷ παιδί. ἡ δὲ ἀνάγκη τοῦ μέτρου τῆς ταυτολογίας αἰτία. A.M.

51. δίκην : κόλασιν, τιμωρίαν. λέγει δὲ τὴν ἀπολογίαν. ἢ ὅτι τιμωρίαν ἀπῄτησε τῆς μανίας τὸν Ἀπόλλωνα, ὅτι ἀνθ' ἧς ἀπῄτησε τιμωρίας τὸν Ἀπόλλωνα, τιμωρίαν δίδωσι. Ἄλλως. τῆς τόλμης, ἣν ἐτόλμησε, δίκην ὑπὲρ Ἀχιλλέως ᾐτήσατο τὸν θεόν· ἤντινα ποτὲ δίκην ᾐτήσατο τὸν Φοῖβον ὑπὲρ τοῦ πατρός, ὃν ἔκτεινε. ὅπου, ἐν Πυθοῖ, τιμωρίαν δίδωσι. B.G. Fl. 6. 15. I. δίκην δίδωσι : κόλασιν. τιμωρίαν δὲ λέγει τὴν ἀπολογίαν· ἢ ὅτι τιμωρίαν ἀπῄτησε τὸν Ἀπόλλωνα, ὅ ἐστιν ἀνθ' ἧς ἀπῄτησε τιμωρίας τὸν θεὸν ἀπολογίαν δίδωσι. A. ἦν ποτ' ἐς Πυθὼ μολών : ἤντινα ποτὲ δίκην ᾐτήσατο τὸν Φοῖβον ὑπὲρ πατρὸς ὃν ἔκτεινεν Ἀπόλλων, ἵν' ᾖ γενικὴ ἀντὶ αἰτιατικῆς, ὥσπερ τὸ "ὡς γνῶ χωομένοιο" καὶ τὸ "ἀλλά γ' ὀΐστευσον Μενελάου κυδαλίμοιο." γρ. δὲ οὖ 'κτίνει δίκην, ἵν' ᾖ ὅπου, ἐν Πυθοῖ, τιμωρίαν δίδωσι. A.M.

52. ὁ Νεοπτόλεμος ἐνεκάλει τῷ Ἀπόλλωνι ὑπὲρ τοῦ φόνου τοῦ Ἀχιλλέως, ὃν τιμωρήσασθαι τὸν Ἀπόλλωνα ἐζήτει. ὀργισθέντος οὖν τοῦ θεοῦ παρεγένετο ὁ Νεοπτόλεμος εἰς Δελφοὺς ἐκ δευτέρου ὑπὸ τῆς τόλμης ταύτης ἐξιλεωσόμενος τὸν θεόν. M.

53. πατρός : ἕνεκα τοῦ πατρός. M.

2. ταὐτὸ—δηλοῦται] ταὐτὸν γὰρ δι' ἑκατέρου δηλοῦται· τοῦτο γὰρ ἀκόλουθον ἦν εἰπεῖν οὕτω A.

3. ἡ δὲ—αἰτία om. A.

5—10. Hoc scholion sic scriptum in B.I. ἔνθα Λοξίᾳ (ἔνθα Λοξίᾳ om. I.) δίκην δίδωσιν (δίδωσιι om. I.) μανίας : δίκην, κόλασιν. τιμωρίαν δὲ λέγει τὴν ἀπολογίαν, ἣν τιμωρίαν ἀπῄτησε τὸν ἀπόλλωνα ὅτι ἀνθ' ἧς ἀπῄτησε τιμωρίας (τιμωρίας om. I.) τὸν θεὸν ἀπολογίαν (ἀπολογίας M.) δίδωσιν. Ἄλλως add. M.) τῆς (δίδωσι τῆς I. sine interpunctione) τόλμης, ἣν ἐτόλμησε δίκας ὑπὲρ ἀχιλλέως. ᾐτήσατο τὸν θεὸν (υἱὸν I.), ὅπως ἐν πυθοῖ τιμωρίαν δίδωσιν. Sic etiam M. in quo hoc scholion finitur verbis ᾐτήσατο τὸν θεόν, post quae aliud sequitur scholion literis partim obliteratis partim abscissa membranae parte defectum, ἤντινα ποτὲ δίκην ᾐτησε τὸν φοῖβον ὑπὲρ πατρὸς ὃν ἔκτεινε ἀπόλλων, ἵν' ᾖ γενικὴ ἀντὶ αἰτιατικῆς ὥσπερ καὶ τὸ τι γν χ . . . μένοις . . . | . . . | δηλονότι ἀλλά γ' . . . . νελάου κυδα. . . . ερ . ὁ ἐκτίνει δίκην. . . . Praeterea ad μανίας gl. τῆς τόλμης. Integra haec dedi ex A.

5. λέγει] λέ A. λέγεται ceteri.

6. τιμωρίαν] ἀπολογίαν G.

14. ὥσπερ τὸ] Loci Homerici sunt Il. 4. 357. et ib. 100. (ubi ἀλλ' ἄγ'.)

20. ἐκ δευτέρου] ἐκ β M.

54. ἐξαιτούμενος: παρακαλῶν ... ρι . ησ ... ἀπὸν Δελφῶν κατ' αἶαν εἴ πως τὰ πρόσθεν σφάλματα ἐξαιτούμενος. M.

57. ἠξίουν: ἄξιον ἐνόμιζον δέσποινάν σε καλεῖν. B.M.I.

58. τὸν σόν: γρ. τὸ σὸν, ἵν' ᾖ τὰ ἐξῆς τοῦ ὀνόματος ὂν τὸν δεσποτικόν. M.

59. ἦν: ἀντὶ τοῦ ἦμην. B. Fl. 15.

60. νέους—λόγους: καινοτέρους λόγους. B.M. Fl. 15.

61. εἴ τις: μή τις αἰσθήσεται δεσποτῶν. B.M.I.

63. ἅ σοι φυλακτέα: ἅτινά σε χρὴ παραφυλάσσεσθαι καὶ προσκοπεῖν, ἢ ἅτινα μὴ ἐκφήνῃς τινὶ μηδὲ λέξῃς ἐμὲ μηνύσασάν σοι ταῦτα. A.

65. τῇ πρόσθ' ἀνάσσῃ: τῇ πρότερον δεσποίνῃ. δεικτικῶς ἑαυτὴν λέγει. B.M.I.

66. αὖ: δή. P.

69. ὑπεξέθου: ἐγκρύψασα παρεξέθου. B.I.

70. πέπυσται: ὁ Μενέλαος ἤκουσε. M. ἔκθετον: ἐκτεθέντα, κρυπτόν. I.

71. πόθεν: τὸ πόθεν πέπυσται οὐκ οἶδα. A.B.M.I.

73. φρῦδος: ἐκ τῶν οἴκων. ἀφανὴς, ἔκδημος. A.B.M.I. ἐκ τούτου δὲ ταῦτα ἐγὼ νενόηκα, ὅτι Μενέλαος ἀφανὴς καὶ ἔκδημος τῶν οἴκων εἰς αὐτὸν γέγονεν. A.

77. ὧδέ σ' ἂν πράσσειν κακῶς: οὕτως δυστυχεῖν κακῶς. M.

79. οὐδ' ἀμφὶ Πηλέως: οὐδὲ περὶ τοῦ Πηλέως κεκίνηται, ὅτι ἄρα ἤξοι. ἐν ἐρωτήσει δὲ προενεκτέον τὸν στίχον, οὐδὲ περὶ τοῦ Πηλέως ἀκήκοάς τι ὡς ἐρχομένου; A.B.M.I.

80. γέρων: ἀντὶ τοῦ νωθὴς, βραδὺς, οἷον τὸ γῆρας αὐτὸν ἐμποδίζει ὥστε ταχέως ἐλθεῖν καὶ βοηθῆσαι. Ἄλλως. βραδὺς, φησὶν, ἐκεῖνός

1. ..ησ] Videtur esse τὸ ἐξῆς.
3. καλεῖν] καλῶν M.
12. ἑαυτὴν] γὰρ add. I.
15. ἐγκρύψασα] ἐγκλείσασα I.
ib. παρεξέθου] παρέθου B.
18. Suspicor: τὸ ἐξῆς· πόθεν πέπυσται; πρὸς ὃ ἀπαντᾷ ἡ θεράπαινα, οὐκ οἶδα. MATTH.
19. ἐκ τῶν οἴκων ante ἀφανὴς M., post ἔκδημοι A.B.I. Post οἴκων A. addit γένοιτο.
23. οὐδὲ] οὐ M.
24. ἤξοι] ἤξει A.
ib. ἐν—στίχον om. B.I.
25. τι add. A., om. B.M.I.
ib. ἐρχομέναν] ἐρχομένου I.
26. ἀντὶ τοῦ om. B.I.
ib. αὐτὸν] αὐτῷ B.I.
27. ταχέως] αὐτὸν add. A.
ib. βοηθῆσαι. Ἄλλως.] βοηθῆσαί σοι. καὶ ἄλλως B.I.

ἐστιν, ἅτε ὑπὸ τοῦ γήρως ἐμποδιζόμενος ὥστε ἐλθεῖν καὶ βοηθῆσαί σοι. A.B.M.I. μᾶλλον δὲ ἁρμόζει ὑπὸ τῆς θεραπαίνης τὰ δύο ταῦτα ἰαμβεῖα λέγεσθαι· πυνθάνεται γὰρ τῆς Ἀνδρομάχης εἰ ἦλθεν ἡ φήμη ὡς ἤξοντος τοῦ Πηλέως, ὃς δυνήσεται παρὼν αὐτῇ βοηθῆσαι, ἵν' ᾖ τὸ γέρων ἀντὶ τοῦ ἱκανός ἐστιν ὁ Πηλεὺς ὠφελεῖν σοι, ἢ ὁ χρονίζων πρὸς ὠφέλειαν καὶ παρὼν ἀδυνατεῖ. A.M.

81. καὶ μὴν ἔπεμψ' ἐπ' αὐτὸν οὐχ ἅπαξ : ἀλλὰ καὶ πρὸ πολλοῦ, φησὶ, καὶ ἑτέρους ἀπέστειλα, ἵνα χειραγωγούμενος ἔλθῃ. A.B.M.I.

83. πόθεν : ἀντὶ τοῦ οὐδαμῶς. M.

87. ἀπαυδᾷς ἐν κακοῖς : λείπει τὸ οὖσι καὶ τὸ βοηθεῖν, ἵν' ᾖ, ἀπαγορεύεις ἐν κακοῖς οὖσι τοῖς φίλοις βοηθεῖν. A.M. Fl. 6. 15. I. ἀνανεύεις M.

89. κοὐ περίβλεπτος : οὐκ ἐπίσημος, οὐκ ἔνδοξος. B.I. τὸ ἐξῆς, εἶμι καὶ εἴ τι μέλλω παθεῖν ἄτοπον, οὐ περίβλεπτος, οὐκ ἔνδοξος, οὐ περιφανὴς, οὐ τίμιος. κατ' ἐνίους δὲ γράφεται καὶ χωρὶς τοῦ οὐ "καὶ περίβλεπτος," ὥστε ἐν εἰρωνείᾳ τοὐναντίον λέγεσθαι. A.M.

91. χώρει νῦν : ἄπελθε νῦν. B.M.

93. ἐκτενοῦμεν : ἐκπέμποιμεν, διαλεγόμεθα δηλονότι. I. ἢ τὰς χεῖρας, ἢ τοὺς ὀφθαλμοὺς, ἢ τοὺς θρήνους. B.M.P. τοὺς θρήνους δηλονότι. M.

94. τῶν παρεστώτων : γενικὴ ἀντὶ αἰτιατικῆς, ἀντὶ τοῦ τὰ παρεστῶτα κακά. δύναται δὲ τὸ τέρψις πληθυντικὴ εἶναι αἰτιατικὴ

2. τὰ δύο ταῦτα ἰαμβεῖα] Versus dicit 79. 80. opinione inepta.

3. εἰ ἦλθεν ἡ (ἡ fortasse delendum) φήμη] ἢ ἦλθεν ἢ μὴ A.

4. αὐτῇ] αὐτὴν A.

ib. ἵν' ᾖ] ἵνα M.

5. σοι] σε A.

ib. ὁ χρονίζων] οὐ χρῄζ' ex M. annotatum.

6. ὠφέλειαν] τὴν ὠφέλειαν A.

ib. ἀδυνατεῖ] ἀδύνατος M.

7. ἀλλὰ καὶ (καὶ om. B.M.) πρὸ πολλοῦ φησὶ καὶ ἑτέρους ἀπέστειλα A. M. et qui καὶ ἑτέρους post ἀπέστειλα habet B. ἀλλ' ἔπεμψα πολλάκις φησὶ καὶ ἑτέρους I. In lemmate ἔπεμψ' ἐπ' αὐτὸν οὐχ ἅπαξ addidi ex A. Nam ἀλλὰ in verbis scholiastae refertur ad verba poetae οὐχ ἅπαξ μόνον.

10. λείπει—φίλοις βοηθεῖν] λείπει τὸ οὖσιν. ἀπαγορεύεις βοηθεῖν τοῖς φίλοις οὖσι I. In M. est ἐν οὐδενὶ γνωμολογεῖ τούτων κακῶν. ἄλλως τὸ οὖσι καὶ τὸ βοηθεῖν etc.

14. καὶ εἴτι—τίμιος M. εἴτι καὶ μέλλω παθεῖν ἄτοπον. τὸ δὲ περίβλεπτος ἀντὶ τοῦ οὐκ ἔνδοξος, περιφανὴς, οὐ τίμιος A. qui pergit γράφεται δὲ καὶ χωρὶς τοῦ οὐ κατ' ἐνίους καὶ περίβλεπτος etc. Ante κατ' ἐνίους in M. est οὐκ ἐπίσημος.

21. τοῦ τὰ] τὰ om. A.M.

22. πληθυντικὴ] πληθυντικὸν B. Fl. 6. 15.

ib. εἶναι] αἰτιατικὴ om. M.

Ἰωνικὴ, ἵν' ᾖ οὕτως, ἔμφυτον γὰρ ταῖς γυναιξὶν ἐπὶ στόματος ἔχειν τὰς τέρψεις τῶν παρεστώτων κακῶν. A.B.M. Fl. 6. 15. I.

98. στερρόν τε : στερεὸν, χαλεπὸν, σκληρόν. δαίμονα δὲ τὴν τύχην. ᾧ δαίμονι συνεζεύχθην. B.M.I.

99. δούλειον ἦμαρ : εἰς δούλειον ἦμαρ εἰσπεσούσης ἀναξίως. B.I.

100. χρὴ δ' οὔποτ' εἰπεῖν : τούτῳ συνᾴδει τὸ "τέλος ὅρα μακροῦ βίου." A.M. χρὴ δ' οὔποτ' εἰπεῖν:

μήποτέ τις βροτὸν ἄνδρα πανόλβιον αὐδήσειε
πρίν κεν ἴδῃ πῶς κεῖνος ἔχοι ποτὲ πότμον ἀπήμων.

A.G.M.

101. τελευταίαν: ἡμέραν δηλονότι. I.

103. Ἰλίῳ αἰπεινᾷ : μονῳδία ἐστὶν ᾠδὴ ἑνὸς προσώπου θρηνοῦντος ὥστε τὸ "Ἀσιάτιδος γῆς σχῆμα" μονῳδία ἐστί. τραγῳδία γὰρ καὶ οὐκ ἔδει οὔτε ἐν θεοφορουμένῃ ᾀδόμενα. οὐ θρηνεῖ γάρ. A.M. Ἄλλως. ἐν τῇ Ἰλίῳ τῇ ὑψηλῇ ἠγάγετο εἰς θαλάμους αὐτὴν καὶ νυμφευτικὴν τὴν Ἑλένην ὁ Πάρις, οὐ γάμων ἐπαγόμενος δηλονότι, ἀλλά τινα βλάβην. A.M. Ἄλλως. τὸ μέτρον ἐξ ἐλεγείων· τοῖς γὰρ ἐλεγείοις οὐ μόνον ἐπὶ θρήνων, ἀλλὰ καὶ ἐπὶ ἄλλων ἐχρῶντο. A.M.I. τὸ μέτρον ἐξ ἐλεγείου καὶ ἡρωϊκοῦ. G.

Ἰλίῳ αἰπεινᾷ : ὥσπερ Ὅμηρος ἐν τῷ ἔπει δέχεται τὴν αι, τὴν οι καὶ τὴν ω δίφθογγον ἀντὶ κοινῆς συλλαβῆς, οὕτω καὶ Εὐριπίδης. G.T.

104. εὐναίαν: σύγκοιτον. M.I. δηλωτὸν, πεπορθημένην. M.

1. ἰωνικὴ A.M. ἰωνικῶς ceteri.
2. τέρψεις] τέρψιας A.
3. στερεὸν hic B.M., post σκληρὸν I.
ib. δὲ om. M.
4. ᾧ δαίμονι om. M.
5. In M. est τὸ ἐξῆς, εἰς δούλειον ἦμαρ πεσόντα.
7.—10. χρὴ—ἀπήμων A.M. χρὴ δ' οὔποτ' εἰπεῖν. μήποτέ τις ἀνδρῶν πάντων ὄλβιον αὐδήσειεν τινὰ, πρὶν ἴδῃ πῶς μέλλει τελευτῆσαι. τούτοις συνᾴδει τὸ τέλος ὅσα (sic) μακροῦ βίου. G.
7. τούτῳ — βίου] τοῦτο συνᾴδει τὸ τέλος ὁρᾶν μακρὸν βίου A. in quo haec leguntur infra post πότμον ἀπήμων.
9. βροτὸν addidit Cobetus.
10. κεν addidi.
ib. κεῖνος Cobetus pro ἐκεῖνος.
13. ἐστὶν ᾠδὴ M. ἐστὶ τὸ δὴ A.
14. τὸ] Androm. v. 1.
ib. τραγῳδία—ᾀδόμενα] Corrupta vel defecta.
15. οὔτε ἐν] οὔτε τὰ A.
ib. θεοφορουμένῃ] θεοφορούμενα ᾗ M. Litera α similis est literae ω, sed accentus in syllaba antepenultima positus θεοφορούμενα esse ostendit.
18. Ἄλλως om. M.I. In I. lemma Ἰλίῳ αἰπεινῷ.
ib. ἐλεγείων] ἐλεγείας A.

106. χιλιόναυς: τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσατο· εἰσὶ γὰρ αἱ νῆες χίλιαι ροϛ'. A.B.M.I. ὁ πολλὰς νῆας ἔχων. B.M. Fl. 15.

Ἑλλάδος Ἄρης: ὁ Ἑλληνικὸς στρατός. B.M.

107. Ἕκτορα: ἀπὸ κοινοῦ τὸ εἶλεν. καὶ ἔστι τὸ μὲν ἀντὶ τοῦ ἐπόρθησε, τὸ δὲ δεύτερον ἀντὶ τοῦ ἀνεῖλεν. A.B.M. Fl. 6. 15. I. εἴρηται δὲ Ὁμηρικῷ ζήλῳ, ὡς τὸ

ἔνθ' ἑλέτην δίφρον τε καὶ ἀνέρε δήμου ἀρίστω.

καὶ Πίνδαρος δὲ ἐχρήσατο ἐν τῷ

ἕλε δ' Οἰνομάου βίαν παρθένον τε σύνευνον.

A.M.

108. εἵλκυσε διφρεύων: πρὸς τῷ δίφρῳ δεσμήσας. Καὶ ἄλλως. παρὰ τὴν ἱστορίαν· τρὶς γὰρ περὶ τὸ τεῖχος ἐδιώχθη ὑπὸ Ἀχιλλέως ὁ Ἕκτωρ, νεκρὸς δὲ περὶ τὸ Πατρόκλου σῆμα τρὶς ἐσύρη. A.B.M. Fl. 6. 15. I.

110. ἀμφιβαλοῦσα: περιβαλοῦσα, ἑαυτῇ τὴν δουλείαν στολισαμένη. M.I.

111. χροός: ἀντὶ τοῦ ὀφθαλμῶν. M.

113. ὁρᾶσθαι: ὁρᾶν. P.

114. δούλαν: λείπει τὸ ἐγενόμην. M. λείπει γενομένην, οὖσαν. B.

116. τάκομαι: ἀντὶ τοῦ κατ' ὀλίγον λείβομαι, ὡς ἐκ πέτρας ἐκπηδῶσα σταγὼν, ὡς λιβὰς πηγὴν ἐργαζομένη. Καὶ ἄλλως. ἀπὸ

2. χίλιαι ροϛ' A.M. ,αρο B. χίλιαι ρο' I. Mille et ducentae secundum Thucyd. 1, 10. ubi schol. ὁ μὲν Εὐριπίδης (h. l. et Orest. 352. Electr. 2.) καὶ Λυκόφρων (210.) χιλίας ναῦς λέγουσι τὸν Ἀγαμέμνονα ἀγαγεῖν, ὁ δὲ Ὅμηρος χιλίας ἑκατὸν ἑξήκοντα ἕξ. Naves 1186. ex Homeri Catalogo computat Eustathius ad Il. 2, 358. Alii aliter: v. Duker. ad locum Thucydidis.

5. ἀντὶ τοῦ post δεύτερον om. I., δεύτερον om. A.

ib. ἀνεῖλε] ἀνεῖλε καὶ εἵλκυσε I., sed omisso verbo εἵλκυσε in lemmate scholii v. 108.

6. ὡς τὸ] Il. 11, 328.

8. Πίνδαρος]Olymp. 1, 88. καὶ Πίνδαρος—σύνευνον om. A.

9. παρθένον] παρθένου M.

11. πρὸς—Καὶ ἄλλως om. A.B.M.

12. παρὰ τὴν] παρ' B.I.

ib. τρὶς γὰρ] τρίτον γὰρ A.B.M. Fl. 6. 15., om. I.

13. δὲ περὶ] γὰρ παρὰ I.

ib. σῆμα] σῶμα B.I. Fl. 6. 15.

ib. τρὶς] τρίτον M. Correctum hic et supra ex alio quod M. addit scholio, παρὰ τὴν ἱστορίαν τοῦτο λέγει. ἐδίωξεν γὰρ αὐτὸν τρὶς ἀπὸ τὸ τεῖχος, ἀπὸ δὲ τὸν τάφον τοῦ πατρόκλου νεκρὸν ἔσυρεν ὁ ἀχιλλεύς:—

22. Καὶ ἄλλως om. M. Καὶ ἄλλως —πηδῶσα om. I.

ib. ἀπὸ γῆς] ἀπὸ τῆς γῆς I.

γῆς πιδύουσα, ὅ ἐστι πηδῶσα. τὸ δὲ ἐξῆς, τήκομαι ὡς λιβὰς πιδακόεσσα, ἣν πετρίνην εἶπε διὰ τὸ ἀπὸ πετρῶν ἀναβλύζειν. A.B.M. Fl. 6. 15. I.

117. χρὴ γινώσκειν τάδε περὶ μέτρου, ὅτι, ὥσπερ τὸ ἑξάμετρον ἰαμβικὸν δέχεται τὰ ἴδια τοῦ δακτυλικοῦ καὶ τοῦ ἀναπαιστικοῦ, οὕτω καὶ τὸ παρὸν δακτυλικὸν μέτρον τοῦ χοροῦ χρῆται μὲν ἰάμβῳ, χρῆται δὲ ἀναπαίστῳ, ἔστι δ' οὗ καὶ τροχαίῳ· ἐν δὲ τοῖς ἄλλοις ποιηταῖς οὐκ ἂν εὕροις, ἀλλ' ἴδοις ἂν τὸ μὲν δακτυλικὸν ἐκ μόνου τοῦ δακτύλου καὶ σπονδείου, τὸ δὲ ἀναπαιστικὸν ἐκ μόνου τοῦ ἀναπαίστου, δακτύλου καὶ σπονδείου, ὡς Σοφοκλῆς φαίνεται ποιήσας ἐν τῷ πρώτῳ χορῷ, τὸ δὲ ἰαμβικὸν ἐξ ἀναπαίστου, δακτύλου, σπονδείου, ἰάμβου καὶ χορείου ἔστιν οὗ, τὸ δὲ τροχαϊκὸν ἐκ τροχαίου, σπονδείου, δακτύλου καὶ χορείου ἔστιν οὗ. οὗτος δὲ πάνθ' ὁμοῦ μίγνυσι· κώλοις δὲ χρῆται διαφόροις, νῦν μὲν ἑξαμέτροις, νῦν δὲ τετραμέτροις, νῦν δὲ διμέτροις. G.T.

117. δάπεδον: εἰς δάπεδον. P.

θάσσεις: ἐγκαθεζομένη ἱκετεύεις. B.M. Fl. 15.

119. Φθιὰς ὅμως: καίπερ Φθιὰς οὖσα καὶ Ἑλληνὶς ἦλθον πρὸς σὲ βάρβαρον οὖσαν τὸ γένος. A.B.I.

ποτὶ σάν: πρὸς τὴν σήν. P.

121. ἄκος: θεραπείαν καὶ ἴαμα. B.I. θεραπείαν τῶν δυσκόλων πόνων εὑρεῖν. M. Καὶ ἄλλως. ἀπὸ τῶν ῥιζοτομουμένων ἡ μεταφορά. τεμεῖν οὖν ἀντὶ τοῦ εὑρέσθαι. B.M.I.

1. πιδύουσα Matthiae collato Etym. M. p. 671, 23. pro ἐπιδύουσα.
ib. τήκομαι] λείβομαι I.
ib. τάκομαι—λείβομαι]τήκομαι κατ' ὀλίγον ἀντὶ τοῦ λείβομαι A.B. In M., omissis illis, τάκομαι—ἐργαζομένη, glossemata sunt (ad τάκομαι) ἀντὶ τοῦ λείβομαι. (ad ὡς πετρίνα) ὡς ἀπὸ πέτρας ἐκπηδῶσα σταγών. et τήκομαι κατ' ὀλίγον. In A. τάκομαι κατ' ὀλίγον ἀντὶ τοῦ λείβομαι ὡς ἐκ πέτρας πηδῶσα σταγών. στάγων: ὡς λιβὰς πηγὴν ἀπεργαζομένη. πιδακόεσσα λιβάς: ἀπὸ γῆς ἐπιδύουσα, ὅ ἐστι πηδῶσα. τὸ ἐξῆς τήκομαι ὡς λιβὰς πιδακόεσσα, ἣν πετρίνην εἶπε διὰ τὸ ἀπὸ πετρῶν ἀναβλύζειν:—
ib. λιβὰς] λιβάς τις I.
ib. πιδακόεσσα] πηδακόεσσα B.
2. ἀπὸ] ἐκ I.
5. ἀναπαιστικοῦ] ἀναπαίστου G.
9. τοῦ ἀναπαίστου] τοῦ om. T.
11. πρώτῳ] a^{ω} G.T. Carmen dicit Soph. Aj. 134.
18. καίπερ Φθιὰς] καίπερ φθίας B., omisso lemmate.
ib. καὶ Ἑλληνὶς ἦλθον A. φησὶν ἑλληνὶς ἔμολον B.I.
22. Καὶ ἄλλως addidi ex M. In B.I. lemma est τεμεῖν.
ib. ῥιζοτομουμένων] ῥιζοτομούντων I.
23. εὑρέσθαι] τῶν δυσκόλων add. B. Fl. 6. 15. I.

122. οἳ σὲ καὶ Ἑρμιόναν: οἵτινες πόνοι περὶ δύο λέκτρων ἔριδι συνέζευξαν Ἑρμιόνην καὶ σὲ τὴν ἐπίκοινον οὖσαν περὶ τὸν παῖδα τοῦ Ἀχιλλέως. Ἄλλως. ἐπίκοινον οὖσαν σὲ τῶν περὶ τὸν Ἀχιλλέως παῖδα λέκτρων διδύμων, ὅ ἐστι τῶν ὑπὸ τοῦ Ἀχιλλέως παιδὶ λέκτρων κοινωνόν σε οὖσαν. A.B.M. Fl. 6. 15. I.

συνέκλησαν: συνέβαλον, συνέζευξαν οἱ πόνοι περὶ δύο λέκτρων. A. B.I. συνέβαλον, συνέζευξαν. Καὶ ἄλλως. οἵτινες πόνοι σὲ καὶ τὴν Ἑρμιόνην συνέζευξαν περὶ δύο λέκτρων σὲ τὴν ἐπίκοινον οὖσαν περὶ τὸν παῖδα τοῦ Ἀχιλλέως. M.

123. τλάμονα: τὴν τλήμονα. P.

124. ἐπίκοινον ἐοῦσαν: κοινωνόν. P. περιττὴ ἡ μία ἀμφί, ἐὰν συνάψωμεν τὴν στιγμὴν, κοινωνὸν οὖσαν περὶ τὸν παῖδα τοῦ Ἀχιλλέως τῶν δύο λέκτρων. A.M.

127. ἀμιλλᾷ: συγκρίνεις, ὅτι σὺ μέν Τρῳὰς, αὕτη δὲ Λακεδαιμονία. M.I. ἐξισοῦσαι. B. ἀνθίστασαι. P. ἐν ἤθει. δεσπόταις φιλονεικεῖς καὶ ἀνθίστασαι. A.M.

128. ἐγγενέταις: ἐγγόνοις ἢ πολίταις. M. πολίταις ἢ ἐκγόνοις. P.

129. δεξίμηλον: τὸ τῶν θυσιῶν δεκτικόν. B.I.

130. τίς σοι καιρός: τί ὠφελῇ ἐκτήκουσα σαυτὴν δακρύοις καὶ λύπαις, καὶ ἐπαναγκάζουσα τὸν δεσπότην ἀδικεῖν σε. Καὶ ἄλλως. τίς καιρὸς ἀντὶ τοῦ ὠφέλεια. ἀτυζομένη δὲ αἰκιζομένη, λυπουμένη περὶ τὴν ἄτην ἀπρεπῶς καὶ ἐπιπόνως. B.M.I.

1. ἔριδι] ἔριδα A.
2. συνέζευξαν] συνέζευξεν M.
3. Ἄλλως addidi ex A.
ib. οὖσαν A.M. ἐοῦσαν ceteri.
ib. οὖσαν σὲ] σὲ om. I.
ib. τῶν περὶ] τὴν περὶ M.
ib. τὸν (τοῦ add. A.), ἀχιλλέως παῖδα A.M. τοῦ ἀχιλλέως παίδων ceteri. Recta scriptura est etiam in scholio breviore M. ἀντὶ τοῦ κοινωνοῦσαν τῇ Ἑρμιόνῃ τῶν περὶ τὸν Ἀχιλλέως παῖδα λέκτρων.
4. τῶν addidi ex A.
ib. ὑπὸ τοῦ] τοῦ om. I.
ib. παιδὶ A.M. παιδὸς ceteri.
11. περιττὴ — δύο λέκτρων] ἀμφὶ παῖδ' ἀχιλλέως: ἀμφὶ ἐὰν συνάψωμεν— τῶν διδύμων λέκτρων A.
15. ἐν ἤθει — ἀνθίσταται] ἐν ἤθει τοῦτο τὸ ἀμιλλᾷ φησὶ τοῖς δεσπόταις φιλονεικεῖν καὶ ἀνθίστασθαι A.
19. δεξίμηλον] In M. λεῖπε δεξίμηλον ἄγαλμα τᾶς ποντίας θεοῦ. λεῖπε τὸ . . . θεοῦ δεξίμηλον.
20. τίς σοι — τὸ καταφυγεῖν] τίς σοι καιρός: τὸ καιρὸς ἀντὶ τοῦ ὠφέλιμος. ὠφέλει ἀτυζομένη αἰκιζομένη λυπουμένη παρὰ τὸ ἄτην. οἷον τί ὠφελῇ — ἐπαναγκάζουσα τοὺς δεσπότας ἀδικεῖν σε. ἄλλως. τὸ καταφυγεῖν A.
ib. σαυτὴν] αὐτὴν I.
21. Καὶ ἄλλως] καὶ om. M.
22. τίς καιρὸς ἀντὶ τοῦ M. τίς σοι B.I.

δέμας ἀεικέλιον καταλείβειν: τήκειν ἀπρεπῶς καὶ ἐπιπόνως τὸ σῶμα. ὁ δὲ νοῦς τοιοῦτος, τὸ καταφυγεῖν σε ἐπὶ τὸν βωμὸν τῆς Θέτιδος βλάβην δάκρυα καὶ αἰκισμούς σοι προστρίψεται ἐκ τῆς τῶν δεσποτῶν ἀνάγκης, εἰ μὴ γνωσιμαχήσασα ἀνασταίης ἐκ τοῦ βωμοῦ καὶ ἐπὶ τὸ κολακεύειν τραπεῖ. A.M.T.

133. τὸ κράτος δέ σε πείσει: καταλήψεται. ἀντὶ τοῦ οἱ δεσπόται κατὰ σοῦ ἐλεύσονται· διὸ ὑποχώρει. M. πείσει: οἷον, ἂν ἐμοὶ οὐ πείθῃ, πεισάτωσάν σε οἱ δεσπόται. δυσωπήσει σε τὸ ἀπηνὲς τῶν δεσποτῶν. M. ἀντὶ τοῦ καταλήψεται κράτος· διὸ ὑποχώρει. τί κάμνεις, οὐδὲν οὖσα; δούλη γὰρ εἶ. B.T. ὅμοιον τὸ "οὐδὲν τὸ δοῦλον πρὸς τὸ μὴ δοῦλον γένος." τινὲς γράφουσι, τὸ κρατοῦν δέ σε πείσει· ἵν' ᾖ οὕτως, εἰ καὶ ἐμοὶ οὐ πείθῃ, πεισάτωσάν σε οἱ δεσπόται· δυσωπήθητι τὸ ἀπηνὲς τῶν δεσποτῶν. T.

134. τί μ' ἔχθον: δούλη οὖσα τί κάμνεις οὐδὲν οὖσα· δούλη γὰρ εἶ. B.M.I.

135. ἀγλαοὺ: ἀντὶ τοῦ ἀγλαήν. B.

136. γνῶθι δ' οὖσ' ἐπὶ ξένης: ἐπ' ἀλλοτρίας πόλεως. ἐπὶ ξένης εἰσὶν οἱ τὴν πατρίδα ἐάσαντες καὶ ἄλλης πόλεως ἐπιβαίνοντες, ἑκατέρων μέντοι τῶν πόλεων ὑπὸ ἑνὸς βασιλευομένων, ὡς οἱ ἐκ Φαρσαλίας εἰς Φθῖαν μεταβαίνοντες· ἄμφω γὰρ αἱ πόλεις ὑπὸ Πηλέα ἦσαν· ἐπ' ἀλλοτρίας δὲ εἰσιν οἱ ἄλλων πόλεων ἐπιβαίνοντες ὑπὸ διαφόρων βασιλευομένων, ὡς οἱ ἐκ Φθίας εἰς Λακεδαίμονα ἀπιόντες.

P. 136. l. 22. ἀτυζομένη δὲ M. δὲ om. I. ἀτυζομένη ἀντὶ τοῦ ταρασσομένη B. Fl. 6. 15.
ib. λυπουμένη] καὶ λυποιμένη I.
ib. περὶ] παρὰ B.
ib. ἄτην] αὐτὴν M.
1. δέμας—τοιοῦτος om. A.M.
ib. Gl. ἐπιπόνως, ἀπρεπῶς habet P.
2. τὸ καταφυγεῖν] ἄλλως praefixum in A.M.
3. δάκρυα M. καὶ δάκρυα T.
ib. αἰκισμούς A.M. αἰκισμόν T.
4. γνωσιμαχήσασα Matthiae. γνῶσι μαχήσασα A. γνῶς μαχήσασα M. γνώσει μαχήσασα T.
ib. ἀνασταίης ἐκ] In T. est ἄρα σταίης ἐκ, quod ἀνασταίης ἐκ scribendum erat, non ἀναστήσῃ ἐκ, quod Matthiae posuit. ἀποσταίης ἐκ A. ἀνάστα ἀπὸ M.
5. τὸ A.T. τῷ M.
ib. κολακεύειν τοὺς δεσπότας addit T.
ib. τραπεῖ M. τραπήσει A.T.
6. καταλήψεται] καταλείψεται M.
7. οἷον, ἂν—ἀπηνὲς] οἷον οὖν—ἀπειν̣ὲς M. Verba οἱονεὶ καὶ ἐμοὶ οὐ πείθῃ—οἱ δεσπόται sunt etiam in A. in quo haec praecedunt ἀλλ' ἴθι λεῖπε θεᾶς: κατάλειψον ἀντὶ τοῦ οἱ δεσπόται σου ἐλεύσονται, διὸ ὑποχώρει. γράψον (frequens codicis vitium pro γράφεται) δέ σε πείσει (pro δέ σ' ἔπεισι, quod conjecit Hermannus).
9. τί κάμνεις—γὰρ εἶ etiam in A.
10. ὅμοιον τὸ] Eurip. Or. 1115.
12. οὕτως Kirchhoff. pro ὅτι.
14. οὐδὲν οὖσα] οὐδὲν ποιοῦσα I.

ἡ μὲν γὰρ ὑπὸ Πηλέα, ἡ δὲ ὑπὸ Μενέλαον. οἱ οὖν ἐπ' ἀλλοτρίων πόλεων ὄντες πάντως καὶ ξένοι, οὐκέτι δὲ οἱ ἐπὶ ξένης ἐπ' ἀλλοτρίας· σὺ οὖν, φησὶν, ὦ Ἀνδρομάχη, καὶ ἐπὶ ξένης καὶ ἐπ' ἀλλοτρίας· ἐκ βαρβάρων γὰρ εἰς Ἕλληνας ἦλθες. A.M.

141. οἰκτροτάτα γάρ: λείπει ἡ εἰς, οἷον, οἰκτροτάτη οὖσα ἦλθες εἰς τοὺς δόμους. ἐπειδὴ εἶπεν, ὦ δυστυχεστάτη, παντάλαινα νύμφα, ἐπήγαγεν, οἰκτροτάτη γάρ, ἀντὶ τοῦ εἰκότως γάρ σε δυστυχεστάτην εἶπον, διότι οἰκτρὰ καὶ ἐλέους ἄξια παθοῦσα τῇ Θεσσαλίᾳ ἐπέβης. ἢ οὕτως, οἰκτείρω γάρ σε ἀκριβῶς δεινὰ πάσχουσαν, καὶ ἡ ἄφιξίς σου ἡ ἐνταῦθα ἐμοὶ μόνῃ λύπης πρόξενος γέγονεν. A.M. οἰκτροτάτα: ἐλέους ἐμοὶ ἀξία. M. οἴκους: εἰς τοὺς ἐμοὺς οἴκους. M.

οἰκτροτάτα γὰρ ἐμοί: ἤγουν οἰκτροτάτη οὖσα ἦλθεν εἰς τοὺς ἐμοὺς οἴκους. ἐπεὶ εἶπε δυστυχεστάτη πασῶν γυναικῶν τάλαινα νύμφα, ἐπήγαγεν, οἰκτροτάτη οὖσα Ἰλιὰς οἴκους, εἰς τοὺς ἐμοὺς οἴκους δηλονότι. G.T. τὸ δὲ νύμφα ἐν ἴσῳ τῷ γύναι. Fl. 6. 15.

γύναι Ἰλιάς: Ἰλιὰς οὖσα, ὦ γύναι. B.

142. ἐλεῶ σε, φησὶ, φοβουμένη τοὺς δεσπότας, ἡσυχάζω καὶ οὐκ ἐπιδείκνυμι τὴν εἰς σὲ συμπάθειαν. A. δεσποτῶν δ' ἐμῶν φόβῳ: ἀντὶ τοῦ διὰ τὸν φόβον τῶν δεσποτῶν ἡσυχάζομεν, μὴ δυνάμεναι τὴν πρὸς σὲ συμπάθειαν ἐνδείξασθαι. A.G.M.T.

143. ἡσυχίαν ἄγομεν: τὸ ἐξῆς, ἡσυχίαν ἄγομεν, μὴ παῖς τᾶς Διὸς κόρας, ἀντὶ τοῦ δεδοικυῖα μὴ τὴν εἰς σέ μου εὔνοιαν αἴσθηται ἡ Ἑρμιόνη, ἔνδοθέν γε μὴν ἀνιῶμαι περὶ σοῦ. A.M.I.

144. οἶκτον φέρουσα: τὸν δὲ περὶ σοῦ οἶκτον καὶ θρῆνον ἐν ἑαυτῇ τυγχάνω φέρουσα· ἐν ἑαυτῇ, δι' Ἑρμιόνην, μή πως καλῶς φρονοῦσαν αἴσθηται. δύναται δὲ καὶ τὸ κατάλληλον οὕτως εἶναι, τῷ δὲ φόβῳ

1. ἡ μὲν γὰρ ὑπὸ] ἦν γὰρ ὑπὸ M. Aptices ἦν γὰρ ἡ μὲν ὑπὸ —.
ib. οἱ οὖν scripsi pro οἷον.
5. οἰκτροτάτη—εἰς τοὺς ἐμοὺς δόμους etiam I.
6. νύμφα] νύμφη A.
7. γάρ, ἀντὶ—δυστυχεστάτη] ἀντὶ τοῦ εἰκότως δὲ δυστυχεστάτη A.
9. δεινὰ] οἰκτρὰ A.
10. ἡ om. A.
15. τῷ γύναι Matth. pro τὸ γύναι. Etiam in B. (ad νύμφα) ἐν ἴσῳ τὸ γύναι.
17. δεσπότας] ἄλλως praefixum in A.
18 δεσποτῶν] ἐμῶν δεσποτῶν T.G.
19. ἀντὶ — φόβον] τῷ δὲ φόβῳ A.
ib. ἡσυχάζομεν om. A., sed addit σιωπῶμεν post δυνάμεναι. post quae pergit, τὸ ἐξῆς ἡσυχίαν ἄγομεν etc.
ib. μὴ δυνάμεναι post ἐνδείξασθαι habent T.G.
21. τᾶς (τοῦ A.M.) Διὸς κόρας] τῆς διὸς κόρης I.
22. μου om. A.
23. ἔνδοθεν] γε μὲν (sic, non μὴν) addit M. In A. est γέ με, reliquis verbis obliteratis.

τῶν ἐμῶν δεσποτῶν ἡσυχίαν ἄγω δεδοικυῖα μὴ τὴν εἰς σὲ εὔνοιαν αἴσθηται Ἑρμιόνη· ἔνδοθέν γε μὴν ἀνιῶμαι κατὰ τὴν ψυχὴν περὶ σοῦ. G.T.

145. μὴ παῖς τᾶς Διὸς κόρας: τῆς Ἑλένης. B.M. ἀντὶ τοῦ ἡ Ἑρμιόνη ἡ παῖς τῆς Διὸς κόρης, τουτέστι τῆς Ἑλένης. T.

146. εὖ φρονοῦσαν: εὐνοοῦσαν. B.M.I.

147. κόσμον μέν: πρὸς τὸν χορὸν ταῦτά φησι προκατασκευάζουσα ὅτι ταῦτα πρεπόντως. A.M.

χρυσέας χλιδῆς: πολυτελείας, τρυφῆς. M.I. πολυτελείας. τὸν κόσμον τῆς χρυσέας χλιδῆς τὸν ἀμφὶ τῷ ἐμῷ κρατί. B.

148. στολμόν: τὸν στολισμὸν, τὴν ἐσθῆτα. M. στόλον. P. τὴν ἐσθῆτα. B.P.

150. ἀπαρχάς: οὐκ ἀπαρχὰς, οὐ δωρεὰς, οὐ φερνὰς ἔχουσα. αὐχεῖ δὲ ἐφ' οἷς τὰ τοῦ πατρὸς φορεῖ. ἐπίτηδες δὲ ὁ Εὐριπίδης τοὺς Λάκωνας κωμῳδῶν ὡς ἐχθροὺς τῶν Ἀθηναίων Λακωνικῷ προσώπῳ ἀλαζονικὰ ῥήματα περιάπτει. M. δωρεὰν, φερνήν. B.

152. δωρεῖται: χαρίζεται. B.

153. πολλοῖς σὺν ἔδνοις: ἔδνα νῦν ἐκάλεσε τὴν προῖκα καὶ τὰ τοῦ πατρὸς κειμήλια. ὁ Ὅμηρος οὐχ οὕτως, ἀλλ' ἐπὶ τῶν παρὰ τοῦ νυμφίου προσφερομένων τάσσει τὴν λέξιν "Ἰκαρίου, ὃς καὶ τὸς ἐεδνώσαιτο θύγατρα" ἀντὶ τοῦ ἔδνα λαβὼν ἐκδώσει. M.

ἐλευθεροστομεῖν: ἐλευθέρως λαλεῖ καὶ ἐξουσιαστικῶς, ὡς οἴκοθεν τὸν πλοῦτον κομίζουσα. A.M. μετὰ παρρησίας λαλεῖν. B. Fl. 6. 15.

6. εὐνοοῦσαν] ἐννοοῦσαν B.I.

7. ταῦτα—ὅτι π.] ταῦτα προκατασκευάζει ὅτι πρεπόντως A. Post πρεπόντως, omisso quod in M. est scholii finiti signo, A. pergit ἐλευθερίως λαλεῖ et v. quae v. ad v. 153.

9. πολυτελείας, τρυφῆς M. πολυτελοῦς τρυφῆς I.

10. κρατί] κράτει B.

11. στολισμόν etiam I.

13. ἀπαρχάς:—ἐφ' οἷς] δόμων ἀπαρχάς: δωρεὰς οὐ φερνὰς ἔχουσα αὐχεῖ ἐφ' οἷς A.

ib. φερνὰς] φρένας M.

14. αὐχεῖ — φορεῖ] Haec verba (omisso δέ) sunt etiam in G.T., sed αὐχεῖ in ἀτυχεῖ corrupto.

15. Λάκωνας A. κώλακας M.

ib. τῶν Ἀθηναίων] τοῖς ἀθηναίοις A.

ib. ἀλαζονικὰ—περιάπτει] καὶ ἀλαζονικὰ—προσάγει A.

19. Ὅμηρος] Od. 2, 53.

22. ἐλευθέρως] ἐλευθερίως A.

23. κομίζουσα] Addit A. οὕτω δὲ σύντασσε, ἀθλιωτάτε σὺ γύναι εἰς τοὺς ἐμοὺς οἴκους, τοὺς ἑλληνικοὺς, δηλονότι, ἔβης. τὸ γὰρ σὸν οἶκω φέρουσα τυγχάνω, δεσποτῶν δὲ ἐμῶν φόβῳ ἡσυχίαν ἄγω μήπως ὁ παῖς, scholio in fine defecto. Horum similia v. ad v. 143. Eodem referenda quae in A. supra πολλοῖς σὺν ἔδνοις leguntur διὰ τὸν φόβον τῶν ἐμῶν δεσποτῶν. Vid. p. 138,18.

ib. λαλεῖν] λέγειν Fl. 6. 15.

154. ἀνταμείβομαι: κατερῶ. M.

155. δορίκτητος: οὐδὲ οἰκογενὴς δούλη, ἀλλὰ καὶ αἰχμάλωτος οὖσα. ἐν ἤθει. B.M.I.

158. ἀκύμων: ἄτοκος, ἡ ὑποδεχομένη σποράν, μὴ γινομένη δὲ ἔγκυος. A.B.M.I.

159. δεινὴ γὰρ ἠπειρῶτις: ἀντὶ τοῦ βάρβαρος· τὰς γὰρ ἠπείρους βάρβαροι οἰκοῦσιν. M. ἡ ἠπειρῶτις ψυχὴ εἴτε Ἀσίας εἴτε Εὐρώπης. τὰς γὰρ ἑκατέρωθι ἠπείρους βάρβαροι οἰκοῦσι, τὰ δὲ παράλια μέρη Ἕλληνες ὡς ἐπὶ τὸ πλεῖστον. A. δεινὴ γὰρ εἰς φαρμακείαν ἡ φύσις τῶν τῆς ἑτέρας ἠπείρου γυναικῶν. λέγει δὲ τῆς Ἀσίας. A.M.B.I. δειναὶ γὰρ ἐν φαρμακείαις αἱ ἐκ τῆς ἑτέρας ἠπείρου γυναῖκες, λέγει δὲ τῆς Ἀσίας, ὅθεν ἦν ἡ Ἀνδρομάχη. G.T.

160. ὧν: φαρμάκων δηλονότι. B.M.

163. ἢν δ' οὖν βροτῶν: εἰ δέ τις θεῶν ἢ ἀνθρώπων σῶσαι θέλει σε, ποιήσει σε καταπτῆξαι καὶ ὑποτάξαι σαυτὴν ἐμοί. B.M.I.

θέλῃ: ἀντὶ τοῦ δυνηθῇ. Par. 2818.

164. ὀλβίων φρονημάτων: πλουσίων, παρρησιαστικῶν, ὑπερηφάνων. τοῦτο γὰρ ταῖς ὀλβίαις ἁρμόζει τὸ φρόνημα. M.

165. προσπεσεῖν: δουλεῦσαι, ταπεινωθεῖσαν ὑποπεσεῖν, φοβηθῆναι. B.M.I.

166. σαίρειν: καταστέλλειν, παρὰ τὸ σάρον, ὡς παρὰ Σώφρονι "τὸ σάρον ἄνελε." A.M. ἐκ χρυσηλάτων: πλουσίων, παρρησιαστικῶν καὶ ὑπερηφάνων. ταῦτα γὰρ ταῖς ὀλβίαις ἁρμόζει τὰ φρονήματα. A.

2. δούλη—αἰχμάλωτος] δούλη, ἀλλὰ αἰχμάλωτος δούλη B. Fl. 6. 15.

3. οὖσα, ἐν ἤθει addidi ex M.

4. ἡ ὑποδεχομένη σποράν (σπόρον A.) A.M. ἡ μὴ ὑποδεχομένη σπόρον B.I.

ib. μὴ γινομένη δὲ ἔγκυος addidi ex B.M. Fl. 6. 15., correctis eorum vitiis. Nam pro δὲ ἔγκυος in A. est δ' ἐκτός, in M. δεκτός, in ceteris δικτός.

7. εἴτε—εἴτε] ἤτε—ἤτε A.

9. δεινὴ γὰρ εἰς φ. A.M. εἰς φ. γὰρ δεινὴ B.I.

10. τῶν om. M. in quo mox γυναικῶν evanidum.

14. εἰ δέ] ἀντὶ τοῦ ἡ ζήτησις. ἄλλως. εἰ δέ M.

ib. ἢ ἀ.] εἰ ἀ. M.

ib. θέλει σε] θέλει M. θελήσειε B.I.

15. ποιήσει] ποιήσω I.

19. ταπεινωθεῖσαν post ὑποπεσεῖν B.I. In G.T est ὑποχωρῆσαι καὶ ὑποπεσεῖν (μοι add. G.) ταπεινωθεῖσαν, omissis δουλεῦσαι et φοβηθῆναί με.

ib. φοβηθῆναι] καὶ φοβηθῆναί με B.I.

21. παρὰ τὸ σάρον om. A. verba κ. παρὰ τὸ σαρόν (sic) etiam in G.

ib. ὡς παρὰ] ὥσπερ M.

ib. Σώφρονι τὸ σάρον (σαρόν M.)] σώφρονι σαρὼν A. Conf. Hesych. s.v. σάρον.

167. τευχέων: ἀγγείων. B. σημαίνει καὶ τὸ πολεμικὸν ὅπλον, σημαίνει δὲ καὶ τὸ ἀγγεῖον. A.

χερὶ σπείρουσαν: ἀντὶ τοῦ ῥαίνουσαν· ὡς γὰρ οἱ σπείροντες τὰ σπέρματα ῥίπτουσιν ἐν τῇ γῇ, οὕτω καὶ οἱ ῥαίνοντες τὸ ὕδωρ. A.M. G.T.

Ἀχελῴου δρόσον: τὸ ὕδωρ. A. Ἀχελῷον πᾶν ποτάμιον ὕδωρ φασὶν, ὡς δρῦν πᾶν δένδρον καὶ ἀκρόδρυα πάντας τοὺς καρπούς. A.M.

168. οὐ γάρ ἐσθ' Ἕκτωρ τάδε, οὐ Πρίαμος: ὁ λόγος νῦν, οὔτε ἐπ' ἀνδρὶ Ἕκτορι σεμνύνῃ οὔτ' ἐπὶ κηδεστῇ Πριάμῳ ὡς βασιλεῖ οὔτ' ἐπὶ πλούτῳ, ἀλλὰ δούλῃ γεγονυῖα τὰ δούλων ὀφείλεις φρονεῖν. A. G.M.T. τάδε: ἐνταῦθα. M.

169. Ἑλλὰς πόλις: ἀντὶ τοῦ Ἑλληνικὴ πόλις. B.M.

170. ἀμαθίας: ἀνοίας. ἀποφατικῶς ἀναγνωστέον. M.

171. παιδὶ πατρός: τῷ Νεοπτολέμῳ τῷ τοῦ Ἀχιλλέως παιδί. B.M.I.

172. αὐθέντου: αὐτοέντου, τουτέστι φονέως, τοῦ δι' αὐτοῦ ἱέντος τὸ ξίφος. A.B.M.I.

174. παῖς: ταῦτα Περσικὰ ἔθη. B.M.I.

175. οἱ φίλτατοι: οἱ συγγενεῖς. B.M.

176. χωροῦσι: ἀντὶ τοῦ ἔρχονται. M. ἐξείργει: ἐπέχει, κωλύει, αὐτοὺς δηλονότι· ὅτι οὐδεὶς νόμος κωλύει αὐτοὺς ταῦτα πράττειν. A.B.M.I.

177. ἃ μὴ παρ' ἡμᾶς: ἐν ἡμῖν μὴ πρᾶττε τῶν βαρβάρων τὰ ἔργα. B.M. Fl. 6. 15. I.

3. Gl. ῥαίνουσαν est in B.
ib. ὡς γὰρ οἱ—οὕτω A. ὡς γὰρ οἱ ῥίπτοντες τὰ σπέρματα σπείρουσιν ἐν τῇ γῇ, οὕτω M. ὡς γὰρ οἱ σπείροντες τῇ γῇ ῥίπτουσι τὰ σπέρματα, οὕτως G.T.
ib. τὰ σπέρματα post γῇ A.
4. ὕδωρ A.M. ὕδωρ φασί G.T.
6. Ἀχελῷον] δὲ addunt A.M., omisso lemmate.
ib. ποτάμιον] πότιμον A.
9. κηδεστῇ — ὡς βασιλεῖ] τῷ κηδεστῇ—τῷ βασιλεῖ G.T.
10. γεγονυῖα] γενομένη A.
12. ἀντὶ τοῦ om. B.
16. αὐτοέντου om. A.I.
ib. τ. φονέως] φονέως τ. A.
ib. αὐτοῦ] ἑαυτοῦ A.
18. ταῦτα (πάντα M.) Περσικὰ ἔθη hoc loco B.M., in I. ad v. 177. post lemma ἃ μὴ παρ' ἡμᾶς.
19. οἱ συγγενεῖς] ὡς συγγενής M.
20. ἐπέχει—] Totum scholion in B.I. et Fl. 6. 15. legitur post τὰ ἔργα (lin. 23.), sed omissis in I. verbis ἐπέχει—δηλονότι.
21. ὅτι M. οὓς I. Neutrum est in B.
ib. αὐτοὺς om. M.
ib. πράττειν] διαπράττειν A. δηλονότι πράττειν I.
23. ἐν ἡμῖν] δὲ addit I. quia in I. praecedunt verba ταῦτα Περσικὰ ἔθη, ut dictum ad v. 174.
ib. μὴ om. M.

179. ἐς μίαν: εἰς μίαν δέ· ὁ γὰρ ἀλλά ἀντὶ τοῦ δέ. M. εὐναίαν Κύπριν: εὐγενῆ τέρψιν σύγκοιτον δηλονότι. B.M. Fl. 15.

181. ἐπίφθονον: ἀντὶ τοῦ ἡ τῶν θηλειῶν φρόνησις ἐπίφθονος. Ἄλλως. θηλείας φρενός ἀντὶ τοῦ θήλεια φρήν. φθονερόν τι γένος ἡ γυναικεία φρήν. ἀλλὰ χρῆμα τῆς θηλείας. M.

182. ξυγγάμοισι: ταῖς ὑπὸ τοῦ αὐτοῦ ἀνδρὸς γεγαμηνέναις. B.M.

184. κακόν γε θνητοῖς τὸ νέον: διὰ τὴν προπέτειαν κακὸν τὸ νέον.

Ἡ νεότης ἀσύφηλος ἀεὶ θνητοῖσι τέτυκται,
εἰ δὲ δίκην βλάπτοι, πουλὺ χερειοτέρη. B.M.I.

186. δουλεύειν μέ σοι: ἀντὶ τοῦ ὑποχείριόν σοι εἶναί με. B.M.

187. λόγων ἀπώσῃ: τῆς παρρησίας με διώξεις. B.M.

188. ἦν δ' αὖ κρατήσω—ὄφλω: ὑπομείνω, ὑποστῶ. κατὰ κοινοῦ δὲ τὸ ταρβῶ. A.B.M. ὁ δὲ λόγος, ἐὰν ἐπιτύχω τῷ λέγειν, πάλιν εὐλαβοῦμαι μὴ μείζονα ἐμαυτῷ βλάβην πάλιν περιβάλω διὰ τὸ ἐξελέγξαι σε. A.

189. οἱ γὰρ πνέοντες μεγάλα: οἱ γὰρ μέγα φρονοῦντες βαρέως φέρουσιν ἐπὶ τῷ παρὰ τῶν ἐλασσόνων δικαιοτέρους λόγους ἀκούειν καὶ ἐλέγχεσθαι. A.B.M.I.

192. ἐχεγγύῳ λόγῳ: ἀσφαλεῖ λογισμῷ, ἀξιοπίστῳ, ἔχοντι ἐν ἑαυτῷ πίστιν. ὁ δὲ νοῦς, τίνι βεβαίῳ λογισμῷ πεισθεῖσα ἐγὼ ἀπωθῶ σε τοῦ γνησίου γάμου; A.B.M.I.

193. πεισθεῖσ' ἀπωθῶ: θαρρήσασα ἀποδιώκω, ἐκβάλω. B.M.

194. ὡς ἡ Λάκαινα τῶν Φρυγῶν μείων πόλις: ἐρωτηματικῶς μετὰ ὑποκρίσεως. τούτῳ δὲ ὑπακουστέον τὸ οὐ δήπου γε ἀντὶ τοῦ οὐ δήπου γε ἡ Λάκαινα πόλις μείων ἐστὶ τῶν Φρυγῶν. ὁ δὲ νοῦς, ἀντὶ

3. ἐπίφθονον —] In A. est χρῆμα θηλειῶν: ἀντὶ — ἐπίφθονος, ἐπίμεμπτος, ἐπίψογος, φθονερά. Ἄλλως. φθονερόν τι γένος ἡ γυναικεία φρὴν χρῆμα τῆς γυναικείας φρενὸς τὸ φθονεῖν:—

5. ἀλλὰ χρῆμα τῆς θηλείας] ἄλλοι δὲ γρ. χρῆμα θηλειῶν ἔφυ Kirchhoffius.

10. πουλὺ Matthiae. πολὺ B.M. Fl. 6. 15. πολλῷ I.

11. ἀντὶ τοῦ om. B.

ib. σοι εἶναί με] σ εἶναι B., omisso με.

12. διώξεις] διώξει B.

13. κατὰ — ταρβῶ] τὸ δὲ ταρβῶ κατὰ κοινοῦ A.

17. οἱ γὰρ μ.] γὰρ om. A.M.

ib. μέγα φρονοῦντες] μεγαλόφρονοῦντες A.I.

18. ἐπὶ τῷ] ἐπὶ τὸ M. ὑπὸ τῶν A.

20. ἀσφαλεῖ λογισμῷ om. A.M. In I. haec ut lemma posita sunt.

ib. ἀξιοπίστῳ] ἀξιοπίστως M.I.

ib. ἔχοντι] ἔχοντες A.

21. νοῦς] λόγος A.

23. ἐκβάλω om. B.

25. τούτῳ δὲ ὑπακουστέον] τοῦτο διυπακουστέον A.

τοῦ οὔτε κατὰ πόλεως δόξαν οὔτε κατὰ ἡλικίαν οὔτε κατὰ τύχην σοῦ βελτίων οὖσα πῶς σε ἀπωθῆσαι δύναμαι; A.M.

195. τύχῃ θ' ὑπερθεῖ: εὐτυχίᾳ ὑπερβαίνει. B.M.P. τῇ εὐδαιμονίᾳ ὑπερβάλλει ἡ Φρυγῶν πόλις τῆς Λακαίνης· ᾧ πάλιν ὑπακουστέον τὸ οὐ δήπου. ἀκολούθως δὲ ἐπάγει "κἄμ' ἐλευθέραν ὁρᾷς," οὐ δήπου αἰχμάλωτον. A.B.M.I. ναί, φησὶν, οἱἐμοὶ βασιλεύουσιν, οὐχ οἱ σοὶ παῖδες. I.

196. νέῳ: ἀκμαίῳ. P. σφριγῶντι: στερρῷ, ἀκμάζοντι. M.I.

197. μεγέθει: πλήθει. P. ἐπηρμένη: ἐπερειδομένη. M.P.

199. πότερον: πρὸς τί χρήσιμον ἀφορῶσα βούλομαί σε ἐκβάλλειν; ἵνα τέκω παῖδας; καὶ τί με ὠφελήσουσιν; δοῦλοι γὰρ ἔσονται καὶ αὐτοί. A.B.M.G.T.I.

200. ἐφολκίδα: προσθήκην κακῶν καὶ βάρος· ἐκ μεταφορᾶς τοῦ μικροῦ πλοίου τοῦ ἐφελκομένου τῷ μεγάλῳ. A.B.G.M.T.I.

201. ἢ τοὺς ἐμούς τις: ἢ ἆρα. διαπορητικὸς δὲ ὁ λόγος, ἢ ἆρα τυράννους ὄντας τοὺς ἐμοὺς παῖδας καταδέξεταί τις; B.M.I. πεισθήσεται, καταδέξεται. B.M.

203. φιλοῦσι γάρ μ' Ἕλληνες: καὶ δι' ἐμαυτὴν καὶ διὰ τὸν Ἕκτορα· Ἕκτορα μὲν ὡς εὐεργέτην τιμῶντες, ἐμὲ δὲ ὡς μὴ βάρβαρον καὶ οὐ πολεμίαν περιφανῆ αὐτοῖς γενομένην ἐλεοῦντες. A.B.M.I.

1. οὔτε (οὐ B. Fl. 6. 15.) κατὰ πόλεως—δύναμαι] Haec pars scholii est etiam in B. Fl. 6. 15. In I. nihil praeter verba βελτίω οὖσα. πῶς σε ἐξωθῆσαι δύναμαι. In A. ἀντὶ τοῦ οὔτε—τέχνην σοῦ βελτίων—ἐξωθῆσαι δύναμαι.

2. ἀπωθῆσαι] ἀπωθίσαι M. ἐξωθῆσαι A.B. Fl. 6. 15.

5. οὐ δήπου] οὐδέπω I.

ib. ἐλευθέραν] ἐλεύθερον M.

ib. οὐ δήπου αἰχμάλωτον om. B.I. Post οὐ δήπου αἰχμάλωτον pergit M. φιλοῦσι γάρ μ' οἱ Ἕλληνες καὶ δι' ἐμαυτὴν—ἐλεοῦντες:—quae v. ad v. 203.

6. οὐχ οἱ σοὶ Matth. pro οἱ ἐμοί.

8. στερρῷ M. νεάζοντι I.

10. πρὸς τί] πρὸς τὸ M.

ib. ἐκβάλλειν] ἐκβαλεῖν G.T.

11. καὶ τί με] καὶ τί μοι G.T.

ib. ἔσονται post αὐτοὶ I.

13. προσθήκην] ἤγουν (ἤτε T.) προσθήκην G.T.

ib. κακῶν καὶ (καὶ om. A.) βάρος] κακὸν βάρος I.

ib. βάρος] ἐν ἐμαυτῇ add. G.T.

ib. μεταφορᾶς] γὰρ add. B.

14. μ. (σμικροῦ A.) πλοίου] πλοίου μ. I.

ib. τῷ μ.] τῷ πλοίῳ τῷ μ. B.I.

15. ἢ ἆρα—λόγος addidi ex M. In eodem est gl. interl. ἆρα, διαπείρηται ὁ λόγος. In A. φθίας τύραννους: εἰ ἆρα τύραννους—ἀνέξαιτό τις.

18. γάρ μ'] γάρ μ' οἱ M.

ib. καὶ δι' ἐμαυτήν post Ἕκτορα B.I.

19. ὡς μὴ] εἰ ὡς μὴ A.

20. οὐ π. M. μὴ π. B.I.

ib. αὐτοῖς] αὐτὴν I.

ὅθεν εἰκὸς τοὺς Ἕλληνας νῦν με μισεῖν περιφανῆ πολεμίαν αὐτοῖς γενομένην. A.G.M.T. ὁ δὲ πᾶς λόγος ἐν εἰρωνείᾳ ἐστίν. ναί, φησὶ, βασιλεύουσιν οἱ ἐμοὶ παῖδες· φιλοῦσι γάρ με οἱ Ἕλληνες. A.

204. ἀμαυρά: ἀφανὴς, ἄσημος. ἐν εἰρωνείᾳ ταῦτά φησι. M.I.

κοὐ τύραννος ἦν Φρυγῶν: ἆρα, φησὶν, οὐκ οἶσθα ὅτι τὴν τύχην τύραννος ἦν ἐγὼ τῶν Φρυγῶν καὶ μισουμένη ὑπὸ τῶν Ἑλλήνων; A.G.M.T.

206. ἀλλ' εἰ ξυνεῖναι: τὸ εἰ ἀντὶ τοῦ ἐπειδή. A.M. ἀλλ' ἐπειδὴ μὴ ἁρμοδία τυγχάνεις εἰς τὸ συνοικεῖν ἀνδρὶ, διὰ τοῦτο μισῇ. A.B.M.I. ἐπιτηδεία: καταθύμιος, ἁρμοδία. B.M.

207. φίλτρον δὲ καὶ τόδε: τὸ εἰδέναι καὶ πῶς δεῖ συνοικεῖν ἀνδρὶ καὶ δι' ὧν εἰς στοργὴν καὶ εὔνοιαν αὐτὸν ἐπάγοιτο. οὐ γὰρ τὸ κάλλος αἴτιον τοῦ φιλεῖσθαι, ἀλλ' αἱ ἀρεταί. ἀρετὴ δὲ γυναικὸς ἡ πρὸς τὸν ἄνδρα ὁμόνοια. A.B.G.M.T.I. τόδε: τὸ ἐπιτηδείως ζῆν. P.

209. σὺ δ' ἄν τι κνισθῇς: σὺ δ' ἄν τι λυπηθῇς, ἀπὸ πατρίδος καὶ πλούτου καὶ τύχης ὑβρίζεις τὸν ἄνδρα σου. καὶ τὴν μὲν σαυτοῦ πατρίδα τὴν Λακεδαίμονα προφέρεις, ὡς εὐτύχημα μέγα, τὴν δὲ Σκῦρον ἐκφαυλίζεις. A.M.I.

1. τοὺς Ε. νῦν (νῦν om. A.) με μισεῖν] νῦν τοὺς Ε. μισεῖν νῦν με Fl. 6. 15.
ib. πολεμίαν] καὶ πολεμίαν Fl. 6. 15.
4. ἐν εἰρωνείᾳ ante ἀφανὴς M., omisso ταῦτά φησι.
5. ἆρα] ἄρα G.M.T. ὦρα A. In G.T. est οὐκ οἶσθα, φησὶ, τὴν τύχην ὅτι τύραννος etc., omisso ἄρα.
6. μισουμένη] μισοῦμαι M. μισούμενος A.
8. τὸ εἰ] ὁ εἰ M.
9. μισῇ A.M. σε μισεῖ B.I.
10. καταθύμιος] κατὰ θυμὸν B.
11. καὶ πῶς] καὶ om. G.M.
12. εἰς στοργὴν] ἱστουργεῖν M. εἰς ὀργὴν A.
ib. αὐτὸν] αὐτῶν M.
ib. ἐπάγοιτο] ἐπαγάγοιτο A. Fl. 6. 15.
13. ἀρετὴ δὲ] ἀρετὴ γὰρ G.T.
14. ὁμόνοια] Sequitur in B. τοῦτο τοῦ ἐμπρ μετ. i. e. τοῦτο τοῦ ἔμπροσθεν μετόπισθεν, quibus verbis significatur duo scholia proxima, literis α et β notata (ad v. 219. πάσαις γυναιξί. et 223.) quibus finitur folium 148 b, post scholia versuum priorum esse collocanda, quae folio 149 a. continentur.
16. σὺ δ' ἄν τι—] In A. hoc scholion in duo est divisum, σὺ δ' ἄν τι κνισθῇς: ἀντὶ τοῦ λυπηθεῖσα ὑπὲρ πατρίδος καὶ πλούτου ὑβρίζεις τὸν ἄνδρα σου. ἡ λάκαινα μὲν πόλις: ἀντὶ τοῦ τὴν μὲν σαυτῆς πατρίδα τὴν λακεδαίμονα προσφέρεις ὡς εὐτυχεῖ μέγα, τὴν δὲ σκύρον ἐκφαυλίζεις.
ib. λυπηθῇς gl. est in B.M.
18. προφέρεις Matth. pro προσφέρεις.
ib. τὴν δὲ σκύρον M. τὴν σκύρον δ' ceteri.
19. ἐκφαυλίζεις] ἐκ φαύλης M.

211. πλουτεῖς δ' ἐν οὐ πλουτοῦσι: ἀντὶ τοῦ πλουτεῖν λέγεις ἐν τοῖς πλοῦτον μὴ ἔχουσιν. ἐπεὶ ἡ Ἑρμιόνη ἔλεξεν ἀνωτέρω τὸν κόσμον καὶ τὴν ἐσθῆτα μὴ ἐκ τοῦ Πηλέως ἔχειν, ἀλλὰ παρὰ τοῦ πατρός. τοῦτο δὲ ἦν ὀνειδίζειν εἰς πενίαν τοῦ ἀνδρός. A.B.G.M.T.I. Ἄλλως. ἐν μὴ πλουτοῦντι τῷ Μενελάῳ· τοῦτο τείνει πρὸς τὰ ἀνωτέρω ῥηθέντα "κόσμον μὲν ἀμφὶ κρατὶ χρυσέας χλιδῆς." A.

212. ταῦτα: διά. B. rec.

214. ἄμιλλαν οὐκ ἔχειν: φρονήματος ἕνεκεν μὴ ἀμιλλᾶσθαι καὶ στασιάζειν πρὸς τὸν ἄνδρα, οἷον μὴ θέλειν τῷ εὐγενεστέραν ἢ πλουσιωτέραν εἶναι τοῦ ἀνδρὸς φρονεῖν μέγα, καὶ διὰ τοῦτο παρατετάχθαι τῷ ἀνδρὶ πρὸς ἄμιλλαν. A.B.M.I.

215. χιόνι τὴν κατάρρυτον: τὴν χιονιζομένην· δυσχείμερος γὰρ ἡ Θρᾴκη. A.B.G.M.T.

216. τύραννον: βάρβαρον ἔθος τὸ ἐπιπαλλακεύεσθαι. ταῦτα δὲ οὐκ ὀρθῶς· ἔφη γὰρ ἂν ἡ Ἑρμιόνη, ἀλλ' οὐκ ἐν Θρᾳξὶν οἰκοῦμεν ἢ βαρβάροις, ἀλλ' ἐν τῇ Ἑλλάδι, καὶ τοὺς τῶν Ἑλλήνων νόμους σώζομεν. A.G.M.T.

217. δίδωσι πολλαῖς: ὅπου πολλαῖς γυναιξὶν εἷς ἀνὴρ κοινωνῶν κατὰ διαδοχὴν δίδωσι τὸ λέχος αὐτοῦ. A.B.G.M.I.

218. ἀπληστίαν: ἀκολασίαν. ἀσέλγειαν. A.

καὶ πῶς, φησὶν, οὐκ ἔμελλες δόξαν λαγνείας ὑπερβαλλούσης ταῖς γυναιξὶ περιτιθέναι; τὸ δὲ προστιθεῖσα εἶπεν, ὅτι πρὸς τῷ δόξαν

1. ἀντὶ τοῦ add. M.
ib. πλουτεῖν λέγεις om. A.G.
ib. ἐν τοῖς πλοῦτον μὴ ἔχουσιν (ἔχουσα B.) A.B.G.M.T. ἐν τῷ πλοῦτον μὴ ἔχειν I.
2. ἐπεὶ A.G.M. ἐπειδὴ ceteri.
ib. ἡ Ἑρμιόνη om. I.
ib. ἔλεξεν] ἔλεγεν A.G.T.
3. τὴν ἐσθῆτα] τὴν om. M.
ib. παρὰ om. A. In G. ἀλλ' ἀπὸ—.
4. δὲ om. Fl. 6. 15. I.
ib. ἦν ὀνειδίζειν] ἦν ὀνειδίζεσθαι A. ἦν ὅτι ὀνείδιζεν αὐτὴν G.T. οὖν ὀνειδίζεις I.
5. ἀνωτέρω] 147.
8. φρονήματος ἕνεκεν add. B.M. Fl. 6. 15., om. I.
9. θέλειν M. θέλεις A. ἐθέλειν ceteri.
ib. τῷ A. τὸ ceteri. διὰ τὸ Matth.
ib. ἢ πλουσιωτέραν om. B.I.
10. φρονεῖν] φρονῶν I.
12. τὴν χ. addidi ex B.M.
14. ἔθος] δὲ ἔθνος A. δὲ ἦθος G.T.
ib. ἐπιπαλλακεύεσθαι] ἐπὶ πολλὰ κεύσεσθαι M.
ib. ταῦτα δὲ] τὸ δὲ A.
15. ἡ om. A.
ib. Θρᾳξὶν] θρηξὶν A.
ib. ἢ βαρβάροις] ἢ om. M.
18. ὅπου] ὅπως M. ὅσῳ A.
ib. κοινωνῶν et δίδωσι om. I.
21. ὑπερβαλλούσης om. I. ὑπερβάλλου (sic) A.
22. περιτιθέναι] τιθέναι B.I.
ib. πρὸς τῷ scripsi pro πρὸς τό.

ἔχειν αὐτὰς λαγνείας ἔτι καὶ συνεβεβαίωσεν ἂν ἔργῳ τὴν δόξαν. A. B.M.I. προστιθεῖσ᾽ : ἡ πρός ἀντὶ τῆς περί. M.

220. καίτοι χείρου᾽ ἀρσένων νόσον: καίτοι χειρόνως ἐκείνης μελλούσης λέγειν ὅτι οὐ δεῖ ἀντιποιεῖσθαι λέχους, προσλαβοῦσα τὴν ἀπολογίαν τῆς Ἑρμιόνης φησὶν, οἶδα ὅτι χεῖρον τῶν ἀνδρῶν ὀργῶμεν, ἀλλὰ καρτεροῦμεν. A.M. ἀλλὰ περιστέλλομεν τὴν νόσον καταφερέστεραι οὖσαι καὶ λανθάνομεν τοὺς ἄνδρας, ἀλλὰ καρτεροῦμεν. M. καίτοι, φησὶν, ἡμεῖς αἱ γυναῖκες καταφερέστεραι οὖσαι πρὸς τὰ ἀφροδίσια τῶν ἀνδρῶν, ὅμως καλῶς περιστέλλομεν αὐτὰ καὶ οὐ φανεραὶ γινόμεθα. ἢ οὕτως, ἰσχυροτέραν νόσον νοσοῦμεν τὴν πρὸς τοὺς ἄνδρας, ἀλλὰ προϊστάμεθα αὐτῆς καρτεροῦσαι καὶ ἐφ᾽ ἑνὶ μένουσαι. βούλεται δὲ λέγειν ὅτι οὐκ ὀφείλει γυνὴ ἀνδρὸς ἑτέρᾳ γυναικὶ συνομιλοῦντος οὕτω φανερῶς ἀγανακτεῖν ὡς καὶ εἰς μέσον φέρειν αὐτῆς τὸ πάθος, ἀλλὰ μᾶλλον ἰδίᾳ τῷ ἀνδρὶ ἐπιτιμᾶν, πειθοῖ τε καὶ κολακείᾳ ἀφιστᾶν αὐτὸν τῆς πρὸς τὰς ἄλλας πτώσεως. οὕτω γὰρ ἂν πείσειε τὸν ἄνδρα ἧπερ ἐναντιουμένη. A.B.M.I.

222. τὴν σὴν χάριν : λείπει ἡδιά, διὰ τὴν σὴν χάριν καὶ τὸ σοὶ κεχαρισμένον. A.

223. σοὶ καὶ ξυνήρων : συνεφερόμην σοι εἰς ἔρωτα. A.I. συνήργουν. B. rec.

224. καὶ μαστὸν ἤδη πολλάκις νόθοισι σοῖς : τοῦτο παρὰ τὴν ἱστορίαν φασὶν εἰρῆσθαι. μὴ γὰρ ἱστορεῖσθαι Ἕκτορι ἐξ ἄλλης

1. ἔχειν αὐτὰς] αὐτὰς ἔχειν A. Idem λαγνείας et ἂν ἔργῳ om. in lacuna.
ib. συνεβεβαίωσεν ἂν Matth. συνεβεβαίωσαν B.I. et sic vel συνεβεβαίωσεν A. συνεβεβαίωσις (sic) M.
4. ὅτι οὐ A. ὅτι οὖν οὐ M.
5. ἀνδρῶν M. ἀρσένων M.
6. ὀργῶμεν A. ὀρεγῶμεν M.
8. καίτοι—καταφερέστεραι] ἀλλὰ προὔστημεν καλῶς : ἀλλὰ περιστέλλομεν τὴν νόσον καὶ καταφερέστεραι A. Verba καίτοι—περιστέλλομεν etiam in G., praemisso προύστημεν : περιστέλλομεν τὴν νόσον.
10. φανεραὶ] φανερὰ M.
ib. οὕτως A. ὅτι ceteri.
12. ἐφ᾽ M. ὑφ᾽ ceteri.
ib. μένουσαι] μὲν οὖσαι A.
13. ἀνδρὸς — συνομιλοῦντος A.M. ἀνδρὶ—συνομιλοῦντι ceteri.
14. ὡς addidi ex A.M.
ib. μέσον] τὸ μέσον A.
16. οὕτω] οὕτως M. οὐ A.
ib. ἂν πείσειεν (πείσειε A.) A M. Aberat ἄν. μᾶλλον πείσειε Matthiae.
ib. ἧπερ (εἴπερ M.). ἐναντιουμένη addidi ex A.B.M. Fl. 6. 15.
22. τοῦτο] τουτέστιν M.
ib. παρὰ τὴν ἱ. A.M. παρ᾽ ἱ. I. In G. est ταῦτα παρὰ τὴν ἱστορίαν, ἐπεὶ οὐχ εὕρηται ἐξ ἄλλης γυναικὸς γεγενῆσθαι τῷ Ἕκτορι υἱόν.

γυναικὸς γεγενῆσθαι υἱούς. ἀπερίσκεπτοι δέ εἰσιν οἱ ταῦτα λέγοντες. A.M.I. Ἀναξικράτης γὰρ διὰ τῆς β' τῶν Ἀργολικῶν οὕτως λέγει "οἱ δ' ἀμφ' ἑνέαο καὶ Σκαμάνδριον τὸν Ἕκτορος υἱὸν καὶ παλαίτερον. ἦσαν δὲ αὐτῷ οὗτος μὲν νόθος, ὃς κατελήφθη ἐν Ἰλίῳ καὶ ἀπόλλυται, οὗτοι δὲ διασώζονται. Σκαμάνδριος δὲ ἀφίκετο εἰς Ταναΐδα. Αἰνείου δὲ Ἀγχίσης ὁ πατὴρ ἦ καὶ ἄλλοι τινὲς παῖδες αὐτῶν καὶ Ἀγέστας οἰκεῖος ὢν τῷ Ἀγχίσῃ καὶ Αἰνείας εἰς Δάρδανον μεταπίπτουσι." οὐκ ἀτόπως οὖν καὶ Εὐριπίδης νόθους φησὶν αὐτὸν ἐσχηκέναι παῖδας. M.I. νόθοισι : Αἰνείᾳ καὶ Σκαμάνδρῳ. B.

καὶ μαστὸν ἤδη πολλάκις : ὁποία ἦν ἡ Θεανὼ, ἡ Ἀντήνορος γυνή. Ὅμηρος

> Πηδαῖον δ' ἄρ ἔπεφνε Μέγης Ἀντήνορος υἱόν,
> ὅς ῥα νόθος μὲν ἔην, πύκα δ' ἔτρεφε δῖα Θεανὼ
> ἶσα φίλοισι τέκεσσι χαριζομένη πόσεϊ ᾧ.

A.G.M.T.

225. ἐνδοίην : παράσχοιμι, ἐμβάλοιμι. B.

226. προσηγόμην : ἐφιλοτιμούμην. M. ἐφειλκόμην. P.

227. ὑπαιθρίας : εἰαρινῆς. ἢ τὸν ἀέρα. M.

229. μὴ τὴν τεκοῦσαν τῇ φιλανδρίᾳ : τῇ περὶ τοὺς ἄνδρας σπουδῇ. λέγοι δ' ἂν Θησέα καὶ Μενέλαον καὶ Ἀλέξανδρον καὶ Δηίφοβον. ἔσχε δὲ μετὰ θάνατον ἢ ἐν ὀνείρῳ Ἀχιλλέα, ὡς καὶ Λυκόφρων "τῆς πενταλέκτρου θυάδος Πλευρωνίας." ἢ κατ' εἰρωνείαν

2. διὰ τῆς β' M. ἐν τῇ β' I. In sequentibus plura graviter corrupta.
3. οἱ δ' ἀμφ' ἑνέαο M. ὁ δὲ ἀμφινέα I.
4. κατελήφθη ἐν Ἰλίῳ] ἵ κατελήφθη M.
5. Ταναΐδα] τανεΐδα M. Sequentia usque ad finem scholii om. I.
6. Ἀγχίσης] ἀγχίσης M.
9. Σκαμάνδρῳ] Immo Σκαμανδρίῳ.
11. Ὅμηρος om. G. Est Il. 5, 69.
12. Πηδαῖον] πήδασον A.G.M.T.
ib. δ' ἄρ] μὲν οὖν G.T.
ib. Μέγης A. μέγ' M. μάγης T. μάγῖς G.
ib. υἱόν et ῥα om. A.
13. δῖα om. G.T.
ib. τέκεσσι] τεκέεσσι G.T.
14. ἶσα—πόσεϊ ᾧ om. A.
19. τοὺς ἄνδρας] τοὺς om. A.
20. λέγοι δ' ἂν M. λέγει δὲ A.B. I. Pars hujus scholii est in G. sine lemmate τὸν θησέα λέγει καὶ μενέλαον καὶ ἀλέξανδρον καὶ δηΐφοβον. κἀκεῖ γὰρ δοκοῦσα—δοκοῦσα φίλτρῳ—καταλείπης :—
ib. καὶ Ἀ.] καὶ om. B.I.
21. ἔσχε δὲ—Πλευρωνίας om. A.
ib. ἔσχε δὲ μετὰ M. καὶ μετὰ B. I. Pausan. 3, 19. p. 260. confert Barnes.
ib. Ἀχιλλέα M. ἀχιλλεὺς B.I.
ib. Λυκόφρων] V. 143.

λέγεται ἀντὶ τοῦ μισανδρίᾳ. κἀκείνη γὰρ δοκοῦσα φιλεῖν τὸν Μενέλαον ὕστερον αὐτὸν καταλέλοιπεν. ὅρα οὖν καὶ σὺ μὴ νῦν δοκοῦσα φίλτρῳ ζηλοτυπεῖν τὸν ἄνδρα ἐξαίφνης αὐτὸν καταλίπῃς. A.B.M.I. παρὰ τὰ πρόσωπα δὲ καὶ τοὺς καιροὺς ταῦτα· πῶς γὰρ οὐκ ἔμελλεν εἰς ὀργὴν καταστῆσαι τὴν Ἑρμιόνην κατὰ τῆς μητρὸς δυσφημοῦσα; A.M.

230. παρελθεῖν: νικῆσαι. B.M.

232. ὅσον σοι ῥᾳδίως: ὅσον σοι εὐκόλως καὶ δυνατῶς φαίνεται καὶ παρίσταται, ὅσον ἐνδέχεται. A.B.G.M.T.I.

233. συμβῆναι: φιλιωθῆναι. B.M.

234. τί σεμνομυθεῖς: τί πιθανολογεῖς, μεγαλορρημονεῖς, ἀντὶ τοῦ σεμνὴν καὶ ἀξίαν ἐντροπῆς καὶ ἀξιωματικὴν θέλεις σεαυτὴν δεικνύναι. B.M.I. μεγάλα λαλεῖς. M.P. κεἰς ἀγῶνα: ἀντὶ τοῦ εἰς φιλονεικίαν ἔρχῃ. B.I.

236. οὐκοῦν: πρὸς τὸ οὐχί ἐπήγαγεν, τουτέστιν, οὐκοῦν σώφρων ὑπάρχεις ἐν οἷς νῦν λέγεις. B.M.I.

238. αἰσχρῶν πέρι: λαγνείαν γὰρ αὐχεῖ ἐπικεκαλυμμένην σώφροσι λόγοις. A.B.M.I.

239. ὁρᾷς δέ μ': δι' ὧν ἔχεις τὸν ἐμὸν ἄνδρα. A.B.M.I.

240. οὐκ αἶ σιωπῇ: οὐ καθέξεις καθ' ἑαυτὴν τὴν κατ' ἐμὲ ζηλοτυπίαν καὶ σιωπῇ κρύψεις τὸ πάθος; A.B.M.I. Καὶ ἄλλως. εἰ

1. λέγεται] λἔ A. quod λέγει potius est.
2. δοκοῦσα] διὰ ταῦτα δή σε addunt B. Fl. 6. 15. et, omisso δή σε, I.
3. καταλίπῃς] καταλείπῃς M.
8. δυνατῶς] δυναστικῶς G.T.
ib. φαίνεται] φαίνεσθαι M.
9. καὶ παρίσταται om. A.
ib. ὅσον] ἀντὶ τοῦ ὅσον A.G.T.
11. τί π.] τί om. B.M.
ib. μεγαλορρημονεῖς] μεγαλορημονεῖς B.M.
12. σεαυτὴν] ἑαυτὴν B.I.
13. μεγάλα] μέγα P.
ib. ἀντὶ τοῦ B. Fl. 6. 15. καὶ I.
15. πρὸς τὸ—οὐκοῦν (scribe οὔκουν) addidi ex M. In B.I. hoc scholion sic incipit ὡς δὴ σὺ (σὺ om. I.) σώφρων ὑπάρχεις etc.
16. ἐν] ἐφ' M.
ib. οἷς νῦν λέγεις] οἷς νῦν λόγοις M. οἷς λέγοις I.
17. αὐχεῖ A. (in quo hoc scholion proximo est postpositum). αὐχῇ B.M.I.
ib. ἐπικεκαλυμμένην A. ἐπὶ κεκαλυμμένοις B.M.I.
ib. σώφροσι om. B.I.
18. λόγοις] λογισμοῖς A.
21. τὸ πάθος et καὶ ἄλλως om. M., sed lemma praeponit οὐκ αἶ σιωπῇ, quo praecedentia οὐ καθέξεις—κρύψεις carent, quia supra versum scripta sunt.

καὶ ἀλγεῖς τὴν ψυχὴν περὶ τῆς σῆς συνουσίας, σιωπᾶν ὀφείλεις, ἵνα μὴ δόξῃς διὰ λαγνείαν χαλεπαίνειν. B.M.I.

241. τί δ'; οὐ γυναιξὶ ταῦτα πρῶτα πανταχοῦ: τὸ μὴ περισῶν τὸν ἄνδρα εἰς ἄλλας γυναῖκας ἀποκλίναντα. A.M.T. πρῶτα πανταχοῦ: προτετιμημένα, περισπούδαστα πρωτεῖα. M.T.

242. καλῶς γε χρωμέναισι: οἷον μετὰ σεμνότητος καὶ ἐπιεικείας, ὡς πρέπει γυναιξίν, οὐ μετὰ τοσαύτης ἀναισχυντίας ὡς σύ. A. B.M.I. οἷον, ὅτε δι' αὐτὸ τὸ καλὸν καὶ τὸ πρέπον ἀπείργειν τῶν τοιούτων. A.M.

243. οὐ βαρβάρων νόμοισιν: Ἑλληνικὸν γὰρ τὸ παντὶ τρόπῳ ἀπείργειν τὸν ἄνδρα τῆς προτέρας κοινωνίας. A.B.M.I.

245. σοφή: κακοῦργος. M.

247. μισοῦν γε πατρίδα σήν: ναί, φησὶν, ὁρῶ τὸ ἄγαλμα οὐκ εἰς ἐμὲ βλέπον, ὡς σὺ φῂς, ἀλλὰ πολὺ μῖσος ἐμφαῖνον κατὰ τῆς σῆς πατρίδος, ὅτι ἐκεῖ ἀνῃρέθη ὁ Ἀχιλλεύς. A.B.M.I.

249. ἦ καὶ πρόσω: ἀντὶ τοῦ περαιτέρω καὶ ἐπὶ πλέον μοι θέλεις ὀνειδίσαι. A.B.I. Ἄλλως. ὄντως γὰρ τῶν πόρρω καὶ ἀνέκαθέν μου κακῶν ψαύσεις καὶ ὑπομνήσεις ὀνειδίζουσά μοι, ἀντὶ τοῦ καὶ τὰ δυστυχηθέντα τῇ μητρί μου εἰς μέσον ἄγεις. A.M.

2. χαλεπαίνειν B.M. Fl. 6. 15. χαλεπαίνουσα I.

3. τὸ (τοῦ Λ.) μὴ—ἄνδρα etiam B.

4. ἀποκλίναντα A.M. ὑποκρίνοντα T.

5. περισπούδαστα πρωτεῖα M. καὶ περισπούδαστα πανταχῶς I.

8. ἀπείργειν] ἀπεί̓ A. Quod ἀπείργει esse potest. Sed fortasse excidit aliquid. Nam in M. est καλὸν διο . . . . ἀπείργειν τὸν τοιοῦτον.

ib. τῶν τοιούτων] τὸν τοιοῦτον M.

11. ἀπείργειν] εἴργειν A.

14. βλέπον om. A.

16. ἀντὶ τοῦ om. A.

ib. καὶ ἐπὶ πλέον add. B. Fl. 6. 15., om. I. Gl. πλέον est in M.P.

17. ὀνειδίσαι] ὀνειδίσειν I.

ib. Ἄλλως om. M.

19. εἰς μέσον ἄγεις om. A. Sequitur in A. scholion futile recentius ad 250. ἰδοὺ σιωπῶ: τὸ ἰδού ἐπίρρημα ἀπὸ τοῦ ἰδοῦ προστακτικοῦ ῥήματος τοῦ σημαίνοντος τὸ θέασαι. δεινοήθως δὲ προήχθη εἰς χρῆσιν. ἡ δὲ διαφορὰ ἀμφοῖν ὁ τόνος ἐστί. τοῦ γὰρ πρωτοτύπου περισπωμένου τὸ ἰδού ἐπίρρημα ὀξύνεται πρὸς ἀντιδιαστολήν. τοιοῦτόν ἐστι καὶ τὸ ἰού· καὶ αὐτὸ γὰρ ἀπὸ τοῦ ἰοῦ, ὃ σημαίνει τὸ παρεγένου καὶ ἦλθες, πορήχθη, ἐκεῖνο δὲ ἐκ θέματός ἐστι τοῦ ἴημι. κανονίζονται δὲ ἄμφω οὕτως. εἶδω, ὁ μέλλων εἴσω, ὁ ἀόριστος εἶσα, πάντα ἄχρηστα. ὁ δεύτερος ἴδον, ὁ μέσος ἰδόμην, τὸ δεύτερον ἴδου, καὶ τὸ προστακτικὸν αὐτοῦ ἰδοῦ ἰδέσθε ἰδέσθωσαν. ἔστι δὲ καὶ χρῆσις αὐτοῦ παρ' Εὐριπίδῃ ὡς τὸ "ἰδοῦ με κανάθρησον οἷ' ἔχω κακά." ἐκεῖνο δὲ ἴημι, ὁ μέλλων ἴσω, ὁ δεύτερος ἄόριστος ἦν. ὁ μέσος ἰόμην ἴου καὶ τὸ προστακτικὸν ἰοῦ ἀντὶ τοῦ ἐλθέ. καὶ ἐντεῦθεν τὸ ἰού τὸ σχετλιαστικόν. ὀξύνονται δὲ κατὰ τὸν

250. κἀπιλάζυμαι: λαμβάνομαι τὸ στόμα, κλείω, κατέχω. B.M.I.

251. οὕνεκ' ἐστάλην: οὗτινος χάριν παρεγενόμην. B.I. οὗπερ ἐνθάδ' ἱκάνω: γρ. ἕνεκ' ἐστάλην. P.

254. εἰ μὴ θανοῦμαι: οὐ καταλείψω τὸ τέμενος τοῦ θεοῦ, εἰ μή ποτε ἀποθάνω, καὶ τὸ λείψανον λειφθῇ ἐντεῦθεν, ἐπεὶ οὐ θέμις ἐν ἱερῷ νέκρὸν σῶμα. εἰ δὲ μὴ ἀποθάνω, ἀλλ' ἐν ζῶσι τυγχάνω, οὐκ ἄν ποτε τοῦτο λείψω. A.B.M.I.

256. πρόσθεν ἐκδώσω: προδώσω ἐμαυτὴν πρὶν ἐλθεῖν τὸν Πύρρον. B.M. Fl. 6. 15. ἀλλ' οὐδὲ ἐγὼ ἐμαυτὴν ἐκδώσω σοι πρὶν ἐλθεῖν τὸν ἄνδρα σου. A.M.

257. πῦρ σοι προσοίσω: ὅτι ἔθος ἦν πῦρ προσφέρειν τοῖς εἰς βωμὸν καταφεύγουσι. κοὐ τὸ σόν: καὶ οὐ τὸ σὸν συμφέρον προνοήσω. B.M.I.

259. ἀλγηδόνας: προσοίσω ἀπὸ κοινοῦ. P.

260. αἱμάτου: ἀντὶ τοῦ αἵμασσε, ὡς χρύσου· ὅτε δὲ περισπᾶται, παθητικόν ἐστιν. ᾑμάτουν ᾑμάτους ᾑμάτου δὲ ὥσπερ ἐχρύσουν ἐχρύσους ἐχρύσου. M. μέτεισι: μετέρχεται. B.M.I. ἐξελεύσεται. B. μετεξελεύσεται. I. τιμωρήσει. B. rec. P.

κανόνα πᾶσα διὰ διφθόγγου τέλειον εἰς ῡ λήγουσα καὶ ἐφ' ἑαυτοῦ ἔχουσα τὸν τόνον περισπᾶται πλὴν τοῦ ἰδού καὶ ἰού. οὗτως τὸ μὲν ἰδού καὶ ἰού πρὸς ἀντιδιαστολὴν τῆς οὖ ἀντωνυμίας ἢ τοῦ οὖ ἄρθρου ὑποτακτικοῦ. ἤρκει γὰρ πρὸς τοῦτο τὴν ἀντιδιαστολὴν τὸ πνεῦμα. ἐκείνων γὰρ δασυνομένων τοῦτο ψιλοῦτοι, ἀλλὰ διὰ τὸ μηδὲν σημαίνειν καὶ ἀνυπαρξίας εἶναι δηλωτικὸν τὸ οὖ ὁ τόνος ὁ ἀσθενέστερος ἐπετέθη αὐτῷ ὁ δυνάμενος καὶ μεταβάλλεσθαι καὶ παντελῶς ἀποτίθεσθαι. μεταβάλλεται γὰρ εἰς βαρεῖαν ὡς ἐν συνεπείᾳ ἀποτίθεται παντελῶς ἐν τοῖς ἐγκλινομένοις, ὡς τὸ ἐγώ εἰμι, ὀξύνεται δὲ ἀεὶ καὶ οὐδέποτε βαρύνεται τὸ οὖ διὰ τὸ σχῆμα καὶ τὴν ἀνάτασιν τῆς κεφαλῆς τοῦ ἀπαρνουμένου. ὁ μὲν γὰρ κατατιθέμενος καὶ τὸ ναί λέγων διὰ σχήματος τὴν κατάθεσιν ποιούμενος κλίνει τὴν κεφαλήν, ὁ δὲ ἀπαρνούμενος πρὸς τὸ ὄρθιον σχηματίζει αὐτήν.

5. οὐ καταλείψω B.M. Fl. 6. 15. ἐγκαταλείψω I. οὐκ ἄρα καταλείψω A.
ib. θεοῦ] εἰ μὴ θανοῦμαι addit I.
ib. μήποτε] μήτε A.
6. λείψανον] λεῖψαν A.
ib. λειφθῇ] ληφθῇ B.
ib. ἱερῷ] νεκρῷ A.
7. σῶμα] εἶναι add. A.
ib. ποτε post τοῦτο A.
8. τοῦτο ante ἄν ποτε M.
9. πρὶν] πρὸ τοῦ M.
10. ἀλλ'—ἄνδρα σου] ἀλλ' οὐκ ἐγὼ μέν: ἀλλ' οὐδὲ ἐγὼ ἐμαυτὴν ἐκδοίην σοι πρὶν ἐλθεῖν τὸν ἄνδρα σου A.
12. ὅτι om. B.I.
ib. πῦρ προσφέρειν post καταφεύγουσι B.I.
13. καὶ οὐ om. B.M.
17. ᾑμάτουν—ἐχρύσου] ᾑμάτους ᾑματου ᾑματουμένην δὲ ὥσπερ—ἐχρύσου χρυσοῦ M.

261. ὦ βάρβαρον: ὦ βάρβαρε καὶ ἀναιδεστάτη. A.B.M.

262. ἐγκαρτερεῖς: τολμᾷς καὶ φέρεις. A.M.P.

264. δέλεαρ: ἄγρευμα, ἀπὸ μεταφορᾶς τῶν ἰχθύων. A.B.M.I.

266. ἑδραία: ἰσχυρῶς καθιδρυμένη. B.M.I.

τηκτὸς μόλυβδος: τοῖς γὰρ ἀνδριᾶσι πρὸς ἀσφάλειαν μόλυβδος περιχέεται. A.B.M.I.

269. δεινὸν δ' ἑρπετῶν: δεινὸς δυνατός. ὁ δὲ νοῦς, δυνατόν ἐστι τῶν θεῶν τινα τῶν μὲν ἀγρίων θηρίων θεραπείας καταστῆσαι τοῖς ἀνθρώποις, τῆς δὲ δεινοτέρας γυναικὸς οὐδεὶς εὑρίσκει γυναικὸς θεραπείαν. A.B.M.I. Ἄλλως. δεινόν ἐστι τῶν θεῶν τινα τῶν μὲν ἀγρίων θηρίων θεραπείας καταστῆσαι τοῖς ἀνθρώποις, τῆς δὲ γυναικὸς τῆς δεινῆς μὴ εὑρεῖν θεραπείαν. B.M.I.

271. περαιτέρω: χείρονα. M.

272. γυναικός: ἀντὶ πληθυντικοῦ τῶν γυναικῶν. ὁ δὲ νοῦς, τῶν δὲ γυναικῶν οὐδεὶς φάρμακα ἐξεύρηκέ πω. A.B.M.I.

2. καὶ om. P.

3. δέλεαρ] τὸ δέλεαρ τὸ B.

5. πρὸς ἀσφάλειαν in fine scholii B.I., om. A.

ib. μόλυβδος] μόλιβδος A.B. μόλιβος I.

6. περιχέεται] ἐπιπεριχέεται A. περιχεύεται B. περιέχεται M. παραχέεται I.

7. δεινὸν δ' ἑρπετῶν—θεῶν M. δεινῶν δ' ἑρπετῶν. δεινὸν ἐστὶ τῶν θεῶν I. et, omisso lemmate, B. Cum M. consentit P. nisi quod habet δεινὸν ἀντὶ (addc τοῦ) δυνατόν. In A. πέποιθα. πέποιθα αὐτῷ. δεινὸν δὲ ἀντὶ τοῦ δυνατόν ὁ δὲ νοῦς δυνατόν ἐστι τινὰ τῶν θεῶν τῶν μὲν etc. Ad δεινόν in M. est gl. interl. δυνατόν.

8. θεραπείας] θεραπείαν Heathius et ut videtur A.M.

ib. τοῖς ἀνθρώποις om. A.M.

9. τῆς δὲ—εὑρίσκει A.M. τῆς δὲ γυναικὸς τῆς δεινῆς (τῆς ἀακῆς Fl. 6. quod est κακῆς) μὴ εὑρεῖν B.I.

10. ἄλλως. δεινόν M. καὶ ἄλλως. δυνατόν B.I.

11. θεραπείας M. θεραπείαν B.I.

ib. τοῖς ἀνθρώποις om. B.I.

ib. τῆς δὲ—θεραπείαν M. τῆς δὲ δεινοτέρας γυναικὸς οὐδεὶς εὑρίσκει (εὑρήσει I.) θεραπείαν B.I.

14. πληθυντικοῦ τῶν γυναικῶν M.P. τοῦ γυναικῶν πληθυντικῶς B.I. In A. est τὸ δὲ γυναικὸς ἀντὶ πληθυντικοῦ, τὸ δὲ γυναικῶν οὐδεὶς etc.

15. φάρμακα] φάρμακον A.B.I.

ib. πω] Flor. 6. addit: ἅπερ γύναι ἐστὶν ἐχίδνης καὶ πυρὸς περαιτέρω. [Recte in M. ἅπερ γύναια ἐστὶν etc. Explicare per γύναια scholiasta conatur singulari feminino γυναικός respondens plurale neutrum ἅ, ut monet Leutingius. In A. est τῶν γυναικῶν, ἅπερ γύναιά ἐστιν ἐχίδνης καὶ πυρὸς περαιτέρω.] In Flor. 15. ad γυναικὸς ὧν —κακῆς adscriptum est γυναικὸς— ὧν κακῆς. In codice Taur. hae annotationes metricae sunt ad singulos proximi carminis versus interlineares: v. 274. δακτυλικὸν τὸ πρῶτον κῶλον. v. 275. ἰαμβικὸν τὸ β'. v. 276.

274. ἦ μεγάλων : ὄντως μεγάλων κακῶν ἐγένετο ἀρχή. M.

276. ὁ Μαίας τε καὶ Διὸς τόκος : ὁ Ἑρμῆς· μέμνηται δὲ τῆς ἱστορίας ἐκείνης, ἔνθα περὶ τοῦ μήλου ἦλθον κριθησόμεναι Ἥρα καὶ Ἀθηνᾶ καὶ Ἀφροδίτη παρὰ τῷ Πάριδι. τοιαῦτά ἐστι καὶ τὰ παρὰ Σοφοκλεῖ ἐν τοῖς Ποιμέσιν "Ἴδης δήποτε μηλοτρόφωι ἀγενναι τὴ ει τὴν τῆς Ἴδης τριολύμπιον ἄρμα." ἔνιοι δὲ διεψεῦσθαί φασι τὴν κρίσιν τῶν θεῶν, καθάπερ γράφει Ἀντικλείδης. τρία γάρ ἐστι τῶν ἐπιχωρίων γύναια τὰ εἰς τὴν τῆς εὐμορφίας κρίσιν καταστάντα. M.

ὁ Μαίας τε καὶ Διὸς τόκος : ὁ Ἑρμῆς. μέμνηται δὲ τῆς ἱστορίας ἐκείνης, ἔνθα περὶ τοῦ μήλου ἦλθον κριθησόμεναι Ἥρα καὶ Ἀθηνᾶ καὶ Ἀφροδίτη. Χρύσιππος δὲ ἐν Ἠθικῶν δεκάτῳ λογισάμενον τὸν Πάριν τίνων δεῖ μᾶλλον ἀντέχεσθαι, πολεμικῆς ἀσκήσεως ἢ ἐρωτικῆς ἢ βασιλείας, νεῦσαι αὐτὸν μᾶλλον εἰς τὰ ἐρωτικὰ καὶ οὕτως τὸν περὶ κρίσεως μῦθον συντεθῆναι. A.

278. τὸ καλλιζυγές : τὸ κάλλιστον. B.M.

279. ἔριδι : τὸ ἐξῆς ἔριδι εὐμορφίας. B.M.

κεκορυθμένον : ηὐξημένον, ἐπῃρμένον. M.P.

281. σταθμοὺς ἐπὶ βούτα : ἐπὶ τὰς ἐπαύλεις τοῦ βουκόλου Πάριδος, καὶ πρὸς αὐτὸν τὸν μονότροπον νεανίαν βουκόλον, καὶ πρὸς

ἰαμβικὰ τὰ γ′ κῶλα (om. ὁ). v. 279. ἀναπαιστικὰ τὰ γ′ κῶλα. v. 282. ἰαμβικὰ τὰ β′ κῶλα. v. 283. ἐν τοῖς τοιούτοις μέτροις οὐ δεῖ τὴν β (i. e. δευτέραν) χώραν ἰαμβικὴν ἔχειν, εἰ μὴ μόνον πλεονάζειν τοὺς ἰάμβους τῶν σπονδείων. v. 284. δακτυλικὰ κῶλα β′. v. 286. ἰαμβικὸν δακτυλικόν. v. 287. ἰαμβικὰ κῶλα β′. v. 289. ἀναπαιστικὰ κῶλα β′. v. 291. ἰαμβικὰ κῶλα β′. v. 292. (βίου Φρ. π.—Τροίας) ἰαμβικὸν καταληκτικὸν εἰς μονοσυλλαβείαν. v. 294. (ἀλλ' εἴθ' ὑπὲρ κεφ. Ἔβαλεν κακὸν ά) ἀναπαιστικὰ κῶλα β′. v. 295. (τεκοῦσά νιν Π. πρ. Ἰ. Κατοικ. λ.) ἰαμβικὰ κῶλα β′. v. 297. ἀναπαιστικόν. v. 298. ἰαμβικόν. v. 299. ἀναπαιστικόν. v. 300. ἴαμβος. v. 301. ἰαμβικόν. v. 302. δακτυλικόν. v. 303. ἰαμβικὰ κῶλα β′. v. 305. ἀναπαιστικόν. v. 306. ἰαμβικόν. v. 307. ἀναπαιστικόν. v. 308. ἴαμβος. v. 309. ἰαμβικόν. MATTH.

3. περὶ addidit Cobet.

5. τοῖς Ποιμέσιν] Fragm. 461 b. Verba poetae corrupta.

ib. δήποτε] δήπογε M.

ib. μηλοτρόφωι] Sic M. cum iota adscripto.

6. τριολύμπιον ἄρμα] Annotavit Hesychius s. h. v. omisso poetae nomine.

7. γράφει Cobetus pro γάρ.

11. Ἠθικῶν δεκάτῳ Cobetus. ἠθικῷ A.

ib. λογισάμενον] λογισάμεν (i. e. λογισάμενος) A.

13. βασιλείας] βασιλικῆς Cobetus.

18. ἐπὶ τὰς] τρίπωλον ἄγων ἅρμα ἐπὶ τὰς Flor. 6.

τὴν αὐλὴν τὴν οἰκουμένην μὲν, ἔρημον δὲ γυναικὸς καὶ παίδων, ἤτοι ἐν ἐρημίᾳ οὖσαν. A.B.M.I. ἐπὶ τὰς ποιμενικὰς ἐπαύλεις. B.M.

282. βοτῆρα : ποιμένα, βουκόλον. βουκόλοι δὲ κοινῶς οἱ νομεῖς, ἀπὸ τοῦ ἐπιφανεστέρου ζώου. B.M.I.

283. ἑστιοῦχον : τὴν ἔπαυλιν τὴν ἔχουσαν ἐν αὐτῇ οἴκησιν. A. M. ἑστίαν ἔχουσαν ἐνοικουμένην. διαφέρει δὲ σταθμὸς καὶ αὐλή· ὁ μὲν γὰρ σταθμὸς θρεμμάτων, ἡ δὲ αὐλὴ ἀνδρῶν οἰκητήριον. A.B.I.

285. οὐρειᾶν : ὀρεινῶν πηγῶν ῥεύματι ἐλούσαντο τὰ λαμπρότατα αὐτῶν σώματα. P.

287. ἔβαν δὲ Πριαμίδαν : λείπει ἡ πρός. B.M. ἔβαν δὲ πρὸς τὸν Πριαμίδαν Ἀλέξανδρον, ἐπαγγελίαις λόγων βλαπτόντων αὐτὸν καὶ τὴν πόλιν αὐτοῦ ἀπατῶσαι καὶ ἐφελκόμεναι. A.B.M.I.

ὑπερβολαῖς λόγων δυσφρόνων παραβαλλόμεναι : τινὲς γράφουσι δυσφόρων, ἵν' ᾖ ὑπερβολαῖς λόγων δυσφόρων ἑαυτὰς ὑβρίζουσαι, ὡς εἰ ἔλεγεν ἐριστικοῖς λόγοις διαμαχόμεναι πρὸς ἀλλήλας καὶ οἷον παραβάλλουσαι τὰ κάλλη ἀλλήλων καὶ συγκρίνουσαι ἐν φιλονεικίᾳ. A.M.

288. δυσφόρων : βλαπτικῶν. B.M.T.

289. παραβαλλόμεναι : παραβάλλουσαι τὰ κάλλη ἀλλήλων καὶ συγκρίνουσαι ἐμφιλονείκως. Ἄλλως. ἀντὶ τοῦ ἐρεθίζουσαι, ὡς ὁ ποιητὴς "παραβλήδην ἀγορεύων." τινὲς δὲ παραλογιζόμεναι ταῖς ἐπαγγελίαις καὶ ἀφαιρούμεναι αὐτὸν τοῦ φρονεῖν. B.M.I. ἐριστικοῖς λόγοις διαμαχόμεναι πρὸς ἀλλήλας. T.

1. ἤτοι] ἢ τὴν M. ἢ A.
2. ἐν ἐρημίᾳ A.B.M. Fl.6. ἐρημία I.
3. ποιμένα βουκόλον om. I.
ib. δὲ om. B.I.
5. αὐτῇ] αὐτῇ A.M.
10. αὐτῶν] αὐτῶν P.
11. ἡ πρός] πρόθεσις addit B.
ib. ἔβαν δὲ πρὸς τὸν A.B.M. ἦλθον δὲ πρὸς τὸν I.
12. Πριαμίδαν (πριαμίδην A.)] υἱὸν τοῦ Πριάμου I.
ib. ἐπαγγελίαις Barnes. pro ἐπαγγελίας.
ib. λόγων] λόγω I. λόγον A.
ib. βλαπτόντων αὐτὸν M. αὐτὸν (αὐτῶ B.) βλαπτόντων B.I. βλαπτόντων om. A.
13. αὐτοῦ A.B.M. αὐταὶ I.
17. ἐν φιλονεικίᾳ A. ἐμφιλονεικία M. Conf. lin. 21.
20. παραβαλλόμεναι (δὲ addit B.) —Ἄλλως om. A.M.
ib. παραβάλλουσαι Matth. pro περιβάλλουσαι.
21. ἀντὶ τοῦ addidi ex A.M. Gl. ἐρεθίζουσαι est in P.
ib. ὡς (ὡς om. I.) ὁ ποιητὴς] Homer. Il. 4, 6.
22. παραβλήδην] περιβλήδην I.
23. φρονεῖν] θανεῖν A.

290. εἶλε: ἡπάτησεν, ἐφειλκύσατο. B.M.

291. τερπνοῖς: τέρπειν δυναμένοις. M.

292. πικρὰν δὲ σύγχυσιν: πόρθησιν καὶ ταραχὴν, βίου σύγχυσιν τῇ Τροίᾳ κατασκευάζουσαν. B.M.I. Φρυγῶν πόλει: τῇ Τροίᾳ. P.

293. περγάμοις: λείπει τὸ ἔχουσιν. M.

294. εἴθ' ὑπὲρ κεφαλᾶς: εἴθε ὑπὲρ κεφαλῆς Πάριδος ἔβαλε θάνατον ἡ τεκοῦσα τὸν Πάριν. Ἄλλως. ἀντὶ τοῦ ἀνεῖλεν. κατ' ὄναρ θεασαμένη Ἑκάβη ὅτι λαμπάδα ἅμα τῷ τεχθῆναι τὸν Ἀλέξανδρον ἐγέννησεν ἐδυσφόρει καὶ ἤρετο τοὺς μάντεις. οἱ δὲ ἔφασκον χρῆναι τὸ τεχθὲν φονεύειν. ἡ δὲ ἐξέθηκεν αὐτὸ μὴ τολμῶσα φονεῦσαι. καὶ τοῦτον λαβὼν ποιμὴν ἐν τῇ πήρᾳ τέθεικεν, ὅπως διατρέφοι. διὸ καὶ Πάρις ὠνομάσθη ὁ ἐν τῇ πήρᾳ τραφείς. A.B.M.I.

297. ὅτε νιν παρὰ θεσπεσίῳ: ἀντὶ τοῦ κατέχουσα μαντικὴν δάφνην. τοῦ γὰρ θεοῦ αὐτῇ βουληθέντος συγκοιμηθῆναι ἔφη μὴ πρότερον ἑαυτὴν ἐκδώσειν εἰς κοινωνίαν, εἰ μὴ λάβοι παρ' αὐτοῦ δῶρον τὴν μαντικήν. τοῦ δὲ θεοῦ χαρισαμένου ἠρνήσατο τὴν κοινωνίαν. διὸ ἀγανακτήσας ὁ Ἀπόλλων τὴν μὲν μαντικὴν ἅπαξ χαρισάμενος οὐκέτι ἀφείλετο, ἀπιστεῖσθαι δὲ αὐτὴν πεποίηκεν, ὅθεν καὶ περὶ τοῦ Πάριδος δὶς προειποῦσα ἠπιστήθη. A.B.G.M.T.I.

3. πόρθησιν καὶ ταραχὴν addidi ex M.

7. εἴθε—ἀντὶ] εἴθε κατεκρήμνισεν αὐτὸν, ἀντὶ A.

ib. Πάριδος] τοῦ πάριδος I.

9. ὄναρ] γὰρ add. I.

ib. Ἑκάβη] ἡ ἑκάβη I.

10. ἐγέννησεν post λαμπάδα A.B.I.

ib. ἤρετο A. εἴρετο ceteri.

11. φονεύειν] φονεῦσαι I.

ib. αὐτὸ] αὐτὸν A.

12. τοῦτον] τοῦτο A.

ib. πήρᾳ] θήρᾳ M. πείρᾳ Fl. 6. hic et infra.

ib. τέθεικεν] τέθηκεν I.

ib. διατρέφοι] διαθρέψῃ A.

13. ὁ ἐν τῇ πήρᾳ τραφείς om. A.

14. ἀντὶ τοῦ add. A.M. Fl. 6. G. T., om. B.I.

ib. μαντικὴν add. A.M.

15. θεοῦ] ἀπόλλωνος G.T.

ib. αὐτῇ] σὺν αὐτῇ A.B.I.

ib. συγκοιμηθῆναι om. A.M., ante αὐτῇ habent G.T. In Fl. 6. τοῦ γὰρ θεοῦ βουληθέντος σὺν αὐτῇ κοιμηθῆναι.

ib. μὴ πρότερον] πρότερον μὴ A.M.

16. πρότερον—κοινωνίαν om. Fl. 6.

ib. λάβοι] λάβῃ G.T.

17. δῶρον om. I. "δῶρον addit etiam Fl. 6. sed ante παρ' αὐτοῦ et omisso τὴν μαντικήν. tum τοῦ δὲ θεοῦ. —διὸ καί om.—μέν interserunt G. T. inter τὴν et μαντ. ut Flor." MATTH.

ib. δὲ θεοῦ] θεοῦ δὲ I.

18. διὸ] διὸ καὶ I., om. G.

ib. Ἀπόλλων] ἥλιος A.M.

ib. μὲν om. I.

ib. ἅπαξ χαρισάμενος om. A.

19. οὐκέτι] οὐκ A.

ib. αὐτὴν om. A.

20. δὶς add. M.

304. ἕδρας: οἰκήσεις τοῦ Νεοπτολέμου ἐνταῦθα αἰχμαλωτισθεῖσα. B.M.

305. παρέλυσεν: ἔπαυσεν, παρήλλαξε τοὺς μόχθους, περὶ οὓς πολέμους ἐπλανῶντο κατὰ τὴν Τροίαν ἐπὶ δέκα ἔτη. B.M.I.

307. οὔποτ': οὐκ ἂν συνέβη ὁ πόλεμος, εἰ ἐφονεύθη ὁ Ἀλέξανδρος. A.B.

308. γέροντες: ἔρημοι, ἄκυροι. B.M.

309. ἥκω λαβών: τὸν Μολοττὸν ἄγων ταῦτα λέγει. B.M.I.

310. ὑπεξέθου: ἔξω παρέθου. B.M.

311. ηὔχεις: ἔλεγες, ἐκόμπαζες, ἐνόμιζες. M.

βρέτας: ἄγαλμα, ξόανον. B.M.I.

312. τοῦτον δέ: ἀπὸ κοινοῦ τὸ ηὔχεις. B.M.

313. τοῦδε: ἐμοῦ τοῦ Μενελάου, δεικτικῶς. B.M.

315. σφαγήσεται: φονευθήσεται. B.M.

316. λογίζου: σκέψαι. B.M.

319. ὦ δόξα δόξα: ὦ φήμη, ὦ ὑπόνοια, ὦ δόκησις. δόξαν γὰρ νῦν τὴν ὑπόνοιάν φησι παρ' ὅσον ἡ ὑπόνοια πολλοῖς τῶν ἀνθρώπων ὄγκον ἐντίθησι καὶ μεῖζον ἢ εἰσὶν ὑπολαμβάνειν παρασκευάζει περὶ αὐτῶν. B.M.I.

320. οὐδὲν γεγῶσι: εὐτελέσιν ὑπάρχουσι. B.M. εὐτελέσι. P.

ὄγκωσας: ὕψωσας. M.P.

321. εὔκλεια δ': καλὴ δόξα μετὰ ἀληθείας. τοὺς μὲν εὐκλεεῖς μετ' ἀληθείας μακαρίζω, τοὺς δὲ ψευδῆ ἔχοντας ὑπόνοιαν οὐκ ἀξιῶ

P. 154. l. 20. προειποῦσα ἠπιστήθη (ἠπιστήθει M.)] εἰποῦσα προηπιστήθη B. Fl. 6. προηπιστήθη I.

1. Verba οἰκήσεις τοῦ Νεοπτολέμου sunt etiam in I. In M. est etiam gl. interl. ὑπὲρ τοῦ νεοπτολέμου ταῦτα αἰχμαλωτισθεῖσα.

3. ἔπαυσεν, παρήλλαξεν gl. sunt in B.M., omisso τοὺς μόχθους.

4. πολέμους addidi ex M. In B. et Fl. 6. est πόνους.

ib. ἐπὶ om. I.

5. εἰ ἐφονεύθη ὁ Ἀλέξανδρος] εἰ ἀλέξανδρος ἀπέθανεν A.

10. ἐκόμπαζες etiam P.

16. ὦ φήμη—] In G. nil nisi ὦ φ. ὦ ὑπόν. ὦ δόκ. πολλοῖς τῶν ἀνθρώπων ὄγκον ἐπέθηκας μεῖζον ἢ εἰσίν. MATTH.

17. τῶν—ὄγκον] τὸν—οἶκον A.

18. εἰσὶν] ἐστὶν B.I.

ib. παρασκευάζει] κατασκευάζει A.

19. αὐτῶν A.B.M. Fl. 6. 15. αὐτῶν εὐτελῶν ὑπαρχόντων I.

20. εὐτελέσι] εὐτελὲς B. οὐκ ἐντελεῖς M. quod οὐκ ἐν τέλει esse potest.

22. δόξα] ἡ δόξα I.

23. μετ' ἀληθείας addunt B. Fl. 6. 15., om. M.I.

εὐδαίμονας καλεῖσθαι, τῆς τύχης τοῦτο χαρισαμένης. ἡ μὲν γὰρ ἀληθὴς εὐδοξία ἐκ πόνου καὶ ἀρετῆς παραγίνεται, ἡ δὲ ψευδὴς ἀπὸ τύχης. B.M.I.

322. εὐδαιμονίζω: μακαρίζω. ἀντὶ τοῦ ἀξίους κρίνω μακαρίζεσθαι καὶ θαυμάζεσθαι. B.M.I. τοὺς δ' ὑπὸ ψευδῶν ἔχειν: ἀντὶ τοῦ τοὺς ἔχοντας ψευδῶς, ἐλλειπτικῶς· νοεῖται δὲ ἢ πλαττομένους ἢ ὑποκρινομένους. T.

324. λογάσιν: ἐπιλέκτοις, ἐκκρίτοις. B.M.

325. Τροίαν ἀφείλου: τὴν Τροίαν ἀφείλου τὸν Πρίαμον. σχῆμα δὲ Ἀττικόν. B.M.I.

φαῦλος: ἀσθενὴς, εὐτελής. B.

326. ὅστις θυγατρός: ἀντὶ τοῦ μὴ προκοψάσης τὴν ἡλικίαν. καταισχύνει δὲ αὐτὸν, ὅτι ὑπὲρ τηλικαύτης ὑπὲρ βρέφους ἀδίκως προίσταται. A.B.M.I. ἀντίπαιδος: παιδικὴν ἡλικίαν ἐχούσης. M. νέας. A.

327. τοσόνδ' ἔπνευσας: τοσοῦτον ἐπῆρθης, ἐθρασύνθης, ἐθυμώθης. B.M.I.

329. οὐκ ἀξιῶ οὔτ' οὖν σὲ Τροίας οὔτε σοῦ Τροίαν ἔτι: οὔτε σὲ τῆς Τροίας ἄξιον νομιζω οὔτε σοῦ τὴν Τροίαν ἀξίαν νομίζω. Δίδυμος μέμφεται τούτοις ὡς παρὰ τὰ πρόσωπα· σεμνότεροι γὰρ οἱ λόγοι ἢ κατὰ βάρβαρον γυναῖκα καὶ δυστυχοῦσαν. ὁ νοῦς, οὔτε ἡ Τροία ὑπὸ σοῦ τοιούτου ὄντος ἀξίως ἑάλω οὔτε σὺ αὐτὴν ἀξίως ἀνεῖλες. A.

οὔτ' οὖν σέ: οὔτε σὲ τῆς Τροίας ἄξιον νομίζω οὔτε σοῦ τὴν

1. χαρισαμένης] Addit M. ἀκρίτως ἂν οἷα (vel οἷς) μέγα ἐπὶ εὐτυχίᾳ μὴ ἐπὶ εὐδοξίᾳ.
2. ἐκ] καὶ ἐκ I.
4. μακαρίζεσθαι καὶ om. M. Gl. ἀξίους κρίνω θαυμάζεσθαι est etiam in P.
5. Gl. ἀντὶ τοῦ ἔχοντας in M. ἔχοντας in B.
8. ἐκκρίτοις scripsi pro ἐγκρίτοις.
9. τὴν Τροίαν ἀφείλου τὸν Π. om. I.
ib. σ. δὲ Ἀ. om. M., δὲ om. I.
12. ἀντὶ τοῦ om. B.I.
ib. προκοψάσης] προκύψας A.M.
ib. τὴν ἡλικίαν] τῆς ἡλικίας I.
13. ὑπὲρ βρέφους] ὑπερβρέφους M.
ib. ἀδίκως] ἀδικίας A.
16. ἐπῆρθης—ἐθυμώθης] ἐθρασύνθης, ἐθιμώθης, ἐπηρώθης M.
19. ἀξίαν addidi ex p. 157, 1.
20. τούτοις ὡς παρὰ τὰ πρόσωπα] τούτους (sic) ὡς τὰ παρακαθεστῶτα A. Correxit Cobetus collato scholio v. 362.
22. ὑπὸ Cobetus pro ἀπό.
ib. αὐτὴν ἀξίως] αὐτὴν ἀξίως αὐτὸν A.
23. οὔτε—ἀξίαν (ἀναξίαν Fl. 15.) νομίζω] οὔτε σοῦ τὴν τροίαν ἄξιον νομίζω οὔτε σὲ τῆς τροίας I.

Τροίαν ἀξίαν νομίζω. ὁ νοῦς, οὔτε ἡ Τροία ὑπὸ σοῦ τοιούτου ὄντος ἀξίως ἑάλω οὔτε σὺ αὐτῆς ἀξίως ἀνείλες αὐτήν. B.M.I. τῇ τε γὰρ Τροίᾳ ἄδοξόν ἐστι καθὸ ὑπὸ σοῦ ἀπώλετο, σύ τε οὐκ ἄξιος εἶ τὴν Τροίαν ἀπολέσαι· ὡς εἴ τις ἐκ τοῦ ἐναντίου λέγοι, τῷ Ἀχιλλεῖ ἔνδοξον ἦν τὸν Ἕκτορα ἀποκτεῖναι καὶ τῷ Ἕκτορι ὑπὸ Ἀχιλλέως ἀναιρεθῆναι. ὡς εἴ τις εἴποι, ἔπρεπε τῷ Ἡρακλεῖ τὴν Ἴλιον πορθῆσαι καὶ τῇ Ἰλίῳ ὑπὸ τοῦ Ἡρακλέους ἁλῶναι. A.B.M.I.

330. ἔξωθέν εἰσιν: ἐκ τῶν δορυφορούντων δείκνυνται· κατὰ γὰρ τὴν φρένα καὶ τὴν ψυχὴν ὅμοιοί εἰσι τοῖς ἀνοήτοις. ὡς καὶ νῦν ὁ Μενέλαος δοκῶν εἶναι φρόνιμος διὰ τὴν τῆς ψυχῆς ὑπεροχὴν ἐλέγχεται ὡς ἀνόητος· τοὺς γὰρ φρονίμους περιττοὺς ἐκάλουν οἱ παλαιοί. A.B.M.I.

332. πλὴν εἴ τι πλούτῳ: εἰ μὴ ἄρα ἐν πλούτῳ ὑπερέχουσι. B.M. Fl. 6.

335. μύσος: μόλυσμα. B. τὸ μίασμα τοῦ φόνου ἀδύνατον αὐτὴν ἐκφυγεῖν· ἐμιάνθη γὰρ ὡς φόνον ποιήσασα. δόξεις δὲ παρὰ πολλοῖς καὶ σὺ τοῦτον ἡγωνίσθαι τὸν φόνον· ἡ γὰρ χρεία τοῦ συν-

1. ὁ νοῦς M. καὶ ἄλλως B.I.
ib. ὑπὸ scripsi pro ἀπό.
ib. τοιούτου] τοσούτου I.
2. αὐτῆς addidi ex M.
ib. αὐτὴν ante ἀξίως B.I.
3. Τροίᾳ] ἐν τροίᾳ M.
ib. ἐστι add. A.M.
ib. καθὸ A. καθ' ὃ M. ὅτι καθὸ B. Fl. 6. 15. solum ὅτι in I.
ib. εἴ] ἦς A.M.
4. ἐκ τοῦ ἐναντίου om. A.
ib. λέγοι] λέγει B.M.I.
5. τῷ Ἕκτορι] τὸν ἕκτορα I.
ib. καὶ τῷ—ἀναιρεθῆναι om. M.
6. τις] τοι I.
ib. εἴποι A.M. λέγοι B.I. λέγει Fl. 6. Fort. ἢ ὡς εἴ τις εἴποι—.
7. τῇ Ἰλίῳ] τὸ ἴλιον I.
ib. τοῦ om. M. ὑπὸ τοῦ Ἡρακλέους om. A. In Gu. haec in brevius contracta sunt: διπλῶς μέμφεται τούτῳ· οὔτε ἀπὸ σοῦ ἀξίως ἡ Τροία ἑάλω, οὔτε σὺ αὐτὴν ἀξίως ἀνεῖλες. ἤ γε (leg. τῇ τε) γὰρ Τροία ἄδοξον, καθὸ ὑπὸ σοῦ ἀπώλετο, σύ τε οὐκ ἀξίως τὴν Τροίαν ἀπώλεσας· καὶ γὰρ φαῦλος ὑπάρχεις· ὡς εἴ τις ἐκ τοῦ ἐναντίου λέγει, τῷ Ἀχιλλεῖ ἔνδοξον ἦν τὸν Ἕκτορα ἀποκτεῖναι, καὶ τῷ Ἕκτορι τὸ ὑπὸ τοῦ Ἀχιλλέως ἀναιρεθῆναι.
8. ἐκ τῶν δορυφορούντων habet M., sed in gl. interl., omisso δείκνυνται. ἐκ τῶν—δείκνυται om. A.
ib. ἐκ] ὑπὸ I. οἱ δοκοῦντες εὐφρονεῖν ὑπὸ Fl. 6. 15.
ib. κατὰ] τὰ κατὰ A.
ib. γὰρ om. A.M.
9. ὅμοιοί εἰσι] ὅμοιόν ἐστι M., sed ὅμοιοι in gl. ad ἴσοι B.M.
ib. ὡς om. I.
13. ὑπερέχουσι] ὑπάρχουσι B.
15. ἀδύνατον] δυνατὸν A.M. Fort. οὐ δυνατόν.
16. φόνον om. I.
ib. δὲ παρὰ—φόνον M. δὲ καὶ σὺ τοῦτον (τοῦτο I.) παρὰ πολλοῖς τὸν φόνον (τοῦ φόνου I.) ἠγωνίσθαι A.B. Fl. 6. 15. I.
17. συνδρᾶσαι] συνδρᾶν σε M. συνδρᾶν A. συνδράσθαι Fl. 6. 15.

δρᾶσαι τῇ θυγατρὶ ἀναγκάσει σε μὴ ἐκφυγεῖν τὸ μύσος. A.B.M.I. μόλις ἄγος ὑποστήσῃ. M. μύσος τὸ μίασμα ὀξύνεται καὶ βραχὺ ἔχει τὸ υ, μῖσος δὲ, ὃ γίνεται ἀπὸ τοῦ μισητὸς, ἐκτείνεται καὶ περισπᾶται. G.T.

338. ὑπεκδράμω: ὑπεξέλθω, ἐκδράμω. λείπει δὲ τὸ ὥστε μὴ θανεῖν. M. διαφύγω, ὑπεξέλθω. B.

341. κάλει: ἀντὶ τοῦ ἐκάλει. M. ἐκάλει, καὶ οὗτος ὁ τόνος παροξυτόνως. B.

342. ἀλλ' εἶσιν οἷ χρή: ὁρμήσει, πορεύσεται, ὡς πρέπει, μετὰ τῆς δεούσης σπουδῆς, ἐξελεύσεται αὐτὸν ὃν δεῖ τρόπον, ἀντὶ τοῦ διαπράξεται ἃ δεῖ καὶ ἐλεύσεται εἰς ἃ πρέπον ἐστί. A.G.M.T.

343. δρῶν: πράττων. B.M.

344. ὥσει: ὠθήσει, ἀπωθήσεται. B.

ἐκδιδούς: πρὸς γάμον διδούς. M.

346. ἀλλὰ ψεύσεται: τὸ σὸν ῥῆμα, καὶ ὡς ψευδῆ σε νομίσει ὁ ἀκούων καὶ οὐ πεισθήσεται. B.M.I.

347. γαμεῖ δὲ τίς νιν: τίς ἐθελήσει γυναῖκα λαβεῖν διὰ ζηλοτυπίαν ἀπερριμμένην; ἀρετὴ γὰρ γυναικὸς μὴ μνησικακεῖν ἀνδρὶ ἔχοντι πρὸς ἄλλην κοινωνίαν· καὶ τοιαύτην ἂν εὐξαιντο πολλοὶ γῆμαι· αἰσχύνη δὲ τὸ ζηλοτυπίᾳ νοσεῖν. A.B.M.I. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ ὀργισθεὶς ὁ Νεοπτόλεμος ἐπὶ τῇ ζηλοτυπίᾳ ταύτῃ ἐκβάλῃ τῶν οἴκων αὐτὴν, οὐδεὶς ἐθελήσει αὐτὴν γῆμαι διὰ ζηλοτυπίαν ἐρριμμένην. M.

351. βούλοι' ἂν εὑρεῖν: τί ἂν βούλοιο; ἆρα πολλοῖς ἀνδράσιν ἐκδοῦναί σου τὴν θυγατέρα, ἢ παθεῖν ἃ λέγω; τινὲς δὲ, βέλτιόν

1. ἀναγκάσει] ἀναγκάζει A.B.M. Fl. 6. 15.
ib. σε] σε τοῦ A.
ib. μύσος B. μῦσος I. μῖσος M.
9. Verba ὁρμήσει — σπουδῆς hic om. M., sed habet infra post πρέπον ἐστί praefixo καὶ ἄλλως.
ib. ὡς πρέπει post σπουδῆς A.
10. ἐξελευσεται] ἄλλως praefigit A.
ib. αὐτὸν] ἑαυτὸν M.
11. ἃ δεῖ] ἀδικεῖ M.
ib. εἰς om. M.
15. τὸ σὸν—ψευδῆ] τινὲς οὖν ψευδῆ σε M.
18. ἀνδρὶ] εἰ ἀνδρὶ A.
19. πρὸς] καὶ πρὸς M.
ib. καὶ τοιαύτην ἂν εὔξαιντο πολλοὶ γῆμαι B.M. καὶ ταύτην ἢ τοσαύτην εὔξαιντο πολλοὶ A., omisso γῆμαι. ἀνδρὶ τοιαύτην γὰρ εὔξαιντο πολλοὶ γυναῖκα I.
24. βούλοιο; ἆρα] ἕλοιο ἂν A.
25. λέγω] ἐγὼ λέγω Fl. 6. 15.
ib. τινὲς δὲ] τινὲς δὲ οὖν B.M. τινὲς δὲ ὃ A.

ἐστιν ἀνέχεσθαι πολλῶν εὐνῶν, ὅ ἐστι φέρειν τὸν ἄνδρα, εἰ καὶ παλλαῖς πολλάκις χρῷτο, ἢ ταῦτα ὑποστῆναι ἃ ἐγὼ λέγω. A.B.M.I. θέλει δὲ εἰπεῖν, μὴ ἐξομοιοῦ τῇ θυγατρί σου· ἀναιδὲς γὰρ τὸ γυναικεῖον γένος. B.M.I.

352. πορσύνειν: κινεῖν. B.M.

353. οὐδ' εἰ γυναῖκες: οὐ πρέπει τῇ θυγατρί σου ἐξομοιοῦσθαι τῷ ἀνδρὶ αὐτῆς. T.

356. ἐξαμβλοῦμεν: ἐκτιτρώσκειν ποιοῦμεν, ἄγονον καθιστῶμεν. M.

357. ἑκόντες οὐκ ἄκοντες: ἑκόντες καὶ οὐδὲ ἄκοντες λήψόμεθα τὴν τιμωρίαν παρὰ τῆς Θέτιδος. ἐν ἐρωτήσει δὲ ἀναγνωστέον. οὐ δώσομεν, φησὶ τὴν δίκην ἐν τοῖς σοῖς γαμβροῖς εἰς τοὺς βωμοὺς αὐτῶν καταφυγόντες. A.

βώμιοι: τῷ βωμῷ καταφεύγοντες. B.M.I.

358. πίτνοντες: προσπίπτοντες. M. πίπτοντες: γράφεται οὕτως, οὐδὲ βώμιοι πίτνοντες. A. γρ. πίτνοντες. B.

ὑφέξομεν: ὑποστησόμεθα, λήψόμεθα. B.M.

359. ἐν σοῖσι γαμβροῖς: τῷ Νεοπτολέμῳ. M.

οἷσιν οὐκ ἐλάσσονα: ἐν οἷς ἀποδειχθήσομαι οὐχ ἧσσον ἢ εἰς ὑμᾶς ἁμαρτάνουσα, καὶ τιμωρηθήσομαι ὑπ' ἐκείνων. A.B.M.I. ἀνόητος ἐλεγχομένη. M.

360. προστιθεῖσ' ἀπαιδίαν: τουτέστι κατασκευάζουσα ἀπαιδίαν. B.M.I. ἀβουλίαν: γρ. ἀπαιδίαν. B.

361. τοιοίδε: οὐ φαρμακεύομεν τὴν σὴν παῖδα. M.

362. ἔν σου δέδοικα: δέδοικα μὴ διὰ τὴν Ἑρμιόνην με ἀπολέσῃς.

1. εὐνῶν] εὐνὴν A.

2. ἢ ταῦτα] εἶτα A.

ib. λέγω] εἰς πόσας παλλακίδας addit M. Quae verba idem et B. etiam in gl. interl. habent. Pertinent ad v. 350.

3. θέλει δὲ] δὲ om. M. qui hanc annotationem hic et iterum in altera margine habet.

ib. μὴ] ὅτι μὴ M.

8. ἐκτιτρώσκειν —] Repetuntur haec in M. in altera margine, ἄγονον καθιστῶμεν ὡς αὐτὴ λέγει, ἐκτιτρώσκειν ποιοῦμεν.

15. γράφεται — βώμιοι πίτνοντες] γράψον οὕτω, οὐ βώμιοι πίπτοντες A.

19. ἢ εἰς] ἢ om. A.

ib. ὑμᾶς] ἡμᾶς M.

20. ἐκείνων] Addit M. τὸν γὰρ παρῆκεν ὡς παρὰ νενομημένον. In A. est τὸ γὰρ παρῆκεν ὡς παρανενομισμένον A.

25. δέδοικα μὴ A.M. δέδοικα om. ceteri.

ib. με om. I.

ὥσπερ διὰ τὴν Ἑλένην τὴν Τροίαν. A.B.M.I. Δίδυμος μέμφεται πᾶσι τούτοις ὡς παρὰ καιρὸν καὶ τὰ πρόσωπα. A.

364. ἄγαν: ἀντὶ τοῦ ἀπηνῶς, ὑπὲρ τὴν τύχην. B.M.I. ὡς γυνὴ λόγους ποιουμένη πρὸς ἄρσενας θρασέως ἔλεξας, καί σου ἡ σωφροσύνη τῆς διανοίας ἔξω ἐξέπεσεν. ἀπὸ μεταφορᾶς τῶν τοξευόντων ὑπὲρ τὸν σκοπόν. A.

365. καί σου τὸ σῶφρον: καὶ τῆς φρενός σου τὸ σῶφρον ἐξέπεσε τοῦ προσήκοντος, τουτέστι παρὰ τὸν δέοντα λογισμὸν ἐφθέγξω, λοιδορησαμένη ἄγαν θρασέως τῷ Μενελάῳ. ἔξω, φησὶ, τοῦ σκοποῦ ἔβαλες καὶ προέβραμές καὶ πλέον ἢ κατὰ γυναῖκα ἐπαρρησιάσω. A. B.M.I. ἡ φρόνησις ἐξετοξεύθη. Fl. 15.

366. τάδ' ἐστὶ σμικρά: τὸ κρατῆσαί σου, φησὶν, οὐκ ἔστι τῆς ἐμῆς στρατηγίας ἄξιον, οὔσης αἰχμαλώτου, ἀλλ' ἐπειδὴ ὑπὲρ τῆς θυγατρὸς κάμνω καὶ τούτου χρείαν ἔχω, τοῦτο μέγα νομίζω. A. B.M.I.

369. τοῦτ' ἔσθ' ἑκάστῳ: κἀκεῖνοι γὰρ ἐπεθύμουν πορθῆσαι τὴν Τροίαν καὶ τοῦτο αὐτοῖς ἐφάνη μεῖζον, καὶ νῦν ἐμοὶ τὸ προκείμενον πρᾶγμα μεῖζον ἤπερ ἡ Τροία. δοκεῖ ἐνταῦθα εὐτελίζων τὸ τῆς Τροίας κατόρθωμα ἐναντιοῦσθαι τοῖς ἐξῆς. φησὶ γὰρ, ἐπὶ πλεῖστον ἀναλώσας ψυχῆς μοῖραν Τροίαν εἶλον καὶ μητέρα σήν. ἔστιν οὖν ὁ νοῦς, καλῶς ἐγίνωσκεν ὅτι ἑκάστῳ ἀνδρὶ ἡ κατεπείγουσα χρεία τιμιωτέρα νομίζεται τοῦ πορθῆσαι τὴν Τροίαν. οὕτω καὶ νῦν ἐμοὶ πολὺ μεῖζον

3. ἀντὶ τοῦ om. B.I.
7. φρενός σου] φρενός σοι I.
ib. σῶφρον] τόξον I.
8. λογισμὸν A.M. καιρὸν λογισμὸν ceteri, nisi quod λογισμῷ Fl. 15. καιρὸν καὶ λογισμὸν Barnes.
9. ἔξω—ἐπαρρησιάσω om. M. ἄλλως praefixit A.
ib. φησὶ add. A.B. Fl. 15., om. I.
10. ἔβαλες A.B. Fl. 15. ἔβαλλες I.
ib. προέβραμες Barnes. pro προσέβραμες.
ib. καὶ add. A.
12. ἔστι τῆς ἐμῆς] ἔστιν ἐμῆς M.
13. ἐπειδὴ] ἐπειδήπερ A.T.
ib. ὑπὲρ] ἐπὶ I.
ib. τῆς θυγατρὸς κάμνω] πατρὸς κάμνουσι A. τῆς om. etiam M.
14. χρείαν ἔχω] ἀνέχω M.
ib. τοῦτο μέγα M. μέγα τοῦτο B. T. τοῦτο om. I., μέγα om. Fl. 6. 15.
16. κἀκεῖνοι γὰρ—ἔστιν οὖν ὁ νοῦς] Haec addidi ex M. Eadem sunt in A. sed alio ordine, primo δοκεῖ ἐνταῦθα—ψυχῆς μέρος—ὁ νοῦς οὕτως, καλῶς ἐγίνωσκεν—συναγωνίζομαι τῇ θυγατρί. κἀκεῖνοι γὰρ—καὶ τοῦτ' αὐτὸ ἐφάνη μεῖζον—ἤπερ ἡ τροία:—
21. καλῶς ἐγίνωσκεν om. G.T.
ib. ἑκάστῳ ἀνδρὶ] ἀνδρὶ ἑκάστῳ I.
ib. ἡ (ἡ om. A.) κ. χρεία om. I.
22. καὶ νῦν] δὲ ἐν M.

φαίνεται τὸ βοηθῆσαι τῇ θυγατρί μου μᾶλλον ἢ τὸ πορθῆσαι τὴν Τροίαν. ἀντὶ τοῦ ἀναγκαῖον τοῦτο ἡγοῦμαι, ἢ ἐκεῖνο. μὴ οὖν διὰ τοῦτο κρίνῃ με ἀνάξιον τῆς Τροίας, ὅτι συναγωνίζομαι τῇ θυγατρί. B.M.I.

370. *καὶγὼ θυγατρὶ σύμμαχος καθίσταμαι· τὸ γὰρ λέχους στέρεσθαι μέγα κρίνω.* B.M.I.

κρίνω: *δοκιμάζω, ἡγοῦμαι.* B.M.I.

372. *δεύτερ'*: *ὀλίγα.* M.

374. *δούλων δ' ἐκεῖνον*: *ἐπειδὴ εἶπεν ἡ Ἀνδρομάχη ὅτι ἀνάμεινον τὸν Νεοπτόλεμον, λέγει ὅτι ἐξουσίαν ἔχω τῶν αὐτοῦ δούλων, ὥστε καὶ χωρὶς αὐτοῦ τιμωρεῖσθαι.* B.M.I.

375. *τοὺς ἐμούς*: *τοὺς ἐμοὺς ἰδίους. τὴν θυγατέρα φησίν.* B.M.I.

376. *οἵτινες*: *παρὰ τὸ "κοινὰ τὰ τῶν φίλων."* M.

383. *δυοῖν δ' ἀνάγκη*: *ἀνάγκη ἐστὶ τῷ ἑτέρῳ ἀποθανεῖν.* B.M.I.

384. *κλήρωσιν*: *κλῆρον, ψῆφον.* B.M.I. *ἐκλογήν.* B.M.

385. *λαχοῦσα*: *τὸ ζῆν δηλονότι.* B.M. *καὶ λαχοῦσα τὸ ζῆν ἀθλία εἰμὶ διὰ τὸ μέλλειν τὸν παῖδά μου φονεύεσθαι καὶ μὴ λαχοῦσα πάλιν δυστυχῶ ὡς μέλλουσα φονεύεσθαι.* A.

386. *δυστυχὴς καθίσταμαι*: *κἂν τε γὰρ ἕλωμαι, τὸ ἐμὲ τελευτῆσαι δεινὸν, κἂν τε τὸ ἕτερον, τὸ τὸν παῖδα ἀπολέσθαι πανδεινόν.* A.B.M.I. *καὶ ἐὰν νίκην ἐκλέξωμαι, δυστυχὴς ἔσομαι.* M.

387. *ἐρωτηματικῶς.* M.

1. *τὸ β.*] *τοῦ β.* A.

ib. *τὴν Τροίαν*] Hic scholion finitur in G. incipiens ab verbis *ἑκάστῳ ἀνδρί.*

2. *ἀντὶ τοῦ* addidi ex M. et qui *τοῦ* om. A.

ib. *οὖν* om. I.

3. *κρίνῃ με ἀνάξιον* Matthiae. *μὴ κρίνῃ με ἄξιον* M. *κρίναι με ἄξιον* A. *ἀνάκριναί με ἄξιον* B. Fl. 6. 15. *ἀνακρίνῃ με ἄξιον* I.

7. *δοκιμάζω, ἡ.*—] *ἡ. δοκιμάζω* B.I. Solum *ἡγοῦμαι* est in P.

9. *ἐπειδὴ*—] Haec in M. adscripta ad v. 378.

10. *λέγει*] *καὶ λέγει* B. *καὶ λέγε* I.

ib. *τῶν*—*δούλων*] *τῷ*—*δούλῳ* Fl. 15.

ib. *αὐτοῦ* B. Fl. 15. *αὐτῶν* M. *ἑαυτοῦ* I.

12. *φησὶ*] *τὴν θυγατέρα λέγει* gl. in P.

15. *ἐστὶν τῷ ἑτήρῳ* M. *ἐστὶν ἑτέρῳ* B.I.

17. *κλῆρον*] *κλήρωσιν* M.

21. *κἂν τε γὰρ* —] Haec scholio v. 385. adjungit A. praefixo *ἄλλως.*

22. *κἂν τε τὸ* (*τὸ* om. B. Fl. 6. 15.) *ἕτερον*—*πάνδεινον* om. I.

ib. *τὸ τὸν*] *τὸ* om. A.

390. *σεμνῶς καὶ κούφως.* B.

392. *ἀρχὴν ἀφείς*: *ἀλλὰ τὴν ἀρχὴν ἐάσας πρὸς τὴν ἀναίτιον φέρει. Καὶ ἄλλως. ἀλλὰ τὴν ἀρχὴν τοῦ πράγματος ἀφεὶς πρὸς τὴν τελευτὴν φέρει.* B.I.

393. *πρὸς τὴν τελευτὴν ὑστέραν οὖσαν*: *τὸ γὰρ τέλος τῆς ἀρχῆς δευτερεύει καὶ ὑστερεῖ.* A.B.M.I.

396. *ἄχθος τ' ἐπ' ἄχθει*: *ἐπὶ τῷ ἄχθει τῆς δουλείας τὸ καὶ δοῦλον παῖδα τεκεῖν.* B.M.I.

397. *ἀτὰρ τί ταῦτ'*: *ἐπεὶ εἶπε, τί δέ με καὶ τεκεῖν ἐχρῆν, ὡς ἐπιλαβομένη ἑαυτῆς ἐπήγαγεν, ἀτὰρ τί ταῦτα ὀδύρομαι, μικρὰ ὄντα πρὸς σύγκρισιν τῶν παρελθόντων, τῆς τε σφαγῆς Ἕκτορος καὶ τῆς Ἰλίου ἁλώσεως καὶ τοῦ αἰχμάλωτον αὐτὴν ληφθῆναι. τὰ ἐν ποσὶν οὖν τὰ περιέχοντα. ὁ δὲ νοῦς, περιττὸν ὅλως τὸ θρηνεῖν· βέλτιον γὰρ ἀποθανεῖν ἢ ζῆν τοιαῦτα πεπονθυῖαν.* A. *Ἄλλως. τὰ κατὰ τὴν πατρίδα καὶ τὴν ἐκ πολεμίου παιδοποιίαν τί ὀδύρομαι λόγοις, ἥτις τούτων τὸ δεινὸν προεθεώρησα αὐταῖς ὄψεσι, σφαγὰς Ἕκτορος, Ἴλιον πυρπολούμενον, τὴν πεῖραν τῆς αἰχμαλωσίας. ἀρχὴν δὲ ποιεῖται τοῦ θρηνεῖν τὸ "τί δῆτ' ἐμοὶ ζῆν ἡδύ" καὶ τὰ ἑξῆς.* A.B.M.I. *ἀντὶ τοῦ περιττὸν τὸ θρηνεῖν.* A.M.

398. *τὰ δ' ἐν ποσὶν οὐκ ἐξικμάζω*: *τὰ πλησίον, τὰ νῦν με περιέχοντα κακὰ οὐ δακρύω. λέγει δὲ τὴν ἐπιβουλὴν* Μενελάου. *παρὰ τὴν ἰκμάδα τὴν περὶ τὸ θρηνεῖν.* B.I. *ἐξικμάζω*: *οὐ δακρύω,*

2. ἀρχὴν ἀφείς—Καὶ ἄλλως om. A.
3. φέρει] φέρῃ A.
6. ὑστερεῖ] ἱστορεῖ I.
7. ἄχθος τ' ἐπ' ἄχθει] τὸ ἄχθος M. Lemma om. B.
8. δοῦλον π.] π. δοῦλον I.
9. ἀτὰρ τί ταῦτ'] In M. gl. (ad ἀτὰρ τί ταῦτ') τὰ κατὰ τὴν πατρίδα.
13. περιττὸν] οὐ περιττῶς A. Conf. p. 163, 7.
14. τὰ κατὰ—ἐπιβουλὴν Μενελάου] Horum scholiorum ordo in M. hic est, τὰ πλησίον τὰ νῦν με περιέχοντα κακά. λέγει—μενελάου. ἄλλως. τὰ κατὰ τὴν πατρίδα—αἰχμαλωσίας, τὰ δὲ πλησίον ὄντα κακὰ οὐ δακρύω καὶ ἀναζητῶ. λέγει—μενελάου. ἀρχὴν δὲ ποιεῖται τοῦ θρηνεῖν τὸ τί δῆτ' ἐμοὶ ζῆν ἡδύ:—In B.I. τί δῆτ' ἐμοὶ ζῆν (hoc lemma om. B.): τὰ κατὰ τὴν—αἰχμαλωσίας. τὰ δὲ πλησίον ὄντα κακὰ οὐ δακρύω καὶ ἀναζητῶ. λέγει δὲ—μενελάου. ἀρχὴν δὲ ποιεῖται τοῦ θρηνεῖν. τί δῆτ' ἐμοὶ ζῆν: τὰ ἐν ποσὶν οὐκ ἐξικμάζω, τὰ πλησίον τὰ νῦν με περιέχοντα κακὰ οὐ δακρύω. Animadvertit errorem Porsonius in *Tracts and Misc. Crit.* p. 381.
ib. Ἄλλως add. A.
15. πολεμίου] τοῦ π. A. πόλεως M.
ib. λόγοις] λόγῳ B.I.
16. τὸ δεινὸν] τῶν δεινῶν A.
ib. προεθεώρησα post ὄψεσι A.B.I.
17. αἰχμαλωσίας] Pergit A. τὰ δὲ πλησίον νῦν παρόντα κακὰ οὐ δακρύω οὐδὲ ἀναζητῶ. λέγει δὲ τὴν ἐπιβουλὴν μενελάου ἀρχὴν—θρηνεῖν τὸ τί δῆτ' ἐμοὶ ζῆν ἡδὺ καὶ τὰ ἑξῆς:—
22. οὐ δακρύω om. A. οὐ om. T.

οὐκ ἀναζητῶ, ἐρευνῶ. ἀπὸ τῶν θλιβόντων ἡ μεταφορά. A.T. ἀντὶ τοῦ οὐκ ἐρευνῶ καὶ ἀκτιβολογοῦμαι. A.

399. τροχηλάτους : τὰς διὰ τῶν τροχῶν γινομένας ἢ ἑλκυσθείσας. B.M.

400. οἰκτρῶς : δούλη γενομένη. M.

403. νυμφεύομαι : νυμφευθεῖσα ἦλθον. B.M.

404. τί δῆτ' ἐμοὶ ζῆν : ἀντὶ τοῦ περιττὸν τὸ θρηνεῖν· βέλτιον γὰρ τὸ ἀποθανεῖν ἢ ζῆν τοιαῦτα πεπονθυῖαν. B.M.I.

405. τύχας : συμφοράς. B.

407. δοκεῖ : ἀρέσκει. B.I.

408. οὐ δῆτα τοὐμοῦ : οὐχ ἕνεκα τοῦ ἐμοῦ βίου πρήσομαι αὐτὸν ἀποθανεῖν. A.M. οὐκ ἐάσω αὐτὸν ἀποθανεῖν, ἵνα ἀθλία γένωμαι καὶ ἵνα ζῶ ἐγώ. A.T.

409. εἰ σωθήσεται : νέος ὢν, φησὶν, οὗτος ἐλπίδα ἔχει καὶ βασιλεύσειν, εἰ σωθείη τοῦ παρόντος κινδύνου. B.M.I.

411. ἰδοὺ, προλείπω βωμόν : ἰδοὺ, ἐγὼ ὑπεξουσία καὶ ὑποχειρία γίνομαι πρὸς τὸ φονεύειν. B.M.I.

412. ἀπαρτῆσαι : κρεμάσαι, πνῖξαι. B.M.P.I.

414. ἢν δ' ὑπεκδράμῃς : ἐὰν δὲ τὰς χεῖρας ἐκφύγῃς τῶν περὶ Μενέλαον καὶ ζήσῃς, μέμνησο τῆς σῆς μητρός. Ἄλλως. ἐὰν προκόψῃς εἰς βίον, ὅ ἐστιν, ἐὰν ἀνδρωθῇς. B.M.I.

417. περιπτύσσων : περιβάλλων. M.

418. ἔπραξα : ὑπέμεινα. M.

419. ὅστις δ' αὖτ' ἄπειρος ὢν ψέγει : ὅστις δὲ τὰ ὑπ' ἐμοῦ ῥηθέντα ὑπὲρ τέκνων ψέγει ἄπειρος ὢν τέκνων καὶ μὴ εἰδὼς τὴν ἐπ' αὐτοῖς ἀλγηδόνα. διὸ καὶ δυστυχεῖν νομίζων τὴν ἀπαιδίαν εὔχε-

In M. ad ἐξικμάζω adscriptum οὐ δακρύω παρὰ τὴν ἰκμάδα.

1. οὐκ ἀναζητῶ A. οὐκ om. I.

ib. ἐρευνῶ om. A.

6. ἦλθον om. B.

7. 8. Conf. p. 162, 13.

11. οὐχ ἕνεκα] ἄλλως praefixum in A. in quo haec leguntur post γένωμαι.

12. καὶ ἵνα ζῶ ἐγώ om. A.

14. βασιλεύσειν] βασιλεῦσαι M.

17. πρὸς τὸ φονεύειν om. M. In A. est ἰδοὺ προλείπω βωμόν : ἰδοὺ πρὸς τὸ φονεύειν ὑποχείριος γίνομαι :—In M. ἡδὲ χειρία : ὑποχειρία ὑπεξουσία. ἄλλως. ἰδοὺ ἐγὼ ὑποχειρία γίνομαι :—Conf. p. 175, 17.

18. πνῖξαι] πῆξαι M.

19. ἢν δ'—] In A. ἢν δ' ὑπεκδράμῃς : ἐὰν προκόψῃς εἰς (omisso βίον), ὅ ἐστιν ἐὰν ἀνδρωθῇς. ἄλλως. ἐὰν ἐκφύγῃς τὸν μενέλαον καὶ ζήσεις ἐκφυγὼν τὸν μόρον :—

ib. δὲ τὰς χεῖρας om. M.

20. ζήσῃς—προκόψῃς M. ζήσῃς ἐκφυγὼν τὸν μόρον καὶ προκόψῃς B.I.

21. ἀνδρωθῇς M. ἀνδρωθῇς, μνήσθητι τῆς μητρός B.I.

ται τέκνων τυχεῖν, ἀγνοῶν ὅτι εὐδαίμων ἐστίν. ἐν ὅσῳ γὰρ ἅπαις τυγχάνει ὁ τοιοῦτος, καθὸ μὲν ἄτεκνος τυγχάνει δυστυχεῖ, κατὰ δὲ τὸ ἀπολελύσθαι τῆς τῶν παίδων φροντίδος εὐδαιμονεῖ. τινὲς δὲ οὕτως, ὅτι τὸ ἧσσον ἀντὶ τοῦ οὐδ' ὅλως. ὁ ἅπαις, φησὶν, ἀπήλλακται τῆς περὶ τοὺς παῖδας ἀλγηδόνος δυστυχῶν δι' ἀπαιδίαν. εἰ δὲ καὶ δυστυχήματα, ὥς τινες οἴονται, ἀλλά ἐστιν εὐδαίμων καὶ μακάριος ἄφροντις ὤν. δύναται δὲ καὶ τὸ δυστυχῶν ἀντὶ τοῦ ἀτυχῶν. A.M. Ἄλλως. ὅστις δὲ τὰ ὑπ' ἐμοῦ ῥηθέντα ὑπὲρ τέκνων ψέγει, λέγων ὡς ἰσόψυχα τοῖς ἀνθρώποις οὐκ εἰσὶ τὰ τέκνα, ὁ τοιοῦτος κατὰ μὲν τὸ εἶναι ἄτεκνος δυστυχεῖ, κατὰ δὲ τὸ ἀπολελύσθαι τῆς τῶν παίδων φροντίδος εὐδαιμονεῖ. A.B.G.M.I.

421. ᾤκτειρ' : ἠλέησα. M.

422. θυραῖος : ἀλλότριος, ξένος. B.M.I. κυρῇ : τύχῃ. B.

424. ὡς : ἴσως. B.

425. ἀμφελίξαντες : περιστρέψαντες, περιδήσαντες. B.M.I.

428. ᾧ σ' ὑπήγαγον : ᾧ λογισμῷ σὲ ἔπεισα, καὶ ἐδελέασα, καὶ ἐξηπάτησα, καὶ προετρεψάμην. A.B.M.I.

434. δούλη γεγῶσα : δούλη ὑπάρχουσα. M.

435. ὑπῆλθες : ἠπάτησας. B.M.

437. ᾖ : ὄντως. M.

σοφά : σεσοφισμένα. B.M.

439. τὰ θεῖα δ' οὐ θεῖα : τὰ δὲ θεῖα οὐ θεῖα ἡγῇ οὐδὲ ἔχειν αὐτὰ δίκην, ὅ ἐστιν ἀναιρεῖς τὰ θεῖα καὶ τὸ παρ' αὐτῶν δίκαιον. A. B.M.I.

440. ὅταν τόδ' ᾖ : ὅταν δοκῇ τῷ θεῷ καὶ ἐνστῇ τὸ τιμωρηθῆναι ἡμᾶς ὡς εἰς αὐτὸν ἀσεβοῦντας, ὑπομενοῦμεν τότε, ἐπὶ μέντοι τοῦ

1. τέκνων] παίδων A.
ib. γὰρ om. A.
3. τινὲς—τὸ ἧσσον] ἧσσον μὲν ἀλγεῖ. τινὲς οὕτως. τὸ ἧσσον A.
7. Ἄλλως addidi ex M.
8. ὑπὲρ] ὑπὸ I. In G. est ὅστις δὲ τὸν ὑπ' ἐμοῦ ῥηθέντα λόγον ὑπὲρ τέκνων etc.
9. εἰσὶ] ἐστὶ A.
ib. μὲν τὸ] τὸ μὲν I.
13. ξένος om. M.
15. περιστρέψαντες] περιτρέψαντες B.
ib. περιδήσαντες M. δήσαντες B.I. περιδήσαντες gl. etiam in P.
22. τὰ δὲ θεῖα M. δὲ om. A. B.I.
23. ἀναιρεῖς] ἀναιρεῖν I.
ib. τὰ θεῖα—αὐτῶν] τὸ θεῖον—αὐτοῖς (voluit αὐτοῦ) A.
ib. αὐτῶν] αὐτοῦ M.
25. τὸ] τῷ T.
26. ἡμᾶς] καὶ ἡμᾶς B.I.
ib. ὡς om. A.B.I.

παρόντος οὐδεμία ἀναβολὴ τῆς σῆς ἀναιρέσεως. A.B.M.I. οἴσομεν: ὑποστησόμεθα. M.

444. οὔκουν θρασεῖά γ' αὐτόν: θαρρεῖν πῖσῦσα, θάρσος ἔχουσα τοῦ ζῆν. οἱ γὰρ ζῶντες θαρσύνονται. Ἄλλως. θρήνει αὐτὸν, φησίν· οὐ γὰρ ἀσφαλὴς αὐτῷ ὑπόκειται ἐλπὶς ζωῆς. αἰνίττεται δὲ ὅτι ἡ Ἑρμιόνη αὐτὸν ἀναιρήσει. A.B.M.I.

445. ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν: ταῦτα ἐπὶ τῷ Ἀνδρομάχης προσχήματί φησιν Εὐριπίδης λοιδορούμενος τοῖς Σπαρτιάταις διὰ τὸν ἐνεστῶτα πόλεμον. καὶ γὰρ δὴ καὶ παρεσπονδήκεσαν πρὸς Ἀθηναίους, καθάπερ οἱ περὶ τὸν Φιλόχορον ἀναγράφουσιν. εἰλικρινῶς δὲ τοὺς τοῦ δράματος χρόνους οὐκ ἔστι λαβεῖν· οὐ δεδίδακται γὰρ Ἀθήνησιν. ὁ δὲ Καλλίμαχος ἐπιγραφῆναί φησι τῇ τραγῳδίᾳ Δημοκράτην. ἐξῆς δὲ αὐτοὺς εἴς τε τὰ ἄλλα καὶ φιλοχρηματίαν κακῶς λέγει. καὶ Ἀριστοτέλης δὲ τοῦτο ἱστορεῖ ἐν τῇ τῶν Λακώνων πολιτείᾳ καὶ τὸ ὑπὸ θεοῦ αὐτοματισθὲν προστίθησιν ἔπος

ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο γὰρ οὐδέν.

φαίνεται δὲ γεγραμμένον τὸ δρᾶμα ἐν ἀρχῇ τοῦ Πελοποννησιακοῦ πολέμου. A.M.

1. παρόντος] κακοῦ add. I.
ib. οὐδεμία] οὐ μία A.
ib. ἀναβολὴ] ἀντιβολὴ A.T.
ib. σῆς om. I.
3. θαρρεῖν—ἀναιρήσει] φησὶν οὐ γὰρ ἀσφαλὴς αὐτῷ ὑπόκειται ἐλπὶς—ἀναιρήσει. ἄλλως. θαρρεῖν — θαρσύνονται M.
4. θρήνει αὐτὸν φησὶν om. B.I.
ib. φησὶν om.
5. ἀσφαλὴς] θρασεῖά γ' αὐτῷ ἤγουν ἀσφαλὴς A. θρασεῖα ἤγουν ἀσφαλὴς G.
ib. ἐλπὶς ζωῆς] ἡ ἐλπὶς τῆς ζωῆς A.
ib. ἡ Ἑρμιόνη] ὁ ἑρμῆς A.
6. ἀναιρήσει] Sequitur in A. scholion superius, ἄλλως. θρασεῖα ...οὖσα θάρρος ἔχουσα τοῦ ζῆν. οἱ γὰρ ζῶντες θρασύνονται.
7. ἐπὶ τῷ] ἐν τῷ τῆς A. In G.T. scholion brevius, ταῦτα διὰ τῆς Ἀνδρομάχης φησὶν Εὐριπίδης λοιδορούμενος τοῖς Σπαρτιάταις, ὅτι παρεσπονδήκασιν (παρεσπονδίκευσαν G.) καὶ φιλοχρημάτους καλεῖ· ἐξ οὗ καὶ ἔπος "ἁ φιλοχρηματία Σπάρταν ἕλοι, ἄλλο δέ γ' οὐδέν."
9. καὶ γὰρ] ἥν γε A.
10. πρὸς M. εἰς A.
ib. τὸν Φιλόχορον ἀναγράφουσιν] τὸν φιλόχωρον ἀναγράφοντες M. τοῦ φιλοχόρου ἀναγράφουσιν A.
ib. εἰλικρινῶς—Δημοκράτην om. A.
11. δεδίδακται Cobetus pro δέδεικται.
13. ἐξῆς—λέγει Cobetus. ἔξω δὲ αὐτοὺς εἴς τε τὰ ἄλλα καὶ φιλοχρημάτους αὐτοὺς λέγει M. ἐξῆς δὲ αὐτοῖς εἴς τε τὰ ἄλλα καὶ φιλοχρημάτους κακῶς λέγει A.
16. ἁ—πολέμου om. M.
ib. ἁ—ὀλεῖ] ἀφιλοχρηματίας σπάρταν τις ἕλοι A.
17. φαίνεται A., non καὶ φαίνεται ut ap. Cobetum.

448. ἑλικτὰ κοὐδὲν ὑγιές: περικυκλοῦντες ψευδέσι λόγοις τὴν ἀλήθειαν καὶ μὴ κατ' εὐθεῖαν ἃ φρονεῖτε λέγοντες. A.B.M.I.

ἑλικτά: πανοῦργα, οὐχ ἁπλᾶ. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν παρὰ γεωμέτραις γραμμῶν. A.B.G.T.I.

454. δέδοκται: νενόμισται, δεδοκίμασται. B.M.I.

κεῖνα γάρ μ' ἀπώλεσεν: τότε ἐλυπήθην ἤπερ νῦν. B.I.

455. ἀναλώθη: ἐπορθήθη. M.

456. ὅς σε πολλάκις: ἀντὶ τοῦ ἵστασθαι ἐπὶ τῆς χέρσου καὶ μάχεσθαι ναύτην ἔθηκε κακὸν, τουτέστιν εἰς τὰς ναῦς ἀπεδίωξε τρεπόμενος. A. Ἄλλως. ὅστις σὲ πολλάκις ἀντὶ τοῦ ἐπὶ τῆς παρατάξεως ἑστάναι καὶ πολεμεῖν ναύτην κακὸν ἐποίησε διωκόμενον. τὸ γὰρ κακὸν πρὸς τοῦτο εἶπεν, ὅτι φεύγων τὴν ἐν τῷ πεδίῳ μάχην εἰς τὰς ναῦς κατέφυγεν. Καὶ ἄλλως. εἰς τὰς ναῦς εἰλούμενος καὶ διωκόμενος. ἐκείνων δ' ἂν εἴη τῶν ἐπῶν μεμνημένος "εἰσωποὶ δ' ἐγένοντο νεῶν, περὶ δ' ἔσχεθον ἄκραι νῆες, ὅσαι πρῶται εἰρύατο." A.B.M.I.

457. ναύτην: ναύμαχον. M.

χερσαίου: πεζομάχου καὶ ἐπιγείου. M.

462. πράσσω κακῶς: δυστυχῶ. M.

463. μηδὲν τόδ' αὔχει: διὰ τοῦτο μὴ καυχῶ. B.M.

464. Τὸ παρὸν εἶδος καὶ τοῦτο ἰαμβικόν ἐστι· ἔχει δὲ διαφορὰν πρὸς τὸν ὄπισθεν χορὸν τὸ τὸν μὲν χορείῳ τε χρῆσθαι καὶ προκελευσματικῷ, ἐκεῖνον δὲ οὔ. ἔστι δὲ καὶ τοῦτο ἀκατάληκτον. G.T. δίδυμα: διπλᾶ. B.M.

465. ἀμφιμάτορας κόρους: τοὺς ἐκ διαφόρων μητέρων, ἐξ ἑνὸς

2. λέγοντες om. M.
3. ἡ δὲ A.G. δὲ om. ceteri.
ib. παρὰ] ἐν A.
4. γραμμῶν A.T. γραμῶν G. γραμμάτων B.I.
10. Ἄλλως add. A.
ib. ἀντὶ τοῦ addidi ex A.M. ἀντὶ τοῦ σε post παρατάξεως addunt Fl. 6. 15. Pars hujus scholii est in G. καὶ γὰρ φεύγων τὴν ἐν τῷ π. μ. εἰς τὰς ν. κατέφ. καὶ τὸ ἔπος· εἴσω δέ που γέν. νεῶν, περὶ δ' ἔσχεθον ἄκραι νῆες ποτειρύατο.
11. ναύτην κακὸν] ναύτην καλὸν Fl. 6. 15. ναύτην καλῶν B.I.
ib. τὸ] τί I.
12. ὅτι φεύγων—εἰρύατο om. M.
13. Καὶ ἄλλως om. A.
14. εἰσωποὶ —] Hom. Il. 14, 653.
15. νῆες—εἰρύατο om. A.
22. χορείῳ Matth. pro χρείῳ.
24. διπλᾶ] διπλά B.M. ut solent.
25. μητέρων] μητρῶν I. hic et p. 175, 7.

δὲ πατρός. οὐδὲ τούτους ἐπαινέσω τοὺς κόρους, λέγω δὴ τὰς ἔριδας τῶν οἴκων. A.B.G.M.I.

467. μίαν μοι στεργέτω: καὶ αὐτὸς μίαν μοι στεργέτω πόσις εὐνὴν τὴν ἐμὴν, καὶ αὐτὴν ἀκοινώνητον ἄλλου ἀνδρὸς, ἀντὶ τοῦ ἄμικτον. Ἄλλως. ἀκοινώνητον ἀνδρὸς εὐνάν: ἀντὶ τοῦ σώφρονα καὶ μὴ ἐπικοινωνοῦσαν ἑτέρῳ ἀνδρὶ ἢ τῷ γήμαντι μόνῳ νομίμως. A B.M.I. τὸ ἑξῆς μίαν εὐνήν. M.

472. οὐδὲ γὰρ ἐν πόλει: παρὰ τὸ Ὁμηρικὸν "οὐκ ἀγαθὸν πολυκοιρανίη." ἡ διπλῆ τυραννὶς δηλονότι. ἐκ γὰρ δύο τυράννων κακὸν ἐπὶ κακῷ γίνεται καὶ παρακολουθεῖ. B.M.I.

904. μὴ πεφυκότων : μὴ γεγενημένων, μὴ ὄντων. B.I. τὸ ἐξῆς, τίς ἂν εἴη συμφορά. P.

906. νοσοῦμεν : εἰς τὸ λέχος. M.P. ὑπηγάγου : εἰλκύσω. Fl. 2. εἰς τὸ ὁμολογῆσαι. P. ὑπέμνησας, προεκαλέσω, ἠρέθισας, ὑπεισῆλθες. σοφῶς με ὑπήγαγες, φησὶν, εἰς τὸ ὁμολογῆσαί σοι τὸ αἴτιον τῆς ταραχῆς τῶν οἴκων. ἀκριβῶς τὸ κατ' ἐμὲ ἔγνως

Basil. p. 579. τὸ δὲ) γονάζων ἐστὶ τὸ ἱκετεύων. MATTH.

1. ἐφορᾷς] ἐπισκοπᾶς (sic) ἐφορᾶς M.

2. ἀντὶ τοῦ καὶ add. A.M. nisi quod καὶ om. A.

ib. χωρὶς—ἐπεὶ om. G.

ib. ἱκετηρίας] ἱκετηρίων B.M. ἱκετηρίας οὖσα A.

3. χερσὶ καὶ] καὶ om. B.

4. στέμματι A.G.T. στόματι B.M.I.

6. τί χρῆμα (in lemmate)] πρὸς θεῶν add. M.

ib. τί χρῆμα κακὸν] τί χρῆμα om. B.I.

8. τινὲς post ἱστοροῦσι A.B.G.T.

9. γενέσθαι post Ἑλένης A.

ib. Ἑλένης] ἑρμιόνην addunt G.T.

ib. Κυπριακὰς] κυπρικὰς G.

10. συν͞τ (i.e. συντάξας) M. συγγράψας A. ξυνάψας B.G.T.

11. καὶ τὸν A. καὶ om. ceteri.

ib. ἐξ αὐτης τεχθέντα om. B.G.T.

ib. ἀλεξάνδρῳ A. ἀλᵉ M. ἀλέξανδρον G.T.

ib. Ἀγαυόν Cobetus. ἀγανόν A. M., om. G.T.

15. ἂν addidi.

19. εἰς τὸ λέχος] εἰς om. P.

20. προεκαλέσω A. προσεκαλέσω M.

21. ὑπήγαγες] ἐπήγαγες A.

ib. φησὶν post ὁμολογῆσαί σοι A.

πάθος καὶ ἐδελέασας πρὸς τὸ εἰς λόγους σοι ἐλθεῖν καὶ διηγήσασθαι τὰ συνέχοντά με. A.M. σοφῶς καὶ ἐπιτηδείως ἐθήρασας ἢ καὶ ἐκίνησας εἰς ἀφήγησιν τῶν κατ' ἐμέ. A.

907. ἀντὶ τοῦ: ἀντὶ τῆς σῆς. P.

910. τοιαῦτα ταῦτα: ἠθέλησα ἀμύνασθαι, ἢ συνείθισα ἐμαυτὴν εἰς ταῦτα. ἀπὸ κοινοῦ τὸ ἔρραψα. A.

911. ἔρραψας: ἐβουλεύσω, κατεσκεύασας. B.M.I.

912. νοθαγενεῖ: σημείωσαι τὸ ὄνομα. νόθῳ. ἀπὸ κοινοῦ δὲ τὸ ἔρραψας. M.

921. ὁμόγνιον: συγγενικὸν, ἀντὶ τοῦ προγονικόν. Διὸς ἀνεψιοὶ γὰρ Ὀρέστης καὶ Ἑρμιόνη. A.B.M.I.

922. προσωτάτω: πορρωτάτω τῆς χώρας. M.

924. φθέγμ' ἔχοντες: μονονουχὶ φωνὴν ἀφιέντες. B.M.I. τὸ δὲ μονονουχί ἀντὶ τοῦ διὰ τοῦτο. B.I.

927. ἐπ' αἰσχίστοισιν: ἢ αἰσχροῖς, ἢ ἐπ' αἰσχροῖς ἁλοῦσαν. B.M.I.

929. πῶς οὖν τάδ': λέγοι ἄν τις καὶ ἐρωτήσειε, πῶς ταῦτα ἡμάρτανες δεδοικυῖα τὸν ἄνδρα, ἵν' ᾖ τὸ ὡς ἀντὶ τοῦ οὕτως. Ἄλλως. ὡς ἄν τις εἴποι, πῶς οὖν ταῦτα ἐξημάρτανες, οὕτως δεδοικυῖα τὸν Νεοπτόλεμον; A.M. Ἄλλως. πῶς οὖν ταῦτα ἐξήμαρτες, ἵν' οὕτως αὐτὸ ἁμαρτίαν καλέσω; A. ἀλλ' εἰ ἐρωτήσειέ τις πῶς ταῦτα ἐξημάρτανες, πῶς ἂν διηγήσαιτό τις; T.

930. κακῶν γυναικῶν εἴσοδοί μ' ἀπώλεσαν: τὸ χ ὅτι εἰς παροιμίαν μετήχθη ὁ στίχος. A.M.

2. συνέχοντα] κατέχοντα A.

10. συγγενικὸν—προγονικόν Matth. pro συγγενικῶς—προγονικῶς (προομογνίου M. πρὸς ὁμογνίου A.) Et συγγενικὸν est in A.

13. μονονουχὶ φωνὴν ἀφιέντες] Sic Demosth. p. 9, 11. καιρὸς μονονουχὶ φωνὴν ἀφιείς.

15. ἢ αἰσχροῖς] ἢ αἰσχρῶς Matth.

17. λέγοι—δεδοικυῖα] ἄλλως. εἴ τις ἐρωτήσειε πῶς οὖν ταῦτα ἐξημάρτανες δεδοικυῖα A.

18. οὕτως] οὐ A. hic et mox iterum.

21. ἀλλ'—] Cod. ὡς ἂν ἐρωτήσειέ τις, ὡς ἐξημ. sed Florr. 6. 15. qui priora tantum usque ad ἐξημ. habent, ut edidi, nisi quod πάντα ἐξ. exhibent. ἀλλ' ἐρωτήσεις τίς πῶς ταῦτα ἐξημάρτ. I. ubi Barn. ἐρωτήσει τις. MATTH. In B. nihil praeter ἀλλ' εἰ ἐρωτήσειέ τις πῶς πάντα ἐξημάρτανες. Eadem fere in A.M. qui ἀλλ' εἰ ἐρωτήσειέ τις (ἀλλ' ἐρωτήσει τις M.) πῶς ταῦτα ἡμάρτανες (haec ante τὸ χ ὅτι etc.)

23. κακῶν—ἀπώλεσαν] In A.M. huic annotationi praefixum πῶς οὖν τάδ' (ex v. 929.) Correxit Cobetus. De versu hoc in proverbium

931. ἐχαύνωσαν: ἠπάτησαν, ἐπτέρωσαν, τουτέστιν ἐπῆραν. M. ἠπάτησαν, ἀνεπτέρωσαν, ἠπάλυναν. B. ἐχαύνωσαν: ἠπάτησαν, ἀντὶ τοῦ ἐπῆραν, τουτέστιν ὥσπερ ἐπαφῆκάν με. A. αὐχένωσαν: ἐπτέρωσαν, ἐπῆραν. γράφεται ἐχαύνωσαν. T.

933. ἀνέξει: λείπει περιορᾶν. P.

935. βλέπουσ': ἀντὶ τοῦ βλεπούσης. σημαίνει δὲ τὸ ζώσης. ἢ οὕτως, οὐκ ἄν με ζῶσαν ἐκληρονόμει. A.B.M.

938. ἐξηνεμώθην: ἀνεπτερώθην, ἀνεκουφίσθην, ὑψώθην, ἐπήρθην. A.B.M.I.

τί γάρ μ' ἐχρῆν: τί γὰρ ἐφύλαττον τὸν ἄνδρα μου ἑτέρᾳ μὴ συνελθεῖν γυναικὶ ἔχουσα παρ' αὐτοῦ τὰ ἐπιτήδεια; A.B.M.

944. λείπει ἡ μὴ ἀπαγόρευσις. P.

947. ἡ μέν τι κερδαίνουσα: λαβοῦσά τι παρά τινος ἐραστοῦ. B.

948. ἀμπλακοῦσα: ἐξαμαρτοῦσα ἀνδρὸς, ὅ ἐστι διαζευχθεῖσα, συννοσεῖν ἀνανδρίαν αὐτῇ βούλεται καὶ τὰς ἄλλας. A.B.M.I.

συννοσεῖν: συμπάσχειν ἑαυτῇ καὶ τὰς ἄλλας βούλεται, ἵνα μὴ μόνη ἀσχημονῇ. A.B.M.I.

949. μαργότητι: μανίᾳ, πορνείᾳ· ὅ ἐστι πορνεύουσα. βούλεται πρὸς ἀπολογίαν αὐτῆς πάσας ἀσχημονεῖν. A.B.M.I. ἀπληστίᾳ τοῦ λέχους. οὐ βούλονται μόναι φθείρεσθαι, ἀλλὰ καὶ ἑτέρας εἰς τὸ αὐτὸ ἁμάρτημα ἄγειν. A.

954. εἰς τὸ σύμφυτον: εἰς τὸ γυναικεῖον γένος. B.M.I.

verso etiam aliunde constat, de quo v. Wyttenb. annot. ad Plut. Mor. p. 143 E.

P. 191. l. 24. μετήχθη post ὁ στίχος A. addens εἴ τις ἀντιλέξειεν. quae verba spectant ad ὡς εἴποι τις v. 929.

3. τουτέστιν] τοῦτο A.

6. ἀντὶ τοῦ om. B. ἀντὶ τοῦ βλεπούσης etiam in Fl. 2.

ib. ἢ — ἐκληρονόμει] ὁ λόγος οὕτως ὅταν με ζῶσαι οὐκ ἂν ἐκληρονόμησας τὰ ἐμὰ λέχη A.

8. ἀνεπτερώθην] ἀνεπεραιώθην I.

ib. ἀνεκουφίσθην M. ἐκουφίσθην B. I. In A. est ὑψώθην, ἐκουφίσθην, ἐπαρθῶ, ἠπατήθην :—

15. ἀμπλακοῦσα] καὶ ἄλλως praefixum in B.I. in quibus verba συννοσεῖν—ἀσχημονῇ. καὶ ἄλλως ante ἀμπλακοῦσα posita sunt.

ib. ἐξαμαρτοῦσα] ἐξαμαρτάνουσα I.

16. αὐτῇ add. M. et qui post βούλεται habet A.

17. συμπάσχειν] συμπάσχων I.

ib. ἑαυτῇ καὶ A. καὶ om. B. M.I.

ib. βούλεται addidi ex M.

ib. β. καὶ τὰς ἄλλας] βούλεται τι τὰς I.

19. βούλεται M. βούλεται δὲ A. B.I.

955. *συγγνωστὰ μὲν οὖν σοι τάδε: διὰ τὸ ὑπὸ τῆς λύπης νικᾶσθαί σε. ἀλλ' ὅμως τὰς γυναῖκας ἐνδέχεται περιστέλλειν καὶ κρύπτειν τὰ γυναικῶν ἐλασσώματα.* A.

956. *νόσους: γρ. φύσεις.* B.

957. *σοφόν τι χρῆμα: τοῦ δημιουργοῦ. λέγει δὲ τῆς φύσεως. ὁ δὲ νοῦς, σοφόν τι εὕρημα τοῦ κρείττονος τοῦ διδάξαντος τοὺς ἀνθρώπους ἀκούειν καὶ ἐναντίως παρὰ τῶν ἀντιλεγόντων, ἀντὶ τοῦ δύνασθαι κρίνειν τὰ παρὰ τῶν διχοστατούντων λεγόμενα. κἀγὼ γὰρ εἰδὼς τὴν σύγχυσιν τούτων τῶν οἴκων ἐκ τῆς διχοστασίας γενομένην ἀνέμενον ἀκοῦσαι τὰ παρὰ σοῦ λεχθησόμενα, εἴτε μένεις, εἴτε οὐ μένεις.* A. M. Fl. 15. *Ἄλλως. σοφὸς ὁ πρῶτος ἐπινενοηκὼς τρόπον τινὰ δι' οὗ τὰ τῶν ἐχθρῶν γνωρίζεται. δύναται γὰρ ἡ ἐπαγωγὴ τοῦτο δηλοῦν. ἐχθρὸς δὲ ἦν τοῦ Νεοπτολέμου ὁ Ὀρέστης. Ἄλλως. τοῖς λεγομένοις παρά τινος, φησὶν, οὐ δεῖ ἁπλῶς πιστεύειν πρὶν ἀκούσει τις παρ' αὐτοῦ τοῦ δρῶντος ἢ πάσχοντος, παρὰ τὴν παροιμίαν "μηδὲ δίκην δικάσῃς πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς." Ἄλλως. σοφόν τι εὕρημα τοῦ κρείττονος τοῦ διδάξαντος τοὺς ἀνθρώπους λόγους ἀκούειν παρὰ τῶν πέλας.* A.M. *Ἄλλως. σοφὸς ἂν ἦν ὁ διδάξας μακροθυμεῖν καὶ ἀπὸ τῶν διαλεγομένων ἀκούειν.* A.

961. *φυλακάς: ἀντὶ τοῦ ἔμενον ταῦτα φυλάσσων καὶ παρατηρῶν.* M.

4. *φύσεις*] Hic in B. finitur folium 158 b. Paginae proximae pars dimidia vacua relicta. Pars inferior incipit v. 1211. *ὦ πόλις διπλᾶν* etc. Simili codice defecto usus est Arsenius: unde factum ut ad v. 965.—1261. scholia in I. nulla sint, praeter quattuor ad 1034. 1038. 1139. 1259.

5. *τοῦ δ.—νοῦς* om. Fl. 15.

6. *εὕρημα*] *εὕρεμα* A. (hic et l. 16.) Fl.

ib. *κρείττονος τοῦ* om. Fl.

ib. *ἀνθρώπους ἀκούειν καὶ ἐναντίως* M. *βροτοὺς ἀκούειν ἐναντίους* (*ἐναντία* Fl.) A. Fl.

7. *ἀντὶ τοῦ*] *ἂν* A.

8. *παρὰ*] *περὶ* Fl.

ib. *λεγόμενα*] Hucusque scholion est etiam in G.T. cum hac varietate: *σοφόν τι χρ. καὶ εὕρεμα τοῦ δ. τοῖς ἀνθρώποις ἀκ. ἐν. λ. παρὰ τῶν ἀντ. ἀ. τοῦ δ. κρ. τὰ παρὰ τῶν ἐχθρῶν λ.*

ib. *τὴν* (*τὴν* om. Fl.) *ἐκ—γενομένην*] *τῶν ἐκ—γενομένων* M.

9. *ἐκ τῆς*] *τὴν ἐκ τῆς* A.

11. *πρῶτος*] *πρώτως* A. Idem *τινὰ* om.

13. *τοῖς λ. παρά τινος, φησὶν*] *φασὶν ὅτι τοῖς λ. παρὰ τινῶν* A.

15. *παρὰ*] *ἢ παρὰ* M.

ib. *μηδὲ*] *μὴ τὴν* A. Versus *ψευδησιόδειος* (ut ait Cicero Ep. ad Att. 718.) de quo v. Goettl. ad Hesiodi fragm. 182. et Schol. Hippol. 264.

964. σὰς μὲν οὐ σέβων ἐπιστολάς: ἀπ' ἐμαυτοῦ ἦλθον προεγνωκὼς ταῦτα, οὐ γράμματά σου δεξάμενος. M.I.

965. εἰ δ' ἐνδιδοίης: εἰ δὲ θαρσήσειάς μοι σαυτὴν, ὥσπερ καὶ εἰς τὸν λόγον. Ἄλλως. εἰ δὲ καὶ πράγματί μοι θαρσήσειας σαυτὴν, ὥσπερ καὶ λόγοις θαρρεῖς μοι σαυτήν. εἶπε γὰρ "πέμψον με ἀπ' οἴκων τῶνδε." A.M.

967. κάκῃ: κακίᾳ. M.

971. ἐπεὶ δ' Ἀχιλλέως: ἐπεὶ δὲ πορθήσαντι αὐτῷ τὴν Ἴλιον ἐτελείωσε τὴν ὑπόσχεσιν. G.M.T. δεῦρ': εἰς τὴν Ἑλλάδα δηλονότι. M.

972. σῷ μὲν συνέγνων: συγγνώμην ἐδίδων, συνεχώρησα τοῦτο. δι' ἀνάγκην γὰρ αὐτὸ ἵνα ἦκεν, ἵνα Τροίαν ἕλῃ. A. τόνδ' ἐλισσόμην: ταῦτα, φησὶν, ἔλεγον αὐτῷ, παραχώρησόν μοι τὴν παῖδα, ἐπεὶ οὐκ ἄλλοθεν γυναῖκα προσδοκῶ λαβεῖν ἢ παρὰ συγγενῶν, φυγὰς ὤν. A.M. Fl. 15.

976. φεύγων ἀπ' οἴκων: Μυκηναῖος ὢν ὁ Ὀρέστης καὶ γαμῶν συγγενῆ καὶ Σπαρτιάδα ἐδύνατο τὴν πατρίδα φεύγων διὰ τὸν νόμον εἰς τὸν οἶκον τῆς γαμετῆς, ὅ ἐστιν εἰς τὴν Σπάρτην, φεύγειν καὶ μὴ ἁλᾶσθαι. ῥᾷον δέ ἐστι τοῦτο, φησὶ, φυγὴν εὑρεῖν εἰς οἶκον γαμετῆς ὤν, ἔκτοθεν δὲ οὐδαμῶς. καὶ γὰρ

ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.

τὸ δὲ συγγενὲς κατὰ φυσικὴν ἀνάγκην δοῦλον, ὡς καὶ ἐν Δυσκόλῳ

1. ἦλθον] ἐνταῦθα add. Fl. 15.

2. οὐ—δεξάμενος M. οὐ γὰρ γράμματα περὶ σοῦ ἐδεξάμην Fl. 15. οὐ διὰ τὰς σὰς ἐπιστολάς. οὐ γὰρ ἐπεστάλη μοί τι παρὰ σοῦ I.

3. εἰ δ'—οἴκων τῶνδε] εἰ δ' ἐνδοίης ὥσπερ ἐνδίδως: ὁ λόγος· εἰ δὲ καὶ πράγμασιν θαρρήσειάς μοι σαυτὴν, ὡσπερεὶ καὶ λόγοις θαρρεῖς μοι σαυτήν. εἶπε γὰρ πέμψον μοι ἀπ' οἴκων τῶνδε. ἄλλως. εἰ δὲ καὶ πράγμασι σαυτήν μοι ἐνδοίης, ὡς καὶ ἐν λόγοις ὑπέσχου καὶ δέδωκας. εἶπε γὰρ πέμψον μ' ἀπ' οἴκων τῶνδε :—A.

8. ἐπεὶ δὲ] δὲ om. G.T.

13. παραχώρησον]ὅτι παραχώρησον Fl.

ib. ἐπεὶ οὐκ—φυγὰς ὤν] Haec etiam in G.T.

16. φεύγων—] Idem scholion est in P. sic scriptum, φεύγων ἀπ' οἴκων. μυκηναῖος γὰρ ὢν ὀρέστης καὶ γαμῶν συγγενὴς σπαρτιάδα ἐδύνατο—φεύγειν καὶ μὴ ἐν ξένοις ἁλᾶσθαι. ἀλλὰ ἀραιότερον. φησὶ γὰρ φυγὴν εὑρεῖν εἰς οἶκον γαμετῆς ὢν ἔκτοθεν οὐ ῥᾳδίως· καὶ γὰρ ἀνδρὸς — φησὶν ὁ μένανδρος, οὐκ ἔνεστιν ἴσως φυγεῖν οἰκ..ην δάερ. ἄλλως. ὡς φίλων μὲν ἂν γήμαιμ' ἀπ' ἀνδρῶν φεύγων ἀπ' οἴκων ἃς ἐγὼ φεύγω φυγάς :—

ib. ὢν] γὰρ ὢν A.

17. καὶ Σπαρτιάδα] καὶ om. A.

19. ῥᾷον—οὐδαμῶς. καὶ γὰρ M. ἀλλ' ἀραιότερον (i. e. ἀλλὰ ῥᾳότερον) φησὶ τὴν φυγὴν ἐρεῖν εἰς οἶκον τῆς γαμετῆς ὢν ἔκτοσθε οὐ ῥᾳδίως. καὶ γὰρ A.

ib. φυγὴν] φυγὴν γὰρ M.

21. ἐκποδὼν] ἐκποδῶν A. Versus proverbialis citatus etiam ab schol. Phoen. 403.

φησὶν ὁ Μένανδρος "οὐκ ἔνεστί σοι φυγεῖν οἰκειότητα, δᾶερ." A.M. Ἄλλως. φίλων ἂν γήμαιμ' ἀπ' ἀνδρῶν: οἷον, οὐκ ἄν τις εὕροι συγγενοῦς χρησιμώτερον ἐν καιρῷ δυστυχίας. A.M.

982. περιπετεῖς: οὐκ ὀρθῶς πεπτωκυίας. P.

985. τὸ συγγενὲς γὰρ δεινόν: ἀντὶ τοῦ αὔταρκες καὶ ἱκανὸν εἰς ἐπικουρίαν ἐν ταῖς συμφοραῖς. τὸ δὲ δεινὸν καὶ ὁ ῥήτωρ ἀντὶ τοῦ ἱκανὸν τέταχεν "δεινὸς πράγμασι χρῆσθαι." A.M. δεινόν: χρήσιμον. M.P.

986. οἰκείου φίλου: ἀντὶ τοῦ συγγενοῦς. καὶ ἐν Βάκχαις

Βρόμιος ἄναξ ἀπώλεσ' οἰκεῖος γεγώς. M.P.

987. νυμφευμάτων μὲν τῶν ἐμῶν: εἰ τῶν πρώην νυμφευμάτων ἐμῶν σε ἐστέρησε καὶ τοῦτο δέδωκεν ὁ πατὴρ ὁ ἐμός, τὴν αἰτίαν ἔξει· οὐ γὰρ ἐμὸν τὸ κρίνειν. οἷον, αὐτός σοι ἀπολογήσεται. A.M.P. Ἄλλως. εἰ νυμφευμάτων σε τῶν ἐμῶν ὁ πατὴρ πρὶν ἐστέρησεν, ἐκεῖνος μεριμνάτω καὶ ἀπολογείσθω σοι περὶ τούτου. A.

990. φθῇ με: προλάβῃ με. Par. 2818.

991. ἐξερημοῦσαν: καταλιμπάνουσαν, ἔξω οὖσαν τῆς οἰκίας. Par. 2818.

992. Πηλεύς: καὶ μὴ οὕτως. superscr. in Par. 2818.

πωλικοῖς: ἐφίπποις. διώγμασιν: πορείαις. Par. 2818.

993. θάρσει γέροντος χεῖρα: διὰ τὴν χεῖρα τοῦ Ὀρέστου γέροντος θάρσει. P. παραινεῖ αὐτῇ μὴ δίκην αἰχμαλώτου φυγεῖν, ἀλλὰ σχολαίτερον καλῶς τὰ καθ' ἑαυτὴν διοικήσασαν λαβοῦσαν κόσμον ἴδιον, ἄλλα τε χρήματα, θεραπαίνας καὶ θεράποντας, οἷς ἐθάρρει. A.M.P.

995. τοία γὰρ αὐτῷ: ἐμφαίνει ὅτι προδιέθηκε τοὺς Δελφοὺς κατὰ τοῦ Νεοπτολέμου. A.M.P.

1. οὐκ ἔνεστί σοι φυγεῖν] οὐκ ἔνεστ' ἴσως οἰκεῖν A.

ib. δᾶερ] δάερ M. δάει A.

2. οἷον—πράγμασι χρῆσθαι] Haec etiam in P.

3. δυστυχίας] ἀτυχίας A.P.

5. τὸ συγγενὲς γὰρ δεινόν: ἀντὶ τοῦ αὔταρκες] ἄλλως. (ἀντὶ τοῦ addit P.) αὐταρκὲς M.P.

ib. ἱκανὸν] ἱκανοῦ A. Scribendum potius τὸ δεινός—ἀντὶ τοῦ ἱκανός.

6. ὁ ῥήτωρ] Demosth. p. 10, 2. Corrupte in G. τὸ δεινὸν καὶ ῥήτωρ ἀντὶ τοῦ ἱκανῶς τέτευχεν ὡς καὶ δεινὸς ῥήτωρ καὶ δεινοῖς πράγμασι χρῆσθαι.

9. Βάκχαις] V. 1202.

12. τοῦτο] τούτῳ A.M.

20. ἐφίπποις] ἐφιππος Par.

22. παραινεῖ] ἄλλως praefixum in P.

24. θεραπαίνας] θεραπένας M.

27. κατὰ τοῦ νεοπτολέμου M. καὶ

998. Δελφὶς πέτρα : ἡ Πυθία. M.P.

999. μητροφόντης : τῶν ἀδελφῶν. M.

1002. πατρός : ὑπὲρ τοῦ πατρός. M.P.

1005. ἀλλ' ἔκ τ' ἐκείνου : ἀμφότερα, φησὶν, αὐτὸν ἀναιρήσει, πρῶτον αὐτὸς ὁ θεὸς, εἰς ὃν ἠσέβησεν, εἶτα καὶ αἱ παρ' ἐμοῦ διαβολαί. διαβεβλήκει γὰρ αὐτὸν ὡς ἐπὶ πορθήσει τοῦ ναοῦ ἐληλυθότα. A.M.P. Fl. 15.

1007. ἐχθρῶν γὰρ ἀνδρῶν : φιλεῖ πως ὁ δαίμων ἀναστρέφειν ἀεὶ τοῖς ἀνθρώποις τὰ πράγματα καὶ τοὺς ἐχθροὺς ποτε μέγα φρονοῦντας ὕστερον ταπεινοῦν, ὅπως μηδεὶς μηδενὸς ὑπερφρονοίη. τοῦτο δέ φησι διὰ τὸν Νεοπτόλεμον, ὅτι τότε παρακαλούμενος παραχωρῆσαι τὴν Ἑρμιόνην ὑπερεῖδε καὶ νῦν αὐτῆς ἀποστερεῖται. A.G.M.P.T. Ἄλλως. τῶν γὰρ ἐχθρῶν αὐτῷ, φησὶν, ὁ θεὸς τὴν μοῖραν, ὅ ἐστι τὴν εὐμοιρίαν, καταστρέφει καὶ μέγα φρονεῖν οὐκ ἐᾷ. A.M.P. Fl. 15. Ἄλλως. τῶν ἐναντιουμένων γὰρ αὐτῷ ἀνθρώπων τὴν μοῖραν ὁ θεὸς εἰς καταστροφὴν ἄγει. M.

ταῦτα εἰπὼν ἔρχεται ἔχων τὴν Ἑρμιόνην. P.T.

1009. ἰὼ Φοῖβε τὸν ὑψηλὸν τόπον πυργώσας καὶ ποιήσας αὐτὸν εὐτειχῆ. Ἄλλως. βουλόμενος παραμυθήσασθαι ὁ χορὸς τὴν Ἑρμιόνην, ὡς μέλλουσαν συνοικεῖν ἑτέρῳ ἀνδρὶ, φησὶν ὅτι καὶ ἄλλαι τοῦτο πεπόνθασιν Ἑλληνίδες ἐξ αἰτίας τῆς κατασκαφῆς τῆς Τροίας. ἄρχεται τοίνυν ἐκ τοῦ πρώτου αἰτίου, ὅ ἐστι τῆς πορθήσεως τῆς

τοῦ νεοπτολέμου φόνον P. In A. est προ.....εἰς τὸν κατὰ τοῦ νεοπτολέμου φόνον. in quo haec ad Δελφίς (v. 998.) sunt adscripta post aliud scholion (ad verba πάρος μὲν οὐκ ἐρῶ (v. 997.) πρὶν σκευασθῆναι αὐτῇ καὶ μάθῃ ἐκ τῶν δελφῶν.

1. ἡ Π.] ἡ om. M.

4. φησὶν αὐτὸν] αὐτὸν φησὶν Fl.

5. πρῶτον om. P.

ib. αὐτὸς om. A.

ib. ἠσέβησεν] ἠσέβηκεν A. ἠσέβησε πρῶτον M. εἰσέβηκεν Fl.

6. διαβεβλήκει] διαβέβληκε P. Fl.

ib. ὡς om. P.

9. τὰ πράγματα] τὰ om. A.M.

ib. ποτε—Ἑρμιόνην] ποτὲ μεγάλα φρονοῦντας ὕστερον ταπεινοῦν. τοῦτο δέ φησιν ὅτι ὁ νεοπτόλεμος παρακαλούμενος οὐκ ἀφεῖλε τὴν ἑρμιόνην G.T.

11. διὰ τὸν νεοπτόλεμον A. κατὰ τὸν (τὸν om. P.) νεοπτόλεμον M.P.: unde Cobetus κατὰ τοῦ Νεοπτολέμου.

ib. παραχωρῆσαι] παραχωρεῖν M.

12. ὑπερεῖδε om. G.T.

13. Ἄλλως om. Fl.

ib. αὐτῷ] αὐτῶν A.

17. ἔρχεται ἔχων] ἀπῆλθεν πρὸς P.

18. ἰὼ Φοῖβε—] Alio ordine in P. ἰὼ φοῖβε. ὁ χορὸς—τὴν ἅλωσιν τῆς τροίας. πυργώσας τὸν ὑψηλὸν πύργον. πυργώσας καὶ ποιήσας—εὐτυχῆ (εὐτυχῆ etiam M.) ἄλλως. πυργώσας. βουλόμενος—ἑρμιόνην ὡς μέλλουσαν—ἄρχεται ἐκ τοῦ—πορθήσεως τῆς τροίας :—

22. ὅ ἐστι τῆς πορθήσεως] ὅ ἐστι ἡ πόρθησις A.

Τροίας. Ἄλλως. ὁ χορὸς ἐναντία ὥσπερ τὰ πράγματα ὁρῶν θαυμάζει πῶς καὶ ὑπὸ τῶν θεῶν ᾠκοδομήθη ἡ Τροία καὶ ἀτίμως ἑάλω, συμπαθὼν δὲ τῇ Ἀνδρομάχῃ ὀδύρεται τὴν ἅλωσιν τῆς Τροίας. A.M.P.

1012. κυανέαις ἵπποις: μελαίναις. ἐπὶ γὰρ ἵππων μελαινῶν λέγεται τὸν Ποσειδῶνα ὀχεῖσθαι διὰ τὴν χροιὰν τοῦ πόντου. καὶ Ὅμηρος λέγει μέλανα πόντον, καὶ κυανοχαίτην εὐλόγως τὸν Ποσειδῶνα λέγουσι καὶ θύουσιν αὐτῷ παμμέλανας ταύρους διὰ τὴν αὐτὴν αἰτίαν. A.

1014. ὀργάναν χέρα: τὸ ἔργον καὶ τὴν κατασκευήν. M. Par. 2818. ἀντὶ τοῦ ἐργαστικῶν χειρῶν. P.T. τίνος οὕνεκ' ἄτιμον ὀργάναν χέρα: τί οὖν ὀργάναν χέρα; ἀντὶ τοῦ ἐργατικὴν χεῖρα. ἄτιμον δὲ εἶπεν ὅτι μισθὸν οὐκ ἀπέδωκε Λαομέδων τῆς τειχοδομίας αὐτοῖς. Ἄλλως. τινὲς τὸ χέρα ἀντὶ τοῦ χειρὸς καὶ τὸ τεκτοσύνας ἀντὶ τοῦ τεκτοσύνης, ἀντὶ τοῦ ὅσα διὰ χειρῶν τεκτήνασθαι. A.G.M.P. Ἄλλως. τίνος ἕνεκα τὸ τῆς χειρὸς τῆς ὑμετέρας ἔργον ἀτίμως παραδεδώκατε τῷ Ἄρει; A.G.M.P.T.

1016. δορυμήστορι προσθέντες: παραδόντες. T. τῷ πάντα διὰ δόρατος μηχανωμένῳ. A.M.T.

1018. ὄχους: δίφρους. Par. 2818.

1020. ἔθετ' ἀστεφάνους: κακοστεφάνους. στέφανος γὰρ τοῖς ἐν πολέμῳ νικήσασι τὸ αἷμα. Ἄλλως. αἷς οὐ πρόκειται στέφανος

1. θαυμάζει—] Haec etiam in G. T. sic, θαυμάζει ὁ χορὸς πῶς παρὰ τῶν θεῶν—ἑάλω. παθὼν—τὴν πόρθησιν τῆς τροίας. In A. ὁ χορὸς ἐναντία εἶπε παρὰ τὰ πράγματα θαυμάζει ὃ θαυμάζει πῶς ὑπὸ τῶν θεῶν—ἑάλω. λαθὼν δὲ τῇ—ὀδύρεται τὴν πόρθησιν ἰλίου:—

11. τίνος οὕνεκ'—] In A. ὀργάναν χέρα: τὴν χέρα ἀντὶ τοῦ χειρὸς καὶ τὸ τεκτοσύναν ἀντὶ τοῦ τεκτοσύνην, ἀντὶ τοῦ ὅσα διὰ χειρῶν τεκτήνασθαι. ἄτιμον δέ φησι ὅτι τὸν μισθὸν οὐκ ἀπέδωκεν ὁ λαομέδων τῆς τειχοδομίας αὐτοῖς. ὁ δὲ λόγος, τίνος ἕνεκα τὸ τῆς ὑμετέρας χειρὸς ἔργον παραδεδώκατε ἀτίμως τῷ ἄρει:—In P. hoc ordine, τίνος οὕνεκ' ἄτιμον ὀργάναν χέρα. ἄτιμον ἔφη ὅτι τὸν μισθὸν —αὐτοῖς. τί οὖν ὀργάναν χεῖρα ἀντὶ τοῦ ἐργατικὴν χεῖρα. καὶ ἄλλως. τίνος ἕνεκα —παρεδώκατε τῷ ἄρει. ἄλλως. ὀργάναν χέρα. τινὲς τὸ χέρα ἀντὶ τοῦ χερός καὶ τὸ τεκτοσύναν ἀντὶ τοῦ τεκτοσύνην, ἀντὶ τοῦ—τεκτήνασθαι:—In G. haec, ὀργάναν χέρα. ἀντὶ τοῦ χειρὸς καὶ τεκτοσύνας ἀντὶ τοῦ τεκτοσύνην. (Haec etiam in T.) ἤγουν ὅσα διὰ χειρῶν τεκτήνασθαι. τίνος ἕνεκα—τῷ ἄρει.

17. Ἄρει] Hic in M. sequuntur illa ἄτιμον—τειχοδομίας αὐτοῖς.

22. ἐν πολέμῳ] ἐμπολέμοις M.

ib. αἷς οὐ πρόκειται—] In Fl. 15. αἷς οὐ πρόκειται στέφανος, κακοστεφάνους· στεφανοῦσι γὰρ τοῖς ἐν πολέμῳ νικῶσι τὸ ἅρμα.

ἐν τοῖς γυμνικοῖς ἀγῶσι. M.P. κακοστεφάνους, τὰς ἐχούσας στέφανον τὸν θάνατον. T.

1026. ἀλόχου παλάμαις : οἴχεται, διεφθάρη ὁ Ἀγαμέμνων ταῖς Κλυταιμνήστρας χερσὶν, αὐτή τε ἡ Κλυταιμνήστρα ἀντὶ τοῦ θανάτου τοῦ Ἀγαμέμνονος φόνον ἀλλαξαμένη πρὸς τοῦ Ὀρέστου ἀπήλαυσε τῆς οἰκείας δηλονότι κακίας. A.

1027. αὐτά τ' ἐναλλάξασα : ἀλλ' οὐκ ἀτιμώρητος, φησὶν, ἔμεινεν ἡ Κλυταιμνήστρα, ὑπὸ τῶν ἰδίων τέκνων ἀναιρεθεῖσα, ἀντιδοῦσα τὸν ἑαυτῆς θάνατον ὑπὲρ τοῦ φόνου τοῦ Ἀγαμέμνονος. A.G. M.P.T.

1029. ἀπηύρα : ἀπήλαυσε θανάτου. Par. 2818.

1031. μαντόσυνον : τὸ μαντικόν. M. λείπει ἤκουσεν, αὐτὸς τὸ μαντόσυνον κέλευσμα δηλονότι. ἐπίτηδες δὲ παρέλειψε τὸ ἤκουσεν, ἵνα μὴ φανῇ τοιαῦτα πείθων ὁ θεός. A.G.M.P.T.

1034. κέλωρ; υἱός. I.

1036. ὦ δαῖμον, ὦ Φοῖβε : τὸ ὦ δαῖμον ὁ χορὸς θαυμάζων ἀνεφώνησεν εἰ ὁ Ἀπόλλων τοῦτο προσέταξεν. A.M.T. Fl. 15. πῶς πείθομαι τοῦτο εἰρῆσθαι παρὰ σοῦ; M. Fl. 15.

1037. Ἑλλάνων ἀγόρους : ἀντὶ τοῦ ἀγορὰς τῶν Ἑλλήνων. T. Fl. 8. εἴδοσαν, φησὶ, κατὰ τὴν Ἑλλάδα συνεχεῖς θρήνους γενομένους περὶ τῶν κατὰ Ἴλιον ἀπολωλότων. θέλει δὲ εἰπεῖν ὅτι μία πρόφασις ὀλέθρου γέγονεν αἰτία Ἕλλησί τε καὶ βαρβάροις. A.M. Par. 2818.

1038. δυστάνων τοκέων ἄλοχοι : τοκέων ἀνδρῶν νυμφίων τῶν ἤδη πατέρων γενομένων παρὰ ταῖς ἰδίαις γυναιξί. καὶ αὐτοὶ γοῦν ἀποζων ἀνεφώνησεν εἰ ἀπόλλων τοῦτο προσέταξεν.

7. φησὶν om. G.T.

8. ὑπὸ M. καὶ αὐτὴ ὑπὸ P. ὑπὲρ A. παρὰ G.T.

ib. ἀντιδοῦσα] ἀντὶ τοῦ δοῦσα A.M.

9. τοῦ 'A.] τοῦ om. A.

12. λείπει (τὸ addit P.) om. G.T. "Scholion referas ad ὅτε νιν, ad quod subintelligi magister voluit ἤκουσεν, *quum illam oraculi vocem Orestes audivit.*" LENTING.

ib. αὐτὸς] αὐτὸ P. In M. gl. αὐτομαντόσυνον κέλευσμα.

16. τὸ ὦ δαῖμον—εἰ ὁ] θαυμάζει εἰ ὁ Fl. 15. In A.T. est ὁ χορὸς θαυμάζων ἀνεφώνησεν εἰ ἀπόλλων τοῦτο προσέταξεν.

17. Ἀπόλλων] ὁ ἀπόλλων Fl. 15.

21. περὶ] παρὰ M. Par.

ib. Ἴλιον] τὴν Ἴλιον Par.

ib. θέλει δὲ εἰπεῖν — καὶ βαρβάροις] Similiter G.T. de quibus v. ad p. 199, 16.

22. τε om. A.

24. τοκέων ἀνδρῶν] τοκέων om. P. T. et qui partem scholii (usque ad ἐπόθουν) habet G. in quo lemma δυστάνων τεκέων.

λοφυρόμενοι τὰς οἰκείας οὐ μόνον γαμετὰς, ἀλλὰ καὶ παῖδας ἐπόθουν, παρὰ τὸ Ὁμηρικὸν

αἱ δέ που ἠμέτεραι ἄλοχοι καὶ νήπια τέκνα.

ἐὰν δὲ ᾖ ἡ γραφὴ τεκέων, λείπει τὸ ἕνεκεν, ἄλοχοι δὲ ἀντὶ τοῦ γυναῖκες ἁπλῶς. A.G.M.T.

1039. μέλποντο: θρηνοῦντα ἀνέπεμπον. λείπει τὸ ἕνεκα. Par. 2818.

1040. ἐκ δ' ἔλειπον οἴκους: ἀπὸ κοινοῦ τὸ πολλαί. Καὶ ἄλλως. ἐκ δ' ἔλειπον οἴκους πολλαὶ καὶ ἄλλους ἐγάμησαν διὰ τὸ τοὺς προτέρους ἄνδρας τεθνηκέναι. M.P.

1041. οὐχὶ σοὶ μόνᾳ: οὐ σὺ, φησὶ, μόνη ἐξέπεσες τῆς ἐκ θεῶν εὐτυχίας, οὐδὲ μόνοι οἱ συγγενεῖς σου. G.M.P.T. Fl. 15.

1042. ἔπεσον: γρ. ἔνεσπον. T.

1044. νόσον Ἑλλὰς ἔτλα, νόσον: τοῦτο καθ' ἑαυτὸ ἀπολύτως ἀναγνωστεον. A.M. βούλεται εἰπεῖν ὅτι οὐ μόνον ἡ Ἴλιος, ἀλλὰ καὶ ἡ Ἑλλὰς ἐδυστύχησε καὶ μετέσχε τῶν δυσχερῶν. A.G.M.T.

1045. διέβα δὲ Φρυγῶν: μεγάλην, φησὶ, νόσον ὑπέμεινεν ἡ Ἑλλὰς τὴν τῆς Ἑλένης λαγνείαν, ἥτις διαβᾶσα ἄχρι τῆς Φρυγίας θρήνους καὶ συμφορὰς ἀπειργάσατο. A.M.P.T.

1046. σταλάσσων τὸν Ἅιδα φόνον: Ἀΐδῃ αἷμα σπένδων, στάζων καὶ ῥέων. Fl. 15. δίκην σκηπτοῦ ὁ στάζων καὶ ῥέων Ἀΐδι αἷμα σπένδων. Par. 2818.

1. γαμετὰς] γυναῖκας G.T.

2. Ὁμηρικὸν] Il. 2, 136. In T. est παρὰ τοῦ ὁμήρου.

3. τέκνα] εἴατ' ἐνὶ μεγάροισι ποτιδέγμεναι addit P.

4. ἐὰν δὲ—ἁπλῶς om. G.T.

ib. ᾖ om. M.

ib. τεκέων, λείπει Cobetus. τευχέων, λύεται A.M.P.

ib. γυναῖκες] αἱ γυναῖκες A.

8. Καὶ ἄλλως] καὶ om. P.

10. ἄνδρας om. M. In T. πολλοὺς δηλονότι ἄλλους ἐ. διὰ τὸ τοὺς προτέρους τεθνηκέναι.

11. οὐ—μόνη] φησὶν οὐ μόνη ἐξέπεσες G.T.

ib. τῆς ἐκ θεῶν M. τῆς πρὸς θεὸν P. τῆς πρόσθεν G.T.

12. οὐδὲ—σου] οὐδὲ μόνον τοῖς φίλοις Fl. In P. est τὸ φίλοις ἀντὶ τοῦ οὐδὲ μόνοις τοῖς φίλοις σου.

ib. σου om. M. Fl.

15. βούλεται] ἄλλως. βούλεται A. βούλεται δὲ M. In utroque haec adjuncta sunt scholio v. 1037.

16. ἐδυστύχησε (ἐδυστύχησεν M.)] ἐδυστύχησε καὶ ὅτι μία ἐλέθρου πρόφασις γέγονεν ἕλλησι καὶ βαρβάροις:—G.T. ex scholio v. 1037.

ib. καὶ μετέσχε τῶν δυσχερῶν addidi ex A.

17. ὑπέμεινεν ἡ Ἑλλὰς] καὶ ἡ ἑλλὰς ὑπέμεινεν P.

18. τῆς Ἑλένης M.P. τῶν ἑλλήνων A.T.

1047. *ἱστοροῦντί μοι*: *νῦν πυνθανομένῳ*. Fl. 15.

1050. *φρούδη*: *τὰ οἰκήματα ἐκλιποῦσα φρούδη γέγονεν*. A.M.

1052. *ἐκπονεῖν*: *οἰκονομεῖν*. P.

1053. *οὐδ' ἐμοὶ καλόν*: *οὐ πρέπει κρύπτειν τὸ συμβὰν ἡμῖν κακὸν τῆς Ἑρμιόνης. λέγει δὲ τὴν φυγὴν τῆς Ἑρμιόνης*. A. Fl. 15.

1059. *φόβῳ*: *τῷ φόβῳ τῷ ὑπὲρ τῆς αἰχμαλώτιδος*. Fl. 15. Par. 2818.

1063. *πορσύνων*: *κατασκευάζων*. Par. 2818.

1068. *παῖδ' Ἀχιλλέως*: *ἀντὶ τοῦ Νεοπτολέμῳ*. Par. 2818.

1072. *θυμὸς ὥς τι προσδοκᾷ*: *ὡς ἀεὶ ἡ ψυχὴ προσδοκᾷ*. M.

1077. *οὐδέν εἰμ', ἀπωλόμην*: *ἐγκαλεῖ Δίδυμος καὶ εὐεπίληπτόν φησι τὸν αὐτὸν ἐν πάθει ὄντα λέγειν "οὐδέν εἰμι, φρούδη μὲν αὐδή," παρὰ τὸ Ὁμηρικὸν "δὴν δέ μιν ἀμφασίη ἐπέων λάβεν." ἀλλ' ἐκεῖ οὐκ αὐτὸς ὁ πάσχων φησὶν, ἀλλ' ἕτερος περὶ αὐτοῦ*. A.P.

1078. *φροῦδα δ' ἄρθρα μου κάτω*: *ἀντὶ τοῦ ἀφανής εἰμι καὶ εἰς Ἅιδου βαδίζω*. A. *κάτω*: *παρὰ τοῖς κατοιχομένοις*. Par. 2818.

1079. *τὸ ἑξῆς, ἄκουσον πραχθὲν ἀνορθώσας τὸ σὸν σῶμα, εἴ τι δύνασαι εἰς ἐκδίκησιν αὐτοῦ πράξεις*. P.

1083. *μόνου παιδός*: *τοῦ μονογενοῦς ἐμοῦ παιδὸς ὁμογενὴς παῖς πῶς ἀπώλετο λέγει*. A.

1086. *ἡλίου διεξόδους*: *ἀντὶ τοῦ ἡμεροδρόμους*. Par. 2818. *ἡμέραις*. P. *τὸ ἑξῆς, τρεῖς μὲν φαεννὰς ἡλίου διεξόδους ἐξεπίμπλαμεν θεωροῦντες τὰ ἐν τῷ ἱερῷ*. A.P.

1088. *ὕποπτον*: *ὑποψίαν παρεῖχεν αὐτοῖς ὅτι κατάσκοποι ἦλθομεν*. P. *συστάσεις κύκλους τε*: *ἀθροίσεις. συστάσεις καὶ κύκλους ἐκ παραλλήλου τὰ συνέδριά φησιν*. A.P.

1092. *ὁρᾶτε τοῦτον*: *ὁρᾶτε τοῦτον καὶ δεύτερον παρόντα ἐφ' οἷς καὶ πάρος, ὅ ἐστιν ὥσπερ ἦλθε πολέμιος τότε, οὕτω καὶ νῦν*. A.P. Fl. 15.

2. *τὰ οἰκήματα — γέγονεν*] *ὅτι τὰ οἰκήματα καταλιποῦσα φρούδη γέγονας ἡ ἑρμιόνη* A.

4. *κρύπτειν* post *κακὸν τῆς ἑρμιόνης* A.

6. *ὑπὲρ*] *ὑπὸ* Matth.

9. *Νεοπτολέμῳ*] Immo *Νεοπτόλεμον*.

13. *παρὰ τὸ Ὁμηρικὸν (παρὰ τῷ ὁμήρῳ* A.)] Il. 17. 695. Od. 4. 704.

ib. *ἀμφασίη*] *ἀφασίη* P.

14. *περὶ*] *παρ'* A.

22. *φαεννὰς*] *φαεινὰς* P.

27. *δεύτερον* A.P. *δὶς* Fl. 15.

28. *πάρος, ὅ ἐστιν* A. *παρ' ὅσον ἐστὶν* P. Fl. 15.

ib. *ἦλθε πολέμιος τότε*] *ἐστι πολέμιος* A.

1093. *θησαυροὺς βροτῶν*: *ὡς εἰς ἄσυλον γὰρ βροτῶν ἱερὸν ἐκεῖ παρετίθεντο τὰ χρήματα ἑαυτῶν πολλοί.* A.P.

1096. *ῥόθιον κακόν*: *ταραχῶδες κακόν.* P. Par. 2818.

1097. *ἀρχαί τ' ἐπληροῦντο*: *ἀρχαῖα. τινὲς δὲ πλεονάζειν φασὶ τὸ δεύτερον τ̄, ἵν' ᾖ τὰ ἀρχαῖα ἐπληροῦντο εἰς τὰ βουλευτήρια.* A.P. *Ἄλλως. οἱ προέχοντες δὲ ἦρχοντο εἰς τοὺς τόπους καθ' οὓς αἱ βουλαὶ ἐγένοντο.* A.

1098. *ὅσοι θεοῦ*: *καὶ πάλιν ἰδίᾳ καὶ χωρὶς τῶν ἄλλων φρουρὰς ἐτίθεντο καὶ φύλακας οἱ τῶν τοῦ θεοῦ χρημάτων προϊστάμενοι.* A. *οἵτινες προειστήκεσαν τῶν χρημάτων τοῦ θεοῦ.* Fl. 15.

1099. *ἐν περιστύλοις δόμοις*: *ἐν ταῖς πύλαις.* P.

1100. *ἐν ταῖς πόαις, ἐν ταῖς βοτάναις.* P. *τινὲς, ἃ πρὸς παίδευσιν ἑαυτῶν καὶ σωφρονισμὸν ἤγομεν τῷ θεῷ, ἢ τὰ θρέμματα.* A.P. *φυλλάδος*: *χλόης.* P. Par. 2818. *φυλλάδος*: *βοτάνης.* P. *τὰ ἐκ τοῦ Παρνασσοῦ τρεφόμενα, τὰ θρέμματα.* Par. 2818.

1101. *παιδεύματα*: *τὰ βουλεύματα τούτων οὐ γινώσκοντες.* A.

1103. *ξὺν προξένοισι*: *τοῖς φίλοις. πρόξενοι γάρ εἰσιν οἱ ἐπὶ τῆς ξένης φίλοι, ὡς τοῦ Νεοπτολέμου ἀπὸ τῆς πρώτης ἐπιδημίας φίλους ἔχοντος ἐκεῖσε.* A.G.P.T. *πρόξενοι οἱ φίλοι, οἱ γνωστοί.* Par. 2818. *μάντεσιν*: *θυοσκόποις.* P.

1104. *τί σοι θεῷ*: *ὡς ἔθος ἔχοντος τοῦ ἱερέως εὔχεσθαι ὑπὲρ τῶν εὐχομένων.* P.T. *σοι*: *ὑπὲρ σοῦ.* Par. 2818.

1109. *κἀνταῦθ'*: *ταῦτα, φησὶν, εἰπόντος τοῦ δεσπότου μου οὐδεὶς ἐπίστευσεν, ἀλλ' ἴσχυσεν ἡ διαβολὴ τοῦ Ὀρέστου.* A. Fl. 15. G.T.

1111. *ἔρχεται δ' ἀνακτόρων*: *δοὺς τοῖς ἱερεῦσι τὰ ἱερεῖα εἰσῆλθεν εὔξασθαι πρὸ τῶν θυσιῶν.* A.P. Fl. 15. G.T.

4. ἀρχαῖ' (sic) τ' ἐπληροῦντο: ἀρχαῖα. τινὲς A. τὰ ἀρχαῖα: τινὲς P.
5. τὸ δεύτερον] τὸν δεύτερον P.
ib. τ̄] τε A.P.
ib. τὰ βουλευτήρια A. τὸ βουλεύεσθαι P.
6. εἰς τοὺς] εἴς τε τοὺς A.
12. τινὲς, ἃ] ἄλλως. τινὲς A. post l. 16.
13. ἢ τὰ θρέμματα om. A.
17. τοῖς φίλοις et γὰρ om. G.T.
τοῖς et εἰσιν om. A.
ib. εἰσιν om. G.
ib. οἱ ἐπὶ τῆς (τῆς om. P.) ξένης A.P. οἱ ἐν τοῖς ξένοις G.T.
18. ὡς τοῦ] ὥστε P.
ib. πρώτης om. G.T.
19. ἐκεῖσε om. A.
23. φησὶν et μου om. G.T. μου om. A.P.
24. τοῦ om. A.P.
26. ἱερεῖα] ἱερὰ G.P.T.

1112. κρηπῖδος: βατῆρος. P. Par. 2818. πάρος χρηστηρίων: πρὸ τῆς μαντείας καὶ τῆς θυσίας. G.T.

1113. τυγχάνει: ἔτυχε παρεῖναι τὴν Νεοπτολέμου θυσίαν ἐπιτελουμένην. P.

1117. κατ' ὄμμα: ἐπ' εὐθείας. Par. 2818.

1120. χωρεῖ δὲ πρύμναν: ὅ ἐστιν εἰς τοὐπίσω ἀνεπόδισεν μὴ δοὺς τὰ νῶτα, ἀλλὰ πρὸς τοὺς ἐναντίους ὁρῶν. τοῦτο δὲ καὶ Θουκυδίδης φησὶ "πρύμναν ἀνακρούοντες," ὅταν μὴ μεταβαλόμενοι φεύγωσιν, ἀλλ' ἀντίοι ὄντες ἀναχωρήσωσιν. A.G.M.P.T. Fl. 15. ἀντὶ τοῦ ὑποποδίζων. T. Par. 2818. εἰς καιρόν: εἴς τινα καίριον τόπον. P. εἰς εὐκαιρίαν. I. εἰς καίριον. Fl. 2. ἀντὶ τοῦ οὐκ ἐν καιρίῳ τόπῳ. Ὅμηρος "οὐκ ἐν καιρίῳ ὀξὺ πάγη βέλος." A.M.P.T.

1121. παραστάδος: παραστάδας λέγει νῦν τοὺς κατὰ τὴν εἴσοδον ἑκατέρωθεν παρισταμένους τοίχους. A.G.M.P.T.

1122. πασσάλων καθαρπάσας: καὶ ἐκ τῆς πασσαλοτόνης παραστάδος κρεμάμενα ὅπλα ἁρπάσας. M.P.

1129. πυκνῇ νιφάδι: συνεχεῖ βολῇ. P. σποδούμενος: βαλλόμενος. Par. 2818.

1130. κἀφυλάσσετ': μετὰ καὶ ἀσπίδος ἐφυλάττετο. Par. 2818.

ἐμβολάς: τὰς βολὰς ἢ τὰς ὁρμὰς τῶν βελῶν. P.

1131. ἐκεῖσε: κατ' ἐκεῖνο τὸ μέρος. Par. 2818.

1132. ἦνεν: ἀντὶ ἤννεν. M. Par. 2818.

1133. μεσάγκυλ': εἴδη ἀκοντίων ἐν μέσῳ σπάρτῳ δεδεμένων,

2. πρὸ τῆς μαντείας etiam in P.

6. ὅ ἐστιν om. Fl. 15. G.T.

ib. ἀνεπόδισεν] ἀνεπήδησεν A.G.T. In Fl. 2. supra πρύμναν scriptum ἀνεπίδισεν.

7. καὶ Θουκυδίδης (1,50.)] καὶ om. T.

8. μεταβαλόμενοι] μεταβαλλόμενοι P. Fl. 15.

10. ὑποποδίζων] εἰς τοὐπίσω addit Par. 2818.

11. ἀντὶ τοῦ om. T.

12. Ὅμηρος] Il. 4, 185.

ib. ὀξὺ πάγη βέλος] ὀξυπαγὴ P. δὲ ὀξυπάγει βέλει T.

13. λέγει νῦν τοὺς—παρισταμένους τοίχους M.P. λέγει τὰς—παρισταμένας τύχας G.T. In A. est παραστάδος: καὶ ἐκ τῆς κρεμαστάδος τῶν πασσάλων κρεμαστὰ ὅπλα ἀφαρπάσας. . . . καὶ τοὺς μετὰ τὴν εἴσοδον ἑκατέρωθεν παρισταμένους τοίχους. ἄλλως. ἀπὸ τῶν θυρῶν ἢ τοῦ κρεμαστοῦ. ἐν γὰρ ταῖς εἰσόδοις ἐκρέμαντο:—

ib. κατὰ] μετὰ P.

15. πασσαλοτόνης P. πασσαλωτώνης M. Vocabulum aliunde non cognitum.

ib. παραστάδος] παστάδος M.

22. ἦνυεν] ἤννυσεν M.

23. μεσάγκυλ'] κηδόγγυλοι (sic) I.

ὃ κατέχοντες ἠφίεσαν. ἐστὶν οὖν ἐπίθετον τῶν ἀμφωβόλων. A.P. Fl. 2. I. τὸ δὲ ἔκλυτοι ὡς πρὸς τὰ μεσάγκυλα. Ἄλλως. ἔκλυτοι εἴδη ἀκοντίων τριαινοειδῶν. οὕτω δὲ λέγεται ὡς πρὸς τὰ μεσάγκυλα, ἃ δέδεται κατὰ τὸ μέσον σπάρτῳ. A.M.

1134. σφαγεῖς τ' ἐχώρουν: ὁ νοῦς, ἐρρίπτοντο δὲ καὶ πρὸ τῶν ποδῶν αὐτοῦ καὶ σφαγεῖς βουπόροι, ὅ ἐστιν ὀβελίσκοι σφάττειν δυνάμενοι, ἑκατέρωθεν ὀξύτατοι. A.M.P.T. σφαγῆς: ἀντὶ τοῦ σφαγαί, ὥστε ἐμποιῆσαι σφαγήν. M.P. σφαγῆς ἐχώρουν: ἀντὶ τοῦ διὰ σφαγῆς, πρὸς τὸ ποιῆσαι σφαγήν. A. εἶδος ἀκόντων. Par. 2818. βουπόροι: ὀξεῖς. Fl. 2.

1135. πυρρίχας: ὀρχήσεις πολεμικὰς ἐνοπλίους. A.M. Par. 2818. ὀρχήσεις P.

1136. βέλεμνα παιδός: τὰς βολάς, ἢ τὰς ὁρμὰς τῶν βελῶν. M.

1139. τὸ Τρωϊκὸν πήδημα: ὁποῖον ἐν τῇ Τροίᾳ ἐπήδησεν ὁ Ἀχιλλεύς. οἱ γὰρ συντεταχότες τὰ Τρωϊκὰ φασὶν ὡς τόπος ἐστὶν ἐν Τροίᾳ καλούμενος Ἀχιλλέως πήδημα, ὅπερ ἀπὸ τῆς νεὼς ἐπήδησεν. οὕτως δὲ, φασὶ βίᾳ ἥλατο ὡς καὶ ὕδωρ ἀναδοθῆναι. A.G.M. P.T.

1144. κραυγή: τὸ ἑξῆς, δύσφημος κραυγή. A. Par. 2818.

1145. πέτραισιν ἀντέκλαγξεν: ταῖς πέτραις ἀντήχησεν ἡ κλαγγή. A.M. τὸ ἀντήχημα ἐποίει, ὅ ἐστιν ἐν ταῖς πέτραις ἀντήχησεν. P.

1. ὃ] ἣν A.P.

ib. ἐστὶν οὖν—ἀμφωβόλων] ἔτι. ὁ οὖν ἐπίθετον τῶν ἀμφιβόλων I.

2. τὸ δὲ—] Haec in M.P. leguntur post scholion v. 1134.

3. εἴδη] εἶδος A.

ib. τριαινοειδῶν] τροαινοειδῶν M.

ib. οὕτω δὲ λέγεται ὡς πρὸς τὰ μ. Cobetus. λέγει δὲ ὅτι οὐχ ὡς τὰ μ. M. ὁ δὲ λέγειται ὡς πρὸς τὰ μ. A.

4. τὸ μέσον] τὸ om. M.

5. σφαγεῖς τ' ἐχώρουν] ἔκλυτοί τ' ἀμφίβολοι (sic) lemma in M.

ib. ὁ νοῦς] ὁ δὲ νοῦς A. ὁ νοῦς et δὲ καὶ et αὐτοῦ—ὅ ἐστιν om. T.

ib. δὲ καὶ om. A.

6. σφαγεῖς] σφαγῆς M.

7. σφαγῆς M. σφαγεῖς P.

8. ἐμποιῆσαι] ἐμποιεῖσθαι M.

ib. σφαγήν] πάντα σφαγέες addit P.

ib. σφαγῆς] σφαγεῖς A.

14. ὁποῖον—ἀναδοθῆναι] Substitui hoc scholion in locum ejus, quod edebatur in I.: ὅπερ ἐπήδησεν Ἀχιλλεὺς, λέγει ὅτε ἥλλατο ἐκ γῆς (Flor. 2. ὅπερ ἥλατο ἐκ τῆς νεώς). τοσαύτη δ' ἦν ἡ φορὰ, ὡς καὶ ὕδωρ ἐκ γῆς ἀναδοθῆναι, quod idem est in Flor. 2. MATTH.

ib. ὁ Ἀ.] ὁ om. G.T.

15. φασὶν] λέγουσιν M.

17. φ^{α} (i. e. φασὶ) M. φησὶν ceteri.

ib. βίᾳ om. G.T.

20. ἡ κλαγγή obliteratum in M.

21. ταῖς] ἐν ταῖς A.

εὐδία: ἐν γαλήνῃ ἔστη. A.M. Par. 2818.

1147. πρὶν δή τις: ἕως τις κατὰ τὸ σιωπώμενον σεμνῶς τὸν θεὸν ᾐνίξατο. M.P.T.

1151. Δελφοῦ πρὸς ἀνδρός: Μαχαιρέα φασὶν αὐτὸν καλεῖσθαι. M.P.T.

1153. τίς οὐ σίδηρον προσφέρει: τοῦτο Ὁμηρικόν "οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέστη." M.P.T.

1160. γῆς τε κοσμῆσαι τάφῳ: τῷ τάφῳ τῆς γῆς. M.

1164. ἐμνημόνευσε δ' ὥσπερ ἄνθρωπος κακὸς παλαιὰ νείκη: ὅτι πρὸς αἰτιατικὴν τὸ ἐμνημόνευσεν ὡς

μέμνημαι τόδε ἔργον.

καὶ ὁ Ἡσίοδός φησι

τῆμος ἄρ' ὑλοτομεῖν μεμνημένος ὥριον ἔργον.

καὶ πολλαχοῦ εὑρήσεις παρὰ ποιηταῖς συντασσόμενον αἰτιατικῇ τὸ μέμνημαι. M.

1172. εἰς ἓν μοίρας συνέκυρσας: εἰς ταυτὸν τῆς κακομοιρίας ἔτυχες. A.M.P. Par. 2818. Ἄλλως. συνῆλθες, τουτέστι συνεδυστύχησας αὐτῷ. A M. Par. 2818. Ἄλλως. εἰς τὸ αὐτὸ τῆς κακομοιρίας καὶ δυστυχίας συνῆλθες, ἤτοι ἐπ' ἴσης τῷ Νεοπτολέμῳ τῆς κακομοιρίας πεπείρασαι. A.

1175. ὦ πόλις: ὅτι τὴν χώραν πόλιν ὠνόμασεν. M.T. Par. 2818.

1180. φίλων: παίδων ἢ συγγενῶν. Par. 2818. αὐγὰς βαλών: ἀντὶ τοῦ ἐφορῶν. M.P. αὐγάς: τοὺς ὀφθαλμούς. ἀντὶ τοῦ ὁρῶν τερφθήσομαι. Par. 2818.

1184. οὗτός γ' ἄν: μειζόνως ἂν ἐδοξάσθη ὡς ἐκ τοιούτων ἀνδρῶν ἀνηρημένος ἐν παρατάξει, σύ τε εὐτυχέστερον ἀπήλλαξας κερδαίνων τὴν εὔκλειαν τοῦ ἐκγόνου. A.M.T.

1. ἐν γαλήνῃ] γαλήνη Par.
6. τοῦτο — παρέστη] ὅμηρος οὔ τις δ' ἄρα οἱ ἀνούτητός γε παρέστη T. Locus Homeri est Il. 22, 371.
9. ὅτι addidi ex P. qui prima tantum scholii verba habet usque ad μεμνήσατο τόδε ἔργον (sic). Eadem verbi etiam in A.
11. μέμνημαι—] Hom. Il. 9, 527.
12. Ἡσίοδος] Op. 420.
16. εἰς ταυτὸν] εἰς ἓν ταυτὸ M. Par.
17. Ἄλλως addidi ex A.
21. ὅτι τὴν om. M., ὅτι om. T.
ib. ὠνόμασεν] ὀνομάζει Par. 2818.
23. ἐφορῶν] ἀφορῶν M.
25. μειζόνως] μεῖζον T.
ib. τοιούτων] τῶν τοιούτων A.
26. ἐν παρατάξει] ἐν om. A.T.
ib. σύ τε—ἐκγόνου om. T.
27. ἐκγόνου M. ἐγγόνου A.

1188. ὦ παῖ: ὦ ἐμὸν τέκνον, μὴ ὄφελε τὸ δυσώνυμον γένος τῶν σῶν λεχέων, ὅ ἐστι τῆς Ἑρμιόνης, εἰς τέκνα καὶ δόμους ἀμφιβαλέσθαι Ἄϊδαν ἐπὶ σοὶ, τουτέστι παιδοποιίας χάριν ἀποκτεῖναί σε. τὸ ὑπερβατὸν οὕτως, ὦ τέκνον ἐμὸν, μήποτε ὄφειλεν τὸ δυσώνυμον γένος Ἑρμιόνης ἀμφιβαλέσθαι κατὰ σοῦ Ἄϊδην ἕνεκα λεχέων. ὁ δὲ πᾶς λόγος, μὴ ὄφελε τῶν σῶν γάμων χάριν τὸ δυστυχές μου γένος ἐπ' ἐλπίδι παιδοποιίας καὶ οἴκου καταστάσεως ἐνέγκασθαι καὶ ζεῦξαί σοι τὴν Ἑρμιόνην. καὶ σοῦ, ἀντὶ τοῦ ἐν τῷ σῷ κακῷ, οἷον, εἴθε μὴ ἔγημας τὴν Ἑρμιόνην. ὁ γὰρ ταύτης γάμος αἴτιός σοι θανάτου γεγένηται. ἢ οὕτως ἐν ὑπερβατῷ, ὦ τέκνον ἐμὸν, μήποτε ὄφελε τὸ δυσώνυμον γένος Ἑρμιόνης Ἄϊδαν ἀμφιβαλέσθαι ἐπὶ σοὶ καὶ ἐπὶ τοὺς δόμους τῶν σῶν λεχέων καὶ ἐπὶ τὰ σὰ τέκνα· ὅ ἐστιν, εἴθε μή σοι ἐγαμήθη, ἵνα δόμους καὶ τέκνων καὶ λεχέων ἀφέληται καὶ διὰ τοῦ θανάτου στερήσῃ. Ἄλλως. εἴθε, φησὶ, τὸ ἐμὸν γένος μήποτε τῶν λεχέων τῆς Ἑρμιόνης ὄφελεν ἐπιδικάσασθαι, ὡς τέκνα ἐξ αὐτῆς καὶ γένος δυσώνυμον εἰς τοὺς δόμους καταλιπεῖν. οἷον, μήποτέ σοι ὄφελε γεγαμῆσθαι ἡ δυσώνυμος Ἑρμιόνη, ἣ καὶ τὸν θάνατόν σοι προεξένη-

1. μὴ ὄφελε] μή ποτε ὄφελες A.

3.—5. τὸ ὑπερβατὸν—Ἄϊδην ἕνεκα λεχέων om. P.

4. ὄφειλεν] ὄφελες A.

5. ὁ δὲ] ὅτι P.

6. ὄφελε] ὄφελες A.

ib. γάμων] λεχέων P. δόμων A.

ib. μου] μὴ A.

ib. γένος om. A.P.

7. ἐπὶ ἐλπίδι P. ἐπ' ἐλπίδος M. ἐπ' ἐλπίδα A.

ib. καὶ ζεῦξαι] καὶ οὐκ ἔζευξαι P.

8. ἀντὶ τοῦ] ἄν τις P. τοῦ om A.

ib. ἐν τῷ σῷ] ἐν om. A.

9. γεγένηται] γέγονεν P.

10. ὄφελε] ὄφειλε A.P. ὄφελες M. Verba μήποτε — λεχέων sunt etiam in G.T. sic scripta, μήποτε ὄφελε τὸ δυστυχὲς γένος τῆς ἑρμιόνης ἀΐδαν ἐπὶ σοὶ ἀμφιβαλέσθαι καὶ εἰς τοὺς δόμους τῶν σῶν λεχέων, ὅ ἐστιν εἴθε μὴ σοὶ ἐγαμήθην ἵνα τέκνων καὶ δόμων καὶ λεχέων ἀφέληται καὶ διὰ τοῦ θανάτου στερήσῃ. ἀμφιβαλέσθαι αὐτὴν τὴν ἑρμιόνην ἢ τὴν ἐπὶ τῷ ἀΐδῃ γενομένην, ἐπειδὴ δι' αὐτὴν ἐπεβούλευσε (ὑπεβούλευσε G.) ὑπ' ὀρέστου. ἀμφιβαλέσθαι εἰς παιδοποιίαν καὶ οἴκου κατάστασιν ἐπεισενέγκασθαι ἢ ἐπιδικάσασθαι κατὰ σοῦ τὸν ᾅδην ἕνεκα λεχέων: — "Ante hoc aliud est in T. μήποτε ὄφελε τὸ δυσώνυμον γένος τῆς ἑρμιόνης ἀΐδαν ἀμφιβαλέσθαι ἐπὶ σοί. Tum enotatum ἢ μήποτε ὄφ. etc. sed ἤ in G. nusquam comparet." MATT.

13. δόμους καὶ τέκνων] δόμους καὶ τέκνα A. δόμοις καὶ τέκνων M. δόμους τε καὶ τέκνων P.

14. στερήσῃ] στερήσει A.

15. ὄφελεν] ὄφειλε A.

ib. ἐπιδικάσασθαι] ἐπιδικᾶσθαι M.

16. ὄφελε] ὄφειλε A.M.

17. δυσώνυμος om. M. δυσώνυμος ἡ est in A. ex quo verba proxima ἢ καὶ—προεξένησεν, quibus carent M.P., sumsi, correcto codicis vitio προσεξένισεν: post quae A. pergit, ἀμφιβαλέσθαι αὐτὴν τὴν ἑρμιόνην, ἢ τὴν ἑρμιόνην ἐπ' ἀΐδῃ etc.

σεν. τὸ δὲ ὑπερβατὸν οὕτως, ὦ τέκνον ἐμόν, μήποτε ὤφελες τὸ δυσώνυμον γένος Ἑρμιόνης ἀμφιβαλέσθαι κατὰ σοῦ Ἅιδαν ἕνεκα τῶν λεχέων σου, αὐτὴν τὴν Ἑρμιόνην, ἢ τὴν Ἑρμιόνην τὴν ἐπὶ τῷ Ἅιδῃ γενομένην, ἐπειδὴ δι' αὐτὴν ἐπιβουλευθεὶς ὑπ' Ὀρέστου ἀνῃρέθη ὁ Νεοπτόλεμος. A.M.P.

1194. μηδ' ἐπὶ τοξοσύνᾳ: μηδὲ ὤφελεν ὁ Νεοπτόλεμος ἐπὶ τῇ φονίῳ τοξοσύνῃ τοῦ ἀπολωλότος πατρὸς αἷμα εἰς θεὸν ἀνάψαι ἄνθρωπος ὤν, ὅ ἐστιν, ὦ Νεοπτόλεμε ἐκ Διὸς κατάγων τὸ γένος, μὴ ὤφελες ἀναθεῖναι τὴν αἰτίαν τοῦ φόνου τοῦ σοῦ πατρὸς τῷ Ἀπόλλωνι, ἵνα τὸ αἷμα ἐπὶ τοῦ γένους καὶ ἐπὶ τοῦ φόνου ἀκούηται. A.M.P. Ἄλλως. μηδὲ ἐπὶ τῇ τοξείᾳ τοῦ Φοίβου τῇ φονικῇ τοῦ σοῦ πατρὸς Ἀχιλλέως. ὤφελες ἀπὸ κοινοῦ. A.

1195. διογενές: ὃς ἐκ Διὸς κατὰ γένος. σὺ, ὦ Νεοπτόλεμε. Par. 2818.

1201. διάδοχα τάλας ἐγώ: κατὰ διαδοχὴν ὁ τάλας δακρύω. μετὰ γὰρ Ἀχιλλέα δακρύει Νεοπτόλεμον. A.

1207. σε ἀποθανεῖν πρὶν ἴδῃς τὸν παῖδα ἀποθανόντα. Par. 2818.

1210. ἐμῷ κάρα: οὕτως ἡ γραφή. οὐ γὰρ προσγραπτέον τὸ ῑ. ἔστι γὰρ ἐξ ἀποκοπῆς τοῦ κάρηνον, ὅπερ κατὰ πᾶσαν πτῶσιν ἀποκόπτεται, τὸ κάρηνον τὸ κάρα, τοῦ καρήνου τοῦ κάρα, τῷ καρήνῳ τῷ κάρα, τὸ κάρηνον τὸ κάρα, ὦ κάρηνον ὦ κάρα. A.M.P.

1211. ὦ πόλι: τὴν Ἴλιον οἰωνιζόμενος ἀνακαλεῖ, ἐπεὶ προϊστάμενος αὐτῆς Ἀπόλλων Ἀχιλλέα καὶ Νεοπτόλεμον ἀνεῖλεν. A.B.M.P.

1214. κακὰ παθών: κακοδυστυχὴς γέρων. B.

1. ὦ τέκνον ἐμὸν om. M.
ib. ὤφελες] ὤφειλες M. ὤφελε P.
2. Ἅιδαν] ἀΐδην M.
ib. ἕνεκα] ἑνεκεν M.
ib. τῶν om. P.
3. αὐτὴν τὴν—γενομένην om. M.
4. ἐπειδὴ—Ὀρέστου] ἐπεὶ δι' αὐτὴν ἐπεβουλεύθη ὑπ' ὀρέστου M.P.
ib. ὑπ' Ὀρέστου—Νεοπτόλεμος om. M.P.
ib. Ὀρέστου] Pergit M. γ. ἀΐδαν ἐπὶ σοὶ τέκνον αὐτὴν τὴν ἑρμιόνην τὴν ἐπὶ σοὶ ἀΐδην γενομένην ἐπεὶ δι' αὐτὴν ἐπεβουλεύθη ὑπὸ ὀρέστου:—
6. μηδὲ —] Pars hujus scholii est in G.T. μὴ ὤφελεν ἀναθεῖναι—ἀκούηται.
ib. ὤφελεν] ὤφειλεν A.
7. ἀπολωλότος] ἀπόλλωνος A.
9. ἀναθεῖναι post τοῦ σοῦ πατρὸς habet A.
18. προσγραπτέον] προσγεγραμένον (sic) A.
22. τὴν Ἴλιον—ἀνακαλεῖ om. P.
24. κακοδυστυχη (sine accentu) γέρων (sic) supra κακὰ παθὼν scriptum est in B. In Par. 2818. est δυστυχῆ κακά. ὦ δυστυχὴς γέρων. κακὰ πάθών. pariter superscripto vitioso κακοδυστυχη γέρον (sic).

1217. διαντλήσω: ἀπὸ μεταφορᾶς τῶν τῆς Θέτιδος κακῶν. T.

1219. ἀμπτάμενα: τὸ ἐξῆς τοῦ νοῦ ὅτι ἀμπτάμενα πάντα ἐφ' ἅρματι μετεώρῳ πόρρω φροῦδα κεῖται. M. τὸ ἐξῆς οὕτως, ἀμπτάμενα ἅπαντα τάδε ἐφ' ἅρματι μετεώρῳ φροῦδα, ἤγουν ἀφανῆ καὶ πρόσδα, κεῖται. Ἄλλως. ἀνυψωθέντα τὰ περὶ ἐμὲ πρώην ἐν μεταρσίῳ δόξῃ, φροῦδα νῦν πάντα κεῖται. Λ. ἀναπετάμενα, πετασθέντα. T. φροῦδα πάντα κεῖται: λείπει τὸ ἐν τῷ παρελθόντι χρόνῳ. θέλει δὲ εἰπεῖν ὅτι τὰ μὲν τῆς εὐτυχίας παρῆλθε, τὰ δὲ παρόντα βαρύνει. A.M.P.T.

1220. κόμπῳ μεταρσίῳ: ἐφ' ἅρματι κούφῳ. M.P. ἐπῃρμένῳ, μετεώρῳ, κούφῳ, ἐλαφρῷ. T.

1224. νύχια: γρ. βύθια, τουτέστι βαθέα. B.

1227. πρὸς ἑαυτὰς αἱ τοῦ χοροῦ. P.

1228. λευκὴν αἰθέρα: τὸν ἀέρα. Par. 2818. γράφεται λευκὸν αἰθέρα. Ὅμηρος "αἰθέρος ἐκ δίης." A.P.

1229. πορθμευόμενος: διοδεύων. B.M.

1234. παρῄνεσα: ἀντὶ τοῦ παραινῶ. B.

1238. ἐνδέχου: πείθου. Par. 2818.

1241. Δελφοῖς ὄνειδος: ὅτι μὲν ἐν Δελφοῖς ὁ Νεοπτόλεμος τέθαπται καὶ Φερεκύδης ἱστορεῖ, ὅτι δὲ νεκρὸς ἐλθὼν εἰς Φθίαν πάλιν εἰς Δελφοὺς ἐπέμφθη διέψευσται. A.G.M.P.T. Ἄλλως. ἵνα ὄνειδος ἀπαγγέλλῃ τοῖς Δελφοῖς ὁ τάφος τὸν φόνον τὸν βίαιον. A.M.

1245. Ἑλένῳ ξυναλλαχθεῖσαν: ἀντὶ τοῦ πρὸς γάμον συναφθεῖσαν. ἐν τῇ Τροίᾳ γὰρ αὐτομολήσας Ἕλενος πρὸς τὸν Νεοπτόλεμον συναπῆρεν αὐτῷ εἰς τὴν Ἑλλάδα. A.G.M.T. Fl. 15. εὐναίοις γά-

1. τῆς Θέτιδος] Haec verba ad v. 1218. referenda esse ex gl. τοῖς τῆς Θέτιδος, quod ad γάμοισιν adscriptum est in Par. 2818., patere monet Lenting. Videri igitur inter τῶν et κακῶν aliud quid excidisse.

4. ἐφ' ἅρματι] ἐπ' ἄρματι A. quod ἐπάρματι esse potest.

6. δόξῃ] δόξα A.

7. λείπει τὸ (τῷ P.) om. A.T.

8. τὰ μὲν τῆς εὐτυχίας] μετὰ τῆς ἀτυχίας T.

10. ἐπῃρμένῳ Matth. ἐπαρμένῳ T.

14. γράφεται—αἰθέρα etiam in B.

15. Ὅμηρος] Il. 15, 365.

19. ὅτι] ὁ A., omisso ὁ proximo.

20. ὅτι δὲ] δὲ om. A.

ib. πάλιν om. G.T.

21. Ἄλλως — τὸν βίαιον] ἵν' ὄνειδος τοῖς δελφοῖς ἀπαγγέλλει ὁ τάφος τὸν βίαιον φόνον A. In P. est ἵν' ᾖ ὄνειδος τοῖς δελφοῖς ἀπαγγέλλων ὁ τάφος, τουτέστι τὸν βίαιον θάνατον.

24. πρὸς τὸν] εἰς τὸν A.

25. συναπῆρεν — εἰς] συναπῆλθεν — πρὸς M.

μοις: τοῖς νομίμοις. ἀπηνέχθη δὲ εἰς Ἑλλάδα Ἕλενος μετὰ τὴν Ἰλίου πόρθησιν, ἴσως ὡς μάντεως φανέντος. A.M.P.

1248. διαπερᾶν Μολοσσίαν: ἀπὸ κοινοῦ τὸ Μολοσσίαν γῆν χρὴ κατοικῆσαι. M.P. Μολοσσίαν τῆς ἠπείρου. ἔστι δὲ ἡ Μολοσσία χώρα. M.

1254. θεὰ γεγῶσα καὶ θεοῦ πατρὸς τέκος: ἐν τοῖς πολλοῖς τῶν ἀντιγράφων οὐ φέρεται ὁ ἴαμβος. A. ἐν τοῖς πολλοῖς τῶν ἀντιγράφων οὐχ εὕρηται ὁ στίχος. T.

1259. ἔνθεν κομίζων: ἐντὸς οἴκων. M.

ξηρὸν ἐκ πόντου πόδα: προνοίας ἐστὶ θείας σημεῖον τὸ διὰ θαλάσσης ὁδεύοντα μὴ τέγγειν τοὺς πόδας. A.B.G.M.T.I.[1]

1262. Λευκήν: Λευκὴν νῆσον, ἐν ᾗ διέτριβεν ὁ Ἀχιλλεὺς μεταξὺ τοῦ Εὐξείνου πόντου, ὅθεν καὶ οἱ Ἀχίλλειοι δρόμοι, περὶ ὧν ἐν Ἰφιγενείᾳ τῇ ἐν Ταύροις εἴρηται. A.B.G.M.P.T.I.

1265. χοιράδος: χοιρὰς λέγεται πᾶσα πέτρα ἐξέχουσα καὶ περικλυζομένη θαλάσσῃ. πέτραν οὖν φασί τινα σπήλαιον ἔχουσαν, ἐν ᾗ εἰώθει διατρίβειν ἐκ θαλάσσης ἀνιοῦσα ἡ Θέτις. Σηπιὰς δὲ τόπος περὶ τὸ σπήλαιον, ὅπου τὴν Θέτιν ἥρπασεν ὁ Πηλεὺς εἰς σηπίαν μεταβληθεῖσαν. A.B.G.M.T.I. Ἄλλως. τόπος ὅπου τὴν ἀρχὴν ὁ Πηλεὺς τὴν Θέτιν ἥρπασεν εἰς σηπίαν μεταβληθεῖσαν. A. τὸ νῦν καλούμενον Σηπίον. G.T.

1268. κομιστήν: τοὺς ἀποκομιοῦντάς σε εἰς τὸν βυθὸν ἐν τῷ

2. ἴσως (δ' addit M.) ὡς μάντεως φανέντος hic om. M., sed adjungit scholio praecedenti post πρὸς τὴν Ἑλλάδα. In A. est ἴσως δὲ ὡς μάντεως φανέντος μὴ θανεῖν.

7. οὐ φέρεται Cobetus. οὕτω φέρεται A. οὐ φαίνεται P. et Par. 2818. Recte autem haec annotatio in T. adscripta est versui futili 1254., non 1252. ut in A. Cum T. consentiunt M. (in quo haec annotatio partim abscissa partim obliterata est ita ut postrema tantum verba supersint ὁ ἴαμβος οὗτος :—) et Parisini.

10. τὸ] τὸν B. τοῦ I.

12. Λευκὴν νῆσον] Λευκὴν om. A.

13. Εὐξείνου] ἀξείνου I.

ib. οἱ Ἀχίλλειοι δρόμοι] ὁ ἀχίλλειος δρόμος I.

ib. περὶ—εἴρηται om. B.I.

14. τῇ] τις G.T.

15. χοιρὰς λέγεται om. A.B.I., λέγεται om. M.

ib. καὶ περικλυζομένη] καίπερ κλυζομένη I.

16. φασίν τινα M. τινὰ φασὶ B. φασὶν τὴν A. τινὲς φασὶ G. Fl. 15. Verba πέτραν οὖν φασίν τινα om. I.

ib. ἔχουσαν] ἔχουσα I.

17. ἐν ᾗ] ἐν ᾧ Abresch. Anim. ad Aesch. vol. 2. p. 2.

ib. διατρίβειν om. I.

16. σπήλαιον] πήλιον B.

ib. Θέτιν] θέτην M.

συνοικεῖν μοι. M. τὸν ἀποκομιστήν σου σύντασσε εἰς τὸν βυθὸν ἐν τῷ συνοικεῖν μοι. P.

1269. ἐκκομίζειν: ποιεῖν. Par. 2818.

1272. κέκρανται: τετέλεσται. P.

1273. ὦ πότνι', ὦ γενναῖα: τὸ ἑξῆς, ὦ πότνια, Νηρέως γένεθλον, χαῖρε· εἶτα, ὦ γενναῖα συγκοιμήματα, κατὰ ἀναφώνησιν ἰδίαν ἐξενήνεκται, ὅ ἐστιν ὦ εὐγενῆ συγκοιμήματα. A.M.I.

1277. πτύχας: ἐξοχή. Par. 2818.

1282. ζαπλούτους: μεγαλοπλούτους. P.

φερνάς: προῖκας. P.

1283. οὐ γάρ ποτ' ἂν πράξειαν: τὰ λέκτρα δηλονότι, εἰ ἐξ εὐγενῶν, οὔποτ' ἂν πράξειαν ἐκ θεῶν κακῶς. M.

1284. πολλαὶ μορφαί: ταῦτα εἴωθε λέγειν ὁ ποιητὴς διὰ τὰ ἐν τοῖς δράμασιν ἐκ παραδόξου συμβαίνοντα, ὡς καὶ ἐνταῦθα παράδοξον τὸ Ἑρμιόνην γαμηθῆναι Ὀρέστῃ, καὶ εἰς Μολοσσοὺς ἀπελθεῖν Ἀνδρομάχην μέλλουσαν ἀποθανεῖν, καὶ Νεοπτόλεμον πρότερον μὲν μὴ ἀποθανεῖν δίκας αἰτοῦντα τὸν θεὸν, νῦν δὲ θυσίας ἐπιτελοῦντα ἐπὶ μετανοίᾳ καὶ ἐξιλεούμενον τὸν θεὸν φονευθῆναι. A.G.M.P.T.

1285. κραίνουσι: τελειοῦσι. P.

6. εἶτα] εἶτα ταῦτα A.
ib. ἐξενήνεκται] ἐξήνεκται A.
13. ταῦτα—] In M. hoc scholion omni fere ex parte evanidum.
18. ἐξιλεούμενον τὸν θεὸν φονευθῆναι] ἐξιλεούμενόν τε τὸν θεὸν ἐπιβουλευθῆναι καὶ φονεῦσαι ἐπὶ ἀγαθὰς ὁδοὺς, ὡς καὶ αὐτὸς ἔφη, ἥκοντα A.

ARGUMENTA
FABULARUM DECEM*.

ΙΚΕΤΙΔΕΣ.

Ἡ μὲν σκηνὴ ἐν Ἐλευσῖνι, ὁ δὲ χορὸς ἐξ Ἀργείων γυναικῶν, αἱ μητέρες ἦσαν τῶν ἐν Θήβαις πεπτωκότων ἀριστέων. τὸ δὲ δρᾶμα ἐγκώμιον Ἀθηνῶν.

ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΑΥΛΙΔΙ.

Schol. Aristoph. Ran. 67. (ubi de Euripide mortuo agitur) οὕτω δὲ καὶ αἱ Διδασκαλίαι φέρουσι, τελευτήσαντος Εὐριπίδου τὸν υἱὸν αὐτοῦ δεδιδαχέναι ὁμωνύμως ἐν ἄστει Ἰφιγένειαν τὴν ἐν Αὐλίδι, Ἀλκμαίωνα, Βάκχας.

ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΤΑΥΡΟΙΣ.

Ὀρέστης κατὰ χρησμὸν ἐλθὼν εἰς Ταύρους τῆς Σκυθίας μετὰ

* Argumenta fabularum septem Musurus edidit in editione Aldina quem codice Vaticano Palatino 287., membranaceo secuti quarti decimi, usum esse constat. Iphigeniae Aulidensis nullum est, Baccharum et Helenae argumenta aliunde accesserunt, ut infra dicetur. Codice illo Vaticano Palatino (Pal.) similique Mediceo-Laurentiano (plutei xxxii, 2.) chartaceo (Flor.) usus est in Bacchis Elmsleius, in fabulis reliquis Kirchhoffius.

4. Ἡ μὲν—Ἀθηνῶν] Haec fragmentum esse ὑποθέσεως ab Aristophane Byzantio scriptae conjecit Kirchhoffius.

5. ἦσαν a m. secunda additum in Pal.

6. Ἀθηνῶν scripsi pro Ἀθηναίων.

10. Ἰφιγένειαν τὴν ἐν Αὐλίδι] τὴν ἐν Αὐλίδι memoriæ errore legi videtur, quum aut Ἰφιγένειαν τὴν ἐν Ταύροις aut simpliciter Ἰφιγένειαν scribendum esset: de quo pluribus dixi in annot. ad hanc fabulam vol. 3. p. 445. 446.

Πυλάδου παρακινηθεὶς τὸ παρ' αὐτοῖς τιμώμενον τῆς Ἀρτέμιδος ξόανον ὑφελέσθαι προῃρεῖτο. προελθὼν δ' ἀπὸ τῆς νεὼς καὶ φανεὶς ὑπὸ τῶν ἐντοπίων ἅμα τῷ φίλῳ συλληφθεὶς ἀνήχθη κατὰ τὸν παρ' αὐτοῖς ἐθισμόν, ὅπως τοῦ τῆς Ἀρτέμιδος ἱεροῦ σφάγιον γένωνται. τοὺς γὰρ καταπλεύσαντας ξένους ἀπέσφαττον.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ταύροις τῆς Σκυθίας· ὁ δὲ χορὸς συνέστηκεν ἐξ Ἑλληνίδων γυναικῶν, θεραπαινίδων τῆς Ἰφιγενείας.

ΚΥΚΛΩΨ.

Ὀδυσσεὺς ἀναχθεὶς ἐξ Ἰλίου εἰς Σικελίαν ἀπερρίφη, ἔνθα ὁ Πολύφημος· εὑρὼν δὲ δουλεύοντας ἐκεῖ τοὺς Σατύρους οἶνον δοὺς ἄρνας ἤμελλε λαμβάνειν καὶ γάλα παρ' αὐτῶν. ἐπιφανεὶς δ' ὁ Πολύφημος ζητεῖ τὴν αἰτίαν τῆς τῶν ἰδίων ἐκφορήσεως. ὁ Σειληνὸς δὲ τὸν ξένον λῃστεύοντα καταλαβεῖν φησι.

ΒΑΚΧΑΙ.

Διόνυσον οἱ προσήκοντες οὐκ ἔφασαν εἶναι θεόν. ὁ δὲ αὐτοῖς τιμωρίαν ἐπέστησε τὴν πρέπουσαν. ἐμμανεῖς γὰρ ἐποίησε τὰς τῶν Θηβαίων γυναῖκας, ὧν αἱ τοῦ Κάδμου θυγατέρες ἀφηγούμεναι τοὺς θιάσους εἰσῆγον ἐπὶ τὸν Κιθαιρῶνα. Πενθεὺς δὲ ὁ τῆς Ἀγαυῆς παῖς παραλαβὼν τὴν βασιλείαν ἐδυσφόρει τοῖς γενομένοις, καί τινας μὲν τῶν Βακχῶν συλλαβὼν ἔδησεν, ἐπ' αὐτὸν δὲ τὸν θεὸν ἀγγέλους ἀπέστειλεν. οἱ δὲ ἑκόντος αὐτοῦ κυριεύσαντες ἦγον πρὸς τὸν Πεν-

1. παρακινηθεὶς] παραγενόμενος Flor.: unde παραγενηθεὶς Kirchhoffius.
3. ἐντοπίων] ἐγχωρίων Flor.
6.—8. Ἡ μὲν—Ἰφιγενείας] Haec quoque Aristophanis Byzantii esse conjecit Kirchhoffius.
16. Διόνυσον—] Hoc argumentum ex Pal. edidit Elmsleius.
19. εἰσῆγον] ἐξῆγον Kirchhoffius.
ib. Ἀγαυῆς] Sic etiam infra. Sed rectus accentus est Ἀγαύης.
21. ἀγγέλους Elmsleius. ἄλλως Pal. ἄλλους Kirchhoffius.

θέα, κἀκεῖνος ἐκέλευσεν δήσαντας αὐτὸν ἔνδον φυλάττειν, οὐ λέγων μόνον ὅτι θεὸς οὐκ ἔστι Διόνυσος, ἀλλὰ καὶ πράττειν πάντα ὡς κατ' ἀνθρώπου τολμῶν. ὁ δὲ σεισμὸν ποιήσας κατέστρεψε τὰ βασίλεια. ἀγαγὼν δὲ εἰς Κιθαιρῶνα ἔπεισε τὸν Πενθέα κατόπτην γενέσθαι τῶν γυναικῶν, λαμβάνοντα γυναικὸς ἐσθῆτα. αἱ δ' αὐτὸν διέσπασαν τῆς μητρὸς Ἀγαυῆς καταρξαμένης. Κάδμος δὲ τὸ γεγονὸς καταισθόμενος τὰ διασπασθέντα μέλη συναγαγὼν τελευταῖον τὸ πρόσωπον ἐν ταῖς τῆς τεκούσης ἐφώρασεν χερσίν. Διόνυσος δὲ ἐπιφανεὶς τὰ μὲν πᾶσι παρήγγειλεν, ἑκάστῳ δὲ ἃ συμβήσεται διεσάφησεν, ἵνα μὴ ἔργοις ἢ λόγοις ὑπό τινος τῶν ἐκτὸς ὡς ἄνθρωπος καταφρονηθῇ.

Ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις.

Διόνυσος ἀποθεωθείς, μὴ βουλομένου Πενθέως τὰ ὄργια αὐτοῦ ἀναλαμβάνειν, εἰς μανίαν ἀγαγὼν τὰς τῆς μητρὸς ἀδελφὰς, ἠνάγκασε Πενθέα διασπασθῆναι. ἡ μυθοποιία κεῖται παρ' Αἰσχύλῳ ἐν Πενθεῖ.

ΗΡΑΚΛΕΙΔΑΙ.

Ἰόλαος υἱὸς μὲν ἦν Ἰφικλέους, ἀδελφιδοῦς δὲ Ἡρακλέους· ἐν νεότητι δ' ἐκείνῳ συστρατευσάμενος ἐν γήρᾳ τοῖς ἐξ ἐκείνου βοηθὸς εὔνους παρέστη. τῶν γὰρ παίδων ἐξ ἁπάσης ἐλαυνομένων γῆς ὑπ' Εὐρυσθέως ἔχων αὐτοὺς ἦλθεν εἰς Ἀθήνας, κἀκεῖ προσφυγὼν τοῖς θεοῖς ἔσχε τὴν ἀσφάλειαν, Δημοφῶντος τῆς πόλεως κρατοῦντος. Κοπρέως δὲ, τοῦ Εὐρυσθέως κήρυκος, ἀποσπᾶν θέλοντος τοὺς ἱκέτας, ἐκώλυσεν αὐτόν· ὁ δὲ ἀπῆλθε πόλεμον ἀπειλήσας προσδέχεσθαι. Δημοφῶν δὲ τούτου μὲν ὠλιγώρει· χρησμῶν δὲ αὐτῷ νικηφόρων γενηθέντων, ἐὰν Δήμητρι τὴν εὐγενεστάτην παρθένον σφάξῃ, τοῖς λόγοις βαρέως ἔσχεν· οὔτε γὰρ ἰδίαν οὔτε τῶν πολιτῶν τινος θυγατέρα χάριν

3. ἀνθρώπου Hermannus. ἄνθρωπον Pal.
4. Κιθαιρῶνα] κιθερῶνα Pal.
8. τὰ μὲν Elmsleius. μὲν om. Pal.
10. ἔργοις ἢ addidit Elmsleius.
11. Lemma Ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις, quo caret Ald., ex Pal. accessit.
14. διασπασθῆναι, quod est in Pal., in διασπάσαι mutavit Musurus. Sed ἠνάγκασε διασπασθῆναι non minus recte dictum est quam κελεύει σφαγῆναι apud schol. Euripidis vol. 3. p. 254, 2. et 6.

τῶν ἱκετῶν ἀποκτεῖναι δίκαιον ἡγεῖται. τὴν μαντείαν δὲ προγνοῦσα μία τῶν Ἡρακλέους παίδων, Μακαρία, τὸν θάνατον ἑκουσίως ὑπέστη. ταύτην μὲν οὖν εὐγενῶς ἀποθανοῦσαν ἐτίμησαν· αὐτοὶ δὲ τοὺς πολεμίους ἐπιγνόντες παρόντας εἰς τὴν μάχην ὥρμησαν.

ΕΛΕΝΗ.

Ἡρόδοτος ἱστορεῖ περὶ Ἑλένης καὶ φησιν ἐλθεῖν μὲν αὐτὴν εἰς Αἴγυπτον, καὶ τοῦτο φάσκειν καὶ τὸν Ὅμηρον, ποιοῦντα τὴν Ἑλένην παρέχειν τῷ Τηλεμάχῳ ἐν Ὀδυσσείᾳ τὸ λαθικηδὲς φάρμακον, " τό οἱ πόρε Πολύδαμνα Θόωνος παράκοιτις," οὐ μὴν δὲ οὕτως, ὡς Εὐριπίδης φησίν. οἱ μὲν γὰρ πλανωμένην φασὶν αὐτὴν μετὰ τοῦ Μενελάου μετὰ τὴν τῆς Ἰλίου πόρθησιν καὶ εἰς Αἴγυπτον παραγενέσθαι, κἀκεῖθεν πεπορίσθαι τὰ φάρμακα, ὁ δὲ τὴν μὲν ἀληθῶς Ἑλένην φησὶ μηδ' ὁπωσοῦν ἐλθεῖν εἰς Τροίαν, τὸ εἴδωλον δὲ αὐτῆς. κλέψας γὰρ αὐτὴν ὁ Ἑρμῆς Ἥρας βουλῇ Πρωτεῖ τῷ βασιλεῖ τῆς Αἰγύπτου φυλάττειν παρέδωκε. τούτου δὲ θανόντος ὁ υἱὸς αὐτοῦ Θεοκλύμενος ἐπειρᾶτο γαμεῖν αὐτήν. ἡ δὲ ἱκέτις παρεκάθητο τῷ τοῦ Πρωτέως μνημείῳ. ὅθεν αὐτῇ ἐπιφαίνεται Μενέλεως, τὰς μὲν ναῦς ἐν τῇ θαλάσσῃ ἀπολέσας, ὀλίγους δέ τινας τῶν ἑταίρων ἐν ἄντρῳ καθειργμένους σώζων. εἰς λόγους δὲ ἐλθόντες καὶ μηχανορραφήσαντες ἀπατῶσι μὲν τὸν Θεοκλύμενον, αὐτοὶ δὲ νηὶ ἐμβάντες, ὡς δὴ τῷ Μενέλεῳ θανόντι κατὰ θάλατταν θύσοντες, εἰς τὴν ἰδίαν διασῴζονται.

ΙΩΝ.

Κρέουσαν τὴν Ἐρεχθέως Ἀπόλλων φθείρας ἔγκυον ἐποίησεν ἐν Ἀθήναις· ἡ δὲ τὸ γεννηθὲν ὑπὸ τὴν ἀκρόπολιν ἐξέθηκε, τὸν αὐτὸν τόπον καὶ τοῦ ἀδικήματος καὶ τῆς λοχείας μάρτυρα λαβοῦσα. τὸ μὲν οὖν βρέφος Ἑρμῆς ἀνελόμενος εἰς Δελφοὺς ἤνεγκεν· εὑροῦσα δ' ἡ

1. ἡγεῖτο — ἐτίμησαν] Legebatur ἡγεῖται — ἐτίμησεν. Correxit Kirchhoffius.

5. Helenae argumentum ex codice Florentino primum edidit Matthiae.

6. Ἡρόδοτος] 2, 112.

7. Ὅμηρον] Od. 4, 228.

προφῆτις ἀνέθρεψε. τὴν Κρέουσαν δὲ Ξοῦθος ἔγημε· συμμαχήσας γὰρ Ἀθηναίοις τὴν βασιλείαν καὶ τὸν τῆς προειρημένης γάμον ἔλαβε δῶρον. τούτῳ μὲν οὖν ἄλλος παῖς οὐκ ἐγένετο, τὸν δ' ἐκτραφέντα ὑπὸ τῆς προφήτιδος οἱ Δελφοὶ νεωκόρον ἐποίησαν. ὁ δὲ ἀγνοῶν ἐδούλευσε τῷ πατρί. Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Δελφοῖς.

ΗΡΑΚΛΗΣ ΜΑΙΝΟΜΕΝΟΣ.

Ἡρακλῆς γήμας Μεγάραν τὴν Κρέοντος παῖδας ἐξ αὐτῆς ἐγέννησε· καταλιπὼν δὲ τούτους ἐν ταῖς Θήβαις αὐτὸς εἰς Ἄργος ἦλθεν, Εὐρυσθεῖ τοὺς ἄθλους ἐκπονήσων. πάντων δὲ περιγενόμενος ἐπὶ πᾶσιν εἰς Ἅιδου κατῆλθε. καὶ πολὺν ἐκεῖ διατρίψας χρόνον δόξαν ἀπέλιπε παρὰ τοῖς ζῶσιν ὡς εἴη τεθνηκώς. στασιάσαντες δὲ οἱ Θηβαῖοι πρὸς τὸν δυνάστην Κρέοντα Λύκον ἐκ τῆς Εὐβοίας κατήγαγον * * *

ΗΛΕΚΤΡΑ.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν ὁρίοις τῆς Ἀργείας γῆς, ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων γυναικῶν.

13. Electrae, qua fabula editio primus hujus tragoediae editor, Aldina caret, argumentum edidit Petrus Victorius.

GLOSSEMATA
IN FABULAS DECEM.

ΕΙΣ ΙΚΕΤΙΔΑΣ.

156. διώκεις μ᾽: συνωθεῖς με ἐκεῖ.

ΕΙΣ ΙΦΙΓΕΝΕΙΑΝ ΤΗΝ ΕΝ ΑΥΛΙΔΙ.

317. τίς δῆτ᾽ ἐν πύλαις: διὰ τὸ μετὰ δρόμου ἐξελθεῖν τὸν Ἀγαμέμνονα.

588. ἔρις: τὴν ἐριστικὴν Ἑλλάδα, ὥς που καὶ πόλεμον ἔριν ἔφη τὸν ἐριστικόν.

667. καί σοι: ἔσται.

754. ἀνά: σύν.

848. εἴξασιν: ἐοίκασιν.

978. ἐνδεής: ἐνδεῶς.

1373. ὁ δέ: ὁ Ἀχιλλεύς.

1502. ἔθρεψας.: ἐμέ.

1. Annotatiunculis has in fabulas postremas ex codicibus Florentinis collegit Matthiae hac praemissa annotatione "Omisi ea, quae nimis trita videbantur, ut *συνίζησις* ad *θεῶν* Suppl. 65. 201. El. 1235. ad *μάντεων* Suppl. 229. ad *Θησέως* Suppl. 699. ad *ἀΐσσω* Suppl. 1069. Iphig. A. 8. ad *θεᾶς* Iph. A. 134. ad *Ὀρφέως* Iph. A. 1198. ad *χαλκέων* ib. 1247. vel *παρατέλευτον* ad *πέμπειν* Iph. A. 47. ad *οὐδ᾽ εὐδαίμων* ib. 160. ad *εἰ δέ* Heracl. 624. ad *τὰ γὰρ ἐξ ἡμῶν* ib. 1049. vel, quae in Animadversionibus magis proprio loco exscribentur, ut varias lectiones. Ubi codicis notam nullam addidi, significatur ea in Flor. 2. tantum legi." Deum vocabuli *παρατέλευτον* dixi in Thesauro vol. 6. p. 409.

ΕΙΣ ΙΦΙΓΕΝΕΙΑΝ ΤΗΝ ΕΝ ΤΑΥΡΟΙΣ.

303. κόχλους: τὸ κέρας λέγει, ὃ κρούοντες οἱ βουκόλοι καὶ οἱ λοιποὶ τοὺς ἐγχωρίους συλλέγουσιν, ὅταν τινὲς αὐτοῖς ἐπιπέσωσι πολέμιοι. τούτοις δὲ τὸ κέρας κόχλου ἦν ὄστρακον.

819. ἀφείλετο: τοῦτο τὸ μὴ εἰδέναι.

1068. πρός σε δεξιᾶς: τίνος ἕνεκα ταῦτα ἐποίουν θεώρει.

1098. Κύνθιον: Δήλιον.

ΕΙΣ ΚΥΚΛΩΠΑ.

74. οἰοπολεῖς: μόνος ἀναστρέφῃ.

169. ἵν᾽: ἤγουν ἐν τῷ πίνειν.

427. σε: τὸν χορόν.

ΕΙΣ ΒΑΚΧΑΣ.

451. τοῦδ᾽: ἐμοῦ.

538. οἵαν: περισσή.

611. ὁρκάνας: φυλακάς. ὁρκάνη κυρίως ἡ ἀγρευτικὴ λίνου.

709. διαμῶσαι: λικμῶσαι.

ΕΙΣ ΗΡΑΚΛΕΙΔΑΣ.

207. Πέλοπος:

Πέλοψ

Πιτθεύς	Ἀλκμήνη
Αἴθρα	Ἡρακλῆς
Θησεύς	Ἡρακλεῖδαι
Δημοφῶν	Flor. 1. 2.

15. λίνου] Videtur λίνος scripsisse idque genere feminino dixisse.

407. γνῶμα: τὸ γνῶμα καὶ Αἰσχύλος "κἀγὼ τοιούτου γνώματος κοινωνὸς ὤν." Fl. 1. 2.

483. προσκείμενον: τοῦτο καὶ κατ' ἐρώτῆσιν ὀρθῶς ἔχει

681. ἔοιγμεν: φαινόμεθα.

ΕΙΣ ΕΛΕΝΗΝ.

77. εἰκοῦς: ἕνεκα.

394. διορίσαι: ἀγαγεῖν.

570. οὐ νυκτίφαντον: ἐπίστησον διὰ τί ταύτην οὕτως ἐπικαλεῖται. θ' Ἑκάτην.

575. ἥ που φρονῶ: ὅτι ἄλλο νόημά ἐστιν ἡ φρόνησις καὶ ἄλλο αἴσθησις.

620. ἄδην: δαψιλῶς.

627. ἔλαβον: ἥδε ἡ μεγάλη χαρὰ μεταβάλλει τὰ καθεστηκότα, ἐντεῦθεν δείκνυται, τῶν μέτρων ἀλλαττομένων, ὡς καὶ ἐν ἄλλοις.

654. πλέον ἔχει: στερροῦ ἀνθρώπου σύμβολον τὸ πολὺ ὑπὸ τῆς χαρᾶς ἐπαχθῆναι τὰς αἰτίας τῶν γινομένων ζητεῖν.

662. πικράν: ἐντεῦθεν φαίνεται ὅτι αἱ γυναῖκες μᾶλλον τῇ χαρᾷ παραφέρονται ἢ οἱ ἄνδρες, ἐπεὶ Μενελάῳ κατὰ τὸ πρότερον μέρος διαλέγεται ἡ Ἑλένη.

686. οὐκ ἔστι μήτηρ: ἐπίστησον ὅπως μέμνηται τῶν κακῶν ἐν ταῖς ἡδοναῖς.

744. ἀλλά τοι τὰ μάντεων: καταδρομὴ τῆς μαντικῆς. Fl. 1. 2.

866. θεῖον δέ: ἐπίθετον τοῦτο θεῖον δέ. θεῖον λέγει, ᾧ καὶ Ὀδυσσεὺς παρ' Ὁμήρῳ χρώμενος θεειοῦται μέγαρον. ἦν δὲ αὐτὸ καὶ σύμβολον αἰθέρος διὰ τὸ εὐέξαπτον.

961. λέξω τόδ' ἀμφὶ μνῆμα: ἀθανασίαν ψυχῆς δοξάζει ὁ Εὐριπίδης.

1086. τάφος σ' ὅδ': ἐπίστησον τίνος ἕνεκα οὕτω πενθοῦσιν.

1094. Ἥρα: τίνος ἕνεκα ταῦτα ἐπίστησον.

1. Αἰσχύλος] Agam. 1363.
19. Μενελάῳ Matth. pro μέν.
25. Ὁμήρῳ] Od. 23, 50.

1650. εἰ μὲν γάρ: ὅμοιον τῷ Ὁμηρικῷ σχήματι "ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί." Fl. 1. 2.

ΕΙΣ ΙΩΝΑ.

87. ἡμέραν: τὴν πραεῖαν.

171. τίς ὅδ' ὀρνίθων: οὐ καλῶς ἔχουσι ταῦτα. Fl. 1. 2.

172. εὐναίας: λέγει δὲ τοὺς φωλεοὺς οἱ ὡς ἐπὶ ἐκκαρφέων γίνονται.

300. σηκοὺς δ' ἐνστρέφει: ἐνστρέφεται τῷ τοῦ Τροφωνίου σηκῷ.

337. ἡ θεός: ἡ αἰδώς.

494. Μακραῖς: ὄνομα τόπου.

523. ῥυσιάζω: πολεμῶ.

545. τοῦ νέου: τῆς νεότητος.

550. Φάνας: τόπος αἱ Φάναι, οὗ μέμνηται καὶ ὁ κωμικός.

1023. ἆρ': τὸ ἄρα πρὸς τὴν χρείαν τοῦ μέτρου καὶ δίχα τοῦ ἐρωτᾶν καὶ περισπᾶται καὶ ὀξύνεται.

1026. αὐτοῦ νύν: νύν ἐνταῦθα ἀντὶ τοῦ παραπληρωματικοῦ συνδέσμου. διὰ τοῦτο γὰρ καὶ βραχὺ αὐτὸ παραλήγεται καὶ ὀφείλει ὀξύνεσθαι.

1137. εὐγώνιον: σκηνὴν δηλαδή.

1421. ἠτρίων πέπλων: εὐήτριον ἱμάτιον.

ΕΙΣ ΗΡΑΚΛΕΑ ΜΑΙΝΟΜΕΝΟΝ.

157. ὃς ἔσχε: ψόγος Ἡρακλέους ὡς τοξότου.

163. ἀλλ' ὃς μένων: ἔπαινος ὁπλίτου.

190. ἀνὴρ ὁπλίτης: ἐκ τοῦ ἐναντίου ψόγος ὁπλίτου.

195. ὅσοι δέ: ἔπαινος τοξότου.

286. οὐμοί: ὦ ἐμοί.

592. ὑπ' ἀργίας: σοῦ βραδύνοντος.

816. πίτυλον: προσβολήν, σύρραξιν.

1. Ὁμηρικῷ] Il. 1, 135.
10. ὄνομα scripsi pro ὀνόματα.
13. ὁ κωμικός] Aristoph. Av. 1694.

820. τὸ χρεών: τὸ χρῆν, ὃ ταυτὸν μέν ἐστι τῷ χρεών, ἀποκέκοπται δὲ ἐκ τοῦ χρῆναι.

860. ἐπιρροίβδην: ῥοιζηδόν.

1161. προστρόπαιον: μυσαρόν.

1183. ἶνις: υἱός.

1192. ἀσπιστάς: εὐθεῖα.

1259. προστρόπαιος: μεμιασμένος.

1270. μόχθους: ἀπαρίθμησις τῶν Ἡρακλέους ἄθλων.

ΕΙΣ ΗΛΕΚΤΡΑΝ.

30. φθονηθείη: μεμφθείη.

43. ἀνὴρ ὅδε: δεικτικῶς ἀντὶ τοῦ ἐγώ.

80. ἀργὸς γάρ: οὐδεὶς ἀπὸ μόνου ζῇ τοῦ ἐπικαλεῖσθαι θεούς. πρὸς τοῦτο δὲ καὶ τὸ "σὺν Ἀθηνᾷ καὶ χεῖρα κίνει."

141. ἵνα πατρί: πρὸς ἑαυτὴν τοῦτό φησιν ἡ Ἠλέκτρα ἀφελῶς.

232. τοῦτο: ἤγουν τὸ εὐδαιμονεῖν.

606. εὔρημα: ἕρμαιον.

625. ἔροτιν: ἑορτὴν Αἰολικῶς.

649. τόδε: ἤγουν τὸ τῆς τύχης.

805. βουθυτεῖν: λείπει Ἀττικῶς τὸ δότε.

819. Δωρίδ': εἶδός τι μαχαίρας ἡ δωρίς.

873. σὺ μέν: ὅμοια τοῖς ἄνω.

924. παρ' οἷ: παρ' αὐτῷ.

961. νεκρόν: μὴ πρὸ τοῦ σφαγῆναι εἰσίδῃ τὸν τοῦ Αἰγίσθου νεκρόν.

975. φεύξομαι: κατηγορηθήσομαι.

979. αὖτ': αὐτὸ τὸ ἀποκτείνειν.

13. Ἀθηνᾷ scripsi pro Ἀθηνῇ. V. de hoc proverbio Leutsch. ad Paroem. vol. 2. p. 211.

ADDENDA

AD VOLUMEN I.

RHESUS.

Pag. 17, 3. *πέμψαντας*] *πέμψαντα* est etiam in A.

ib. *Δόλωνα*] *δόλων* A.

17, 5. *ἐπιφάνεντες*] Corrige *ἐπιφανέντες*.

ib. *καὶ* om. etiam A.

17, 7. *ὑπέστρεψαν*] *ἀπέστρεψαν* A.

17, 17. *ἡ Μοῦσα*] *ἡ...μοῦσα* A. cum lacuna. Videtur *Τερψιχόρη* nomen excidisse.

17, 21. *τῷ κοινῷ τῶν ἐπιφανῶν θανάτῳ*] Falsum est quod in A. esse dixit Kirchhoffius *τῶν κοινῶν φανερῷ θανάτῳ*. Nam habet *τῷ κοινῷ . . . . . φανῶν θανάτῳ*, quod est *τῷ κοινῷ τῶν ἐπιφανῶν θανάτῳ*.

18, 3. *τὰ μετάρσια δὲ ἐν*] *μετα...σια ἐν* A.

18, 8. *καὶ ἐν ἐνίοις*] Scrib. *καὶ ἐν ἐνίοις δὲ*, quod non solum in Harl. et Pal., sed etiam in A. est.

18, 17. *Ἀλέξανδρος*] *ἀλέξαι* A. ut Florentinus.

18, 19. *φιλτάτης*] *φίλτατ'* A.

18, 21. *ἐκτετριμμένην*] Sequitur in A. *ἀριστοφάνους ὑπόθεσις*, quam vide supra p. 16.

19, 12. In annot. Colet.] *Corrige* Cobet.

20, 23. *δέξασθε*] Scribe *δεξάσθωσαν* ex A.

21, 17. Τηλεφάης nomen restituendum etiam vol. 3. p. 34, 16. ubi Τηλέφης.

22, 1. ἔχεσθαι] In A. ἔχειν, ut videtur. 2. καταντιπέραν] καταντίπερον (sic) A.

27, 6. χρωμένου] χρωμένω A. 15. αὐτοῦ] Scr. ἑαυτοῦ ex A. 19. ὁ τὴν συμμαχίαν] Scr. ὁ τὴν ἐμὴν συμμαχίαν ex A.

28, 7, 8. Hoc scholion est etiam in A. supra versum scriptum, κυρίως ante ὀργάδες posito.

29, 1. κατῆι—εὐπετλ . . .] In A. est κατη$^{\overset{\circ}{\delta\rho}}$ . . . οὐ ταλαίπορον καὶ εὔπετλον. 10. Ἀδράστεια] ἀδραστία (non ἀδράστια) A. 22. κακοβρῖ] In A. est κακοβριῶν.

30, 9. ἐντεκνοῖ] In A. est ἐντέκνοι, non ἐντεκνῶ ut apud Amatium. 15. δὲ post ἐρατῶ (sic) est in A. 19. ἐπ . . .] Scribendum ἔπλασε.

31, 1. αὐτὰς] αὐτ . . apud Amatium. Sed in A. αὐτὸν est post ἔφη trium literarum lacuna.

4. τελέσει] Sic A.

35, 20. τῶν om. A.: addidit Cobetus.

36, 6. ἀφικνούμεναι] Sic A., non ἀφικνούμενα ut apud Cobetum.

38, 6. γενόμενον] Recte γινόμενον A.

Glossematis interlinearibus haec sunt addenda ex A. 46. νέαν τιν'] νέαν ἐμφαίνοντες γνώμην. 48. ναυσιπόρος] ὁ διὰ τῶν νεῶν πορευθεὶς στόλος.

57. θοίνης] λείπει τὸ ὡς. 69. βουλὰς] τὰς συμβουλίας καὶ μαντείας ἐν ὄρφνῃ] ἐν νυκτὶ ὁ φεύγων μέγα ἰσχύει 73. κλίμακας] τὰς εἰς τὰς ναῦς ἀναγούσας σανίδας 74. λελησμμένοι] ἐκ τοῦ ληΐζω. ἀναφθέντες. 79. ὕποπτον] φοβερὸν, ὃ οὐκ ἄν τις θαρσήσειε.

155. ῥίψας] προκινδυνεύσας. ἀπὸ τῶν κύβων ἡ μεταφορά 172. ξυναίνεσον] σύνθου. λείπει τὸ διδόναι 197. εὐκλεής] ὥστε σε τοῦ δικαίου τῆς ἀμοιβῆς τυχεῖν 226. ὦ δία κεφαλά] κατὰ κρᾶσιν. διΐα γὰρ ἡ νὺξ ἐγένετο δία. ὦ ἀπὸ τοῦ Διὸς κεφαλή 235. πατρὸς Ἰλιάδας] περὶ Ἰλίου φησὶν ὡς Ὅμηρος. τοῦ πάλαι πατρός ἀντὶ τοῦ προγόνου. 242. πρό τε γᾶς] ἀντὶ τοῦ ὑπέρ.

283. πεδιάδος] δι' ἧς αἱ ἅμαξαι πορεύονται 285. οὔτι φαῦλον] οὐ ῥᾴδιον. λείπει διὰ τῶν συνήθων πεδίων. 287. κατ' Ἰδαῖον λέπας] κατὰ τὸ ἀκρωτήριον τῆς Ἴδης 288. αὐτόρριζον] σπήλαιον οὐκ ἀπὸ χειρὸς γενόμενον, ἐπεὶ ἐν πέτραις εἰσὶ καὶ οἰκοῦσιν 296. προὐξερευνητὰς] τοὺς ἔμπροσθεν, τοὺς προερευνῶντας τὴν ὁδόν 333. βοηδρομεῖν] μετὰ τὴν κατεπείγουσαν χρείαν. 356. ἥκεις] ἥκεις, ἐπεὶ ἀπεστάλης ὑπὸ τῶν παίδων 374. δίβολον] τὸν τὰ δύο μέρη ἠκονημένον πάλλων] ἀνακρούων. οἱ γὰρ πολεμοῦντες κινοῦσι τοὺς πόδας 389. παλαιᾷ σ' ἡμέρᾳ] παλαιὸν ἐχούσῃ διάλειμμα. λείπει δὲ τὸ ὁρῶν 401. γερουσία] πρεσβεία τῶν ἐντίμων. 404. ἐγγενής] ὁμόφυλος, ὁμόχωρος 408. Πάγγαιον] ὄρος Θρᾴκης Παιόνων] ἔθνος Θρᾴκης 410. ἔρρηξα] ἔσχισα τὸ ὅπλον τῶν πολεμίων τῷ δόρατι

411. λακτίσας] ἐμφαντικώτερον τοῦ πατήσας

417. δίψιόν τε πῦρ] τὸ θέρος, ὅτι κατάξηρον

419. πυκνὴν ἄμυστιν] τὴν συνεχῆ πόσιν 434. ὁμηρεύσας] ἐνέχυρα λαβὼν τῆς εἰρήνης τὰ τέκνα αὐτῶν 435. δασμόν] ὅμηρος κοινήν (?)

437. γῆς περῶν] τὰ ἕως Τροίας 438. οὐχ ὡς σύ] οὐχ ὡς σὺ ὀνειδίζων λέγεις.

TROADES.

Scholiis in Troades inscriptum in N. Ἀριστοφάνους γραμματικοῦ σχόλια εἰς τὸ δρᾶμα τῶν τοῦ εὐριπίδου τρωάδων. Quae quum in A. non legantur, ab librario addita esse patet.

42, 13. λιπόν typothetae error pro λιπών 16. οἱ om. N.

43, 11. βάθροις δὲ] δὲ om. N.

43, 20. ποιὰς τοὺς ἐνιαυτοὺς ἔλεγον] Alibi non raro ποίας ὀξυτόνως, de quo dixi in Thesauro vol. 6. p. 1288. 22. ἀμελούμενα scripsi quia Amatius ἀμελο . . . α in A. esse dixerat. Sed in A.N. est ἀμελεῖται, quod restituendum.

44, 13. ἐξαιρέτως δοθεῖσαι] ἐξαίρετο δοθεῖσαι A. ἐξαίρετα δο-

θεῖσαι N. 19. ἐπιτετραμμένοι Amatius. ἐπιτεταμμένοι A.N. ib. κοινωνήσει] κινήσει N. pro κοινήσει, quod est in A. 22. ὑπώπτευκε] ὑπώπτευσε N. 23. Τρώεσσιν] τρώεσιν A. τρώασιν N.

53, 3. τὸ ἐπὶ] τὸ μὲν ἐπὶ N. 4. δὲ] τὲ A.N. 9. τὸ] τῶν N. ib. οἰκιῶν] Scribe οἰκείων ex A.N. 10. τούτων] τουτέστιν N. Totum scholion sic corrigendum, ὧν ἀπῆσαν: τούτων, τοῦ μεταξὺ τῶν οἰκείων ἀποθνήσκειν αἱ ἡδοναὶ τοῖς Ἕλλησιν ἀπῆσαν, τουτέστι, τούτων ἐστέρηντο. 13. γράφεται] Quod in A. est γράψων, frequens est hujus libri vitium, quod ubique annotare non fuit operae pretium. 14. Recta scriptura γενηθεὶς κατεσιωπήθη est in A.N. Erravit Amatius. 19. In N. non πόλιν μου, ut A., sed τὸ πολεμεῖν. Idem verba proxima integra habet οὐκ αἰσχρὸς στέφανος τοῦ ἀποθανεῖν, in A. οὐκ αἰστχ . . . αν τοῦ ἀποθανεῖν (non ἀποθν . . . quod ei tribuit Amatius meque induxit ut ἀποθνήσκειν scriberem.)

54, 3. τινὸς τῶν εὐτελῶν scripsi, quia Amatius τινὸς εὐτελῶν in A. esse dixerat. Restitue τινὸς εὐτελοῦς, quod est in A.N. 5. τὴν Τροίαν] τοὺς τρῶας N. ib. ἀνέμῳ] ἀνέμοις N.

55, 11. με; καὶ τοῦτο λαμβάνεις] Scribe με καὶ προλαμβάνεις ex A.N. 17. ὡσ. τιν. αὐτῆς ἐπιμελοῦμεν] Sic male apud Amatium. Scribe ex A.N. ὡς τινῶν αὐτῆς ἐπιμελουμένων. 25. πρῶτον εἰς] Sic A. secundum Amatium: de quo dubito, quum in N. sit quod sententia postulat μετὰ τὸ εἰπεῖν. 29. 31. θριγκὸς] θριγγὸς N.

56, 2. οὐδὲ] In A. non .. δὲ, sed δέ, i. e. δέον, quod restituendum. 16. Alterum καὶ χάριν om. N. 28. ἐπὶ] Scribe ἔτι ex A.N.

57, 6. συζυγίᾳ] συζύγῳ A.N. 7. παρακαθέζῃ] Sic clare in N.: παρακαθέλκη A., si recte lectum. 8. ἐν οἷς om. N. 9. οἵμοι] οἶμαι N. 16. αὐτὸς] αὐτῶν N. 20. εὐτυχέστερον] εὐτυχεστέρας N. 24. τοῦτο δ' αὖ βλέπει] τοῦτο δ' ἀναβλέπει A. τοῦδ' ἀναβλέπει N. 26. καὶ γὰρ νῦν] Scribe καὶ νῦν γὰρ ex A.N. ib. τὰ αὐτὰ] αὖ A. ex quo ἀντὶ τοῦ factum in N.

58, 2. Vocabulum post *βαλοῦσα* in A. obliteratum fuit *ἐπὶ*, quod est in N. Delenda igitur annotatio Kampmanni. 4. *ἁμαρτάνειν*] Scribe *ἁμαρτεῖν* ex A.N. 20. *μόνον*] *μόνη* N. 23. *ἀπ* .... A. literis reliquis evanidis. Scribendum *ἀπείρηκα* ex N. 25. *ὀνομαστὶ* satis clare in A.N., non *ὄνομα ἐστὶ* ut ap. Amatium. 31. *ἔβας ὅτε*] *ἔβης ὅτε* N.

59, 1. *διὰ*] *καὶ διὰ* N. 6. *πεποιηκότι*] *πεπονηκότι* N. 11. *Διὶ* om. N. 13. *διὰ*] *διὰ τὴν* A.N. (non *διὰ τὰς*) 18. *ὥσπερ* N., non *ὥσπερ ἡ* ut A.

60, 16. *ἀνθρώποις* obscure scriptum in A., clare in N. 17. *πάντα*] *πάντων* N.

61, 8. *ὅρα*] *ὅρα ἵνα* N. 11. *τὸ* om. N. 14. *ἀνατρέψω*] *ἀντιστρέψω* N. 17. *ἐδούλευσεν*] *ἐδούλευε* N. 26. *ἀφώρμησα*] *ἀφώρμῃ* N. 28. *ταύτης* (non *τῆς αὐτῆς*) clare scriptum in N.

62, 1. *παρὰ τὴν ἱστορίαν*] *περὶ τῆς ἱστορίας* N.

7. Post *καλλιώτερον* nulla in N. lacuna et *οἱ παῖδές σου* scriptum pro *ὑπὸ σοῦ*. Verba *ἤγουν ὡς λέγοι· καλλιώτερον ἐγένετο* non integra. 11. *παίζουσαι*] *παίζουσαν* N., non *παίζουσα*, quod in A. esse dicitur. ib. *ἐν Ἰλιάδι*] 24, 23—30. 22. *ἀσελγείας*] Sic N., non *ἀσελγίας* ut A.

63, 1. *τῇ συνουσίᾳ*] *τῇ* om. N. Idem bis *περὶ* pro *παρά*. ib. *τὸν ἐν τῇ θαλάττῃ ἀφρόν*] *τὸν ἀφρὸν ἐν θαλάττῃ* N. 5. *ἄβροδίτην*] *ἀφροδίτην* N. Etymologiae ineptae auctor perhibetur Didymus in Etym. M. p. 179, 13. *ὁ δὲ Δίδυμος παρὰ τὸ ἁβρὸν τῆς διαίτης*. 10. *ἐρῶντες*] *ἔρωτες* N. 11. *ἐφέρου*] *φέρου* N. 13. *προσῆκον*, quod pro *πρέπον* posuit Cobetus, ego neque ex A. neque ex N. enotatum habeo. 14. *φησιν*] Restitue *φησι*, quod est in A.N. ib. *νικτην*] *νι* cum compendio N. 22. *συμφωνεῖς* clare scriptum in N.

64, 14. *περιφερῆ*] *περιφανῆ* N. ib. *δε* . . .] Scribe *δέ τινας* ex A.N. 15. *θυσίαν*] Scribe *θυσίας* ex A.N. 25. *ἐπιλαθόμενος*] *ἐπιλησάμενος* N. 26. *ἐπιλελησμένην αὐτὴν—καταστοχαζομένην*] *ἐπιλελησμένας αὐτὰς—καταστοχαζομένας* A. N. 30. *χαλκιοίκου*] *χαλκείου οἴκου* A.N.

65, 1. ἔκτεινον] ἔκτειναν N. et, ut opinor, A. recte. ib. διεσκεύσαντες] διεσκευάσαν A. 8. ὑψηλότερον] Scribe ὑψηλοτέρα ex A.N. 15. καταλύσασθαι] Scribe καταλῦσαι ex A.N. 18. ἡγήσατο] ἡγήσεται N.

66, 1. παρεκάλεσεν] Scribe παρεκάλει ex A.N. 6. ἀφείλετ᾽] ἀφεῖται N. 22. μεταφορὰν A. μεταφορικὸν (terminatione per compendium expressa) N. 23. οὖν om. N. 25. μεταφορὰ A. μεταφορικῶς N.

67, 10. ὁ τοί ... τύπος] ὅτι ὁ τύπος N. 14. πολυτελής, quod conjecit Kampmannus, clare scriptum in N., prope evanidum in A. 15. αἱ γὰρ τύχαι πηδῶσιν, ὅ ἐστι] In A. (ex quo ἵ γὰρ τύχαι ..... ὅ ἐστι protulit Amatius) et N. satis clare scriptum αἱ γὰρ τύχαι τοῖς τρόποις, ὅ ἐστι. Hoc igitur restituendum addito, quod ego addidi, verbo πηδῶσιν. 16. τοῦ εὐμεταβλήτου] τοὺς εὐμεταβλήτους N. 17. τοῦ, quod delevit Kampmannus, abest ab N. 18. φέρουσι] Scribe φέρουσαι ex A.N. 27. ἡ om. N.

68, 22. πέσουσα typotheta posuit pro πεσοῦσα. 27. ἀνακαλεῖς] ἀνακαλεῖ A.N.

69, 1. τ ..... ἀγόμεθα] Sic A. Restitue ex N. τὸ ἑξῆς, ἀγόμεθα— 2. ἡ σφαγὴ] ἐσφάγη N. 7. ἐμὸν οἶκον] ἐν οἴκῳ N. 9. Addit A.N. supra versum (ad v. 1322. ὄνομα δὲ γῆς ἀφανὲς εἶσιν) τὸ δὲ ὄνομα τῆς πολεως ἄλλο ἀλλαχοῦ φροῦδον πορευθήσεται.

Glossematis interlinearibus haec accedant ex A.N. excerpta:

17. πέπτωκε Πρίαμος] ἐντὸς τοῦ ναοῦ 19. μένουσι] προσδοκῶσι 23. ἐγὼ δὲ, νικῶμαι] τὸ ἑξῆς, ἐγὼ δὲ λείπω 25. Ἥρας Ἀθάνας θ᾽] ταῖς παρακλήσεσι Ἥρας καὶ Ἀθηνᾶς 34. σὺν αὐταῖς] ἡ Ἑλένη σὺν αἰχμαλώτοις κειμένοις 37. ᾗ] ἀντὶ τοῦ ἧς 43. παραλιπὼν] λέχος

τό τ' εὐσεβὲς] τὸ ὅσιον 48. τὸν γένει] τὸν πλησιάζοντα τῷ πατρὶ κατὰ γένος. ἀδελφὸς τοῦ Διὸς ὁ Ποσειδῶν 50. ἔχθραν] τὴν κατὰ τῶν Τρώων ἔχθραν

52. φίλτρον] θέλγητρον 54. κοινοὺς] σοὶ καὶ ἐμαυτῇ

55. μῶν] μὴ οὖν του] τινός 57. ἔνθα βαίνομεν] ἐφ' ᾗ νῦν ἐσμέν

58. πρὸς σὴν—δύναμιν] περιφραστικῶς εἰς σέ ὡς κοινὴν λάβω] ἥγουν βοηθὸν, συνεργόν

59. ἐκβαλοῦσα] μεταβαλοῦσα

60. πυρὶ κατηθαλωμένης] ἥγουν τῆς Τροίας

70. εἶλκε] ἐδάμασεν 89. Δήλιοί τε χοιράδες] αἱ ἀπὸ τῆς Δήλου τραχεῖαι πέτραι

93. καραδόκει] προσδόκα 94. ἐξίῃ] ἐκπέμπῃ καλῶς 102. δαίμονος] τύχης 103. προσίστω] ἀνθίστασο 113. ἄρθρων κλίσεως] ἀντὶ τοῦ φεῦ τῆς ἀνακλίσεως τῶν μελῶν ὡς διάκειμαι 114. στερροῖς] σκληροῖς 119. δακρύων] διά δακρύων ἐλέγους] θρήνους. λείπει κέκμηκα 120. τοῖς δυστήνοις] πάρεστιν 122. κελαδεῖν] ὥστε ἀχορεύτους] δυσχορεύτους 129. ἐξηρτήσασθ'] ἥγουν τὰ σχοινία ἐδήσατε ἐν ταῖς ναυσί 131. μετανισόμεναι] κομίσασαι 132. Κάστορι] τὸν ἀδελφὸν τῆς Ἑλένης 134. σφάζει μὲν] λείπει (corrige λέγει) τὸ σφάζεσθαι ποιεῖ 135. ἀροτῆρα] σπορέα 141. κουρᾷ ξυρήκει] διὰ ξυροῦ ἐκκαθαρθείσῃ 146. τύφεται] πυρπολεῖται Ἴλιος, δι' ὃ θρηνοῦμεν 147. ὡσεὶ] οὕτως 152. ἐξῆρχον] ἀνύμνουν 164. ναυσθλώσουσι] ταῖς ναυσὶ ἀπάξουσι. 169. ἐκβακχεύουσαν] ἐκβακχευομένην 174. λιπόντες] οἱ αἰχμαλωτισθέντες 178. μή με κτείνειν] ταῦτα ἐπερωτῶν ὁ χορὸς λέγει περὶ ἑαυτοῦ 181. στέλλονται] εὐτρεπίζονται κώπας] ἐν ἐρωτήσει καὶ ταῦτα 185. τῷ] τίνι 186. ἐγγύς] ἐγγὺς εἶ τοῦ κληρωθῆναι 189. πρόσω Τροίας] γρ. πόρρω. [πόρσω scribendum erat.] περιπαθῶς τὸ πρόσω Τροίας 192. μορφά] εἰμί 194. ἢ τὰν] λείπει ἄγομαι

205. ᾗ Πειρήνας] ὅπου τῆς πηγῆς ὑδρευσομένα] τὸ ἑξῆς, ἢ λέκτροις πλαθεῖσ' Ἑλλάνων ἢ Πειρήνης ὑδάτων 212. ἔνθ' ἀντάσω] γένωμαι ἐκεῖσε, ἀπαντήσω δούλη Μενελάου οὖσα 217. εὐ-

θαλεῖ] τῇ θάλλειν ποιούσῃ 218. τὰν ἱεράν] ἥγουν τὰς Ἀθήνας 222. ἀκούω] λείπει τὸ ἥν

227. πυρσαίνων] πυρσεύων 231. νεοχμῶν] καὶ νέων 234. Δωρίδος] τῆς Ἑλληνικῆς

235. πυκνάς] συνεχεῖς 241. Θεσσαλίας πόλιν] εἰς κλῆρον ἐλάχομεν 243. λελόγχατε] κεκλήρωσθε 244. πότμος] τύχη 253. τοῦ Φοίβου] ἥγουν τὴν Κασάνδραν ᾗ] ἥτινι 254. ὁ χρυσοκόμας] ὁ Ἀπόλλων ἄλεκτρον] τὴν παρθενίαν 255. ἐνθέου κόρης] τῆς μαντικῆς 257. κλεῖδας] ἱέρεια γὰρ ἦν τοῦ Ἀπόλλωνος 260. τὸ νεοχμὸν] τὸ νεωστὶ ἁρπαγέν 263. τῷ πάλος ἔζευξε] τίνι ταύτην ὁ κλῆρος ἔζευξε καὶ ἀπένειμεν 271. χαλκεομήτορος] τοῦ ἀνδρείου

276. γηραιῷ κάρᾳ] λείπει ἡ διά, διὰ τὸ γηραιὸν κάρα, ὡς τὸ "σοὶ πάντες μαχόμεθα" (scr. μαχόμεσθα ex Il. 5, 875.) ἀντὶ τοῦ διὰ σέ 279. κούριμον] τὸ κεκαρμένον 284. πολεμίῳ] ἐχθρῷ τῆς δίκης

παρανόμῳ δάκει] καὶ θηρίῳ παρανόμῳ 286. διπτύχῳ] οὐκ ὀρθῇ 292. πότνι'] δέσποινα 293. ἦ τίς Ἑλλήνων ἔχει] ἦ τίς ἐμὲ κέκτηται δούλην 294. ἴτ', ἐκκομίζειν] πορεύεσθε ἐπὶ Κασάνδραν 295. στρατηλάτῃ] τῷ Ἀγαμέμνονι 311. ὁ γαμέτας] ὁ ἀνὴρ ὁ ἄγων με 316. πατέρα] ἥγουν τὸν Πρίαμον 317. καταστένουσ'] ἀντὶ τοῦ καταστένεις. Ἀττικὸν τὸ σχῆμα 324. ᾗ νόμος ἔχει] ὡς νόμος ἐστὶ, ὥσπερ καὶ τὸ "ᾗ θέμις ἐστί" (apud Homerum) ἀντὶ τοῦ ὡς θέμις ἐστίν. 328. ὁ χορὸς ὅσιος] ὅσπερ εἴωθε ἐπὶ τοῦ πατρὸς χορεύειν 333. μετ' ἐμέθεν] ἀντὶ τοῦ μετὰ ποδῶν ἐμέθεν 337. ἰαχαῖς τε νύμφαν] ἐμὲ τὴν νύμφην. ἰαχαῖς δὲ λέγει νῦν ἐν ἴσῳ τῷ σχήματι 345. ἔξω] ἐκτός 347. ἐδόξαζον] οὐκ ἤλπιζόν σε γαμεῖσθαι αἰχμαλωτισθεῖσαν 356. ὄθει] κἂν ἐγὼ μὴ βούλομαι (scr. βούλωμαι) ἐξελθεῖν, σύ με ὄθει, μὴ ἐμβληθῶ εἰς δίκας εἰ γὰρ ἔστι Λοξίας] ὅ ἐστι, εἰ σώζεται ἡ μαντεία 359. ἀντιπορθήσω] ἀντικτανθῆναι ποιήσω 362. εἶσι] πορευθῇ 363. μητροκτόνους] ἀπὸ κοινοῦ τὸ ἐάσω. λέγει δὲ τὸν Ὀρέστην 364. ἀνάστασιν] πόρθησιν 365. τήνδε μακαριωτάτην] τὴν Τροίαν 370. ὁ δὲ στρατηγὸς] ὁ Ἀγαμέμνων ὑπὲρ Μενελάου 373. καὶ ταῦθ' ἑκούσης] τῆς

Ἑλένης παραγενομένης εἰς Τροίαν 374. ἦλυθον] οἱ Ἕλληνες 375. ὄρι' ἀπεστερημένοι] οὐχ ὑπὲρ ὁρίων γῆς μαχόμενοι 376. ἕλοι] εἶλε 377. οὐ δάμαρτος] οὐκ ἐτάφησαν ὑπὸ τῶν ἰδίων γυναικῶν 386. Τρῶες] οἱ Τρῶες ὑπὲρ γῆς ἔθνησκον, ὅπερ ἐστὶ τὸ κάλλιστον κλέος 394. λύπρ'] τὰ δοκοῦντά σοι λυπηρά

408. ἀμισθὶ] ἀτιμωρητί 415. Μαινάδος ὑπέστη] ὑπεράσθη 423. γυναικὸς] τῆς Πηνελόπης

429. ἡρμηνευμένοι] οἱ δι' ἐμοῦ ἑρμηνευόμενοι.

431. οἷά νιν] ὅτι εἰς κύνα μέλλει μεταβληθῆναι

432. αὐτῷ] τῷ Ὀδυσσεῖ καὶ Φρυγῶν] ἀποστρέφει εἰς τὸν Ὀδυσσέα τὰ ἑξῆς 437. Λίγυστις] ὡς ἐν τῷ Λιγυστικῷ οἰκούσης τῆς Κίρκης

443. μολών] τοὺς μνηστῆρας 444. ἀλλὰ γὰρ τί] πρὸς ἑαυτὴν ταῦτα λέγει ἐξακοντίζω] διαξαίνω καὶ διαγράφω 450. θηρσὶ δώσουσι] ὥστε ὑπὸ θηρῶν διαφθαρῆναι 476. ὑπερτάτους Φρυγῶν] οὐχ ἁπλῶς πλῆθος, ἀλλὰ καὶ πολλοὺς καὶ ἀγαθούς 483. πυρᾷ] τῷ βωμῷ

494. κἀν πέδῳ] καὶ ἐν πέδῳ ἀναγκάσουσί με κοιμᾶσθαι 495. ῥυσοῖσι] ἐν ῥυσοῖς νώτοις ἔχουσα ῥάκη ῥυσοῖς] γηραιοῖς 497. λακίσματ'] σχίσματα ἀδόκιμ'] ἀνάξια βασιλεῦσι 500. σύμβακχε] διὰ τὸ μαντεύεσθαι 501. ἄγνευμα] τὴν παρθένον 518. ὅτ' ἔλειπον] βούλεται τὴν ἀρχὴν λέγειν πῶς τὸ Ἴλιον ἐπορθήθη 521. ἐν πύλαις Ἀχαιοί] τὸ ἑξῆς ἔλιπον Ἀχαιοί 522. λεώς] ὁ Τρωϊκός 527. ἔβα νεανίδων] τίς, φησὶν, οὐκ ἐξῆλθεν πρὸς τὸ θεάσασθαι τὸν ἵππον 532. οὐρείᾳ] τῇ ὀρινῇ (scrib. ὀρεινῇ) πεύκῃ 546. ἀέριον] οὕτως ὥστε πληρῶσαι καὶ τὸν αἰθέρα 547. εὔφρον'] τὴν εὔφρονα μολπὴν, ἤγουν τὴν εὐφραντικήν 551. ὀρεστέραν] τὴν ὀρεσίτροφον 556. Περγάμων ἕδρας] τὰς ἕδρας τῶν Περγάμων βοὴ κατεῖχε 557. βρέφη] τὰ βρέφη, φησὶν, ἔσω ἔφυγε τῶν πέπλων τῶν μητέρων 560. λόχου] τοῦ ἵππου 561. Παλλάδος] ὅπερ ἦν ἔργον τῆς Ἀθηνᾶς 574. οἷσιν Ἀχιλλέως] οἵστισιν ὅπλοις ὁ τοῦ Ἀχιλλέως παῖς στέφει τοὺς ναοὺς τῆς Φθίας 577. Ἀχαιοὶ —] Ἀνδρομάχη (scrib. Ἀνδρομάχης) πρὸς Ἑκάβην ἀμοιβαῖα 586. ὦ πόσι μοι] τὸ ἑξῆς, ὦ πόσι μοι σᾶς δάμαρτος ἄλκαρ, ὅ ἐστιν ἐμοῦ ἐπικουρία 587. ἄλκαρ] βοή-

θεια 587. σύ τε ὁ λῦμ'] σύ τε, ὦ Πρίαμε, λύμη γεγονὼς τοῖς Ἕλλησι

590. πόθοι μεγάλοι] ἃ ποθ^τ (sic A. et N. quod est ἃ ποθεῖτε) μεγάλα, ἡ μὲν Ἕκτορα, ἡ δὲ Πρίαμον (ἡ μὲν τὸν ἕκτορα, ἡ δὲ τὸν πρίαμον N.) 595. τέταται] πρόκειται, φησὶ, τὰ σώματα τοῖς γυψί δούλεια Τροίᾳ] τῇ δὲ Τροίᾳ ὁ Ἀλέξανδρος δούλεια ζυγὰ ἤνυσεν 597. ἔνθ' ἐλοχεύθην] ἀπὸ κοινοῦ τὸ καταλειπομένην σε δακρύω 604. ὡς ἡδὺ δάκρυα] ἡδύ ἐστι τὰ δάκρυα τοῖς ἀτυχοῦσι καὶ ἡ Μοῦσα, ἣ λύπας ἔχει 606. ὦ μῆτερ ἀνδρὸς] τὸ ἑξῆς, ὦ μῆτερ ἀνδρὸς Ἕκτορος 608. πυργοῦσ'] ὑψοῦσα 610. ἀγόμεθα λεία] λεία ὄντες ἀγόμεθα 617. εἰς ἅμιλλαν ἔρχεται] ἕτερος ἕτερον διαδέχεται 621. αἴνιγμ'] αἴνιγμά ἐστι λόγος οὐ σαφῶς λεγόμενος 630. τέρψιν] παραμυθίαν 631. τὸ μὴ γενέσθαι] τὸ ὅλως μὴ γεννηθῆναι 633. ἀλγεῖ γὰρ —] οὐκ αἰσθάνεται τῶν κακῶν ὁ νεκρός 660. λέγουσιν —] λέγουσιν ὅτι μία (μίαν N.) νύκτα λύει τὴν δυσμένειαν τῇ φιλίᾳ 664. ἀλλ' οὐδὲ πῶλος —] ἀλλ' οὐδὲ πῶλος, εἰ διαχωρισθείη τῆς συντραφείσης, ῥᾳδίως τὸν ζυγόν 679. θρηνοῦσα δὲ] ἐμοὶ δηλονότι 696. δρᾷς τάδ'] καὶ εἰς ἡμᾶς 708. τόνδε παῖδα] τὸν Ἀστυάνακτα

758. ἕλισσε] περιλάμβανε 764. ὅσα τε γῆ] ὅτι τούτων ἡ αἰτία αὐτοῖς γέγονεν ἡ Ἑλένη 795. μελισσοτρόφου] τῆς τρεφούσης μελίσσας· τίμιον γὰρ τὸ ζῶον

810. καὶ ναύδετ'] τὰ ναύδετα λέγει τὰ πρυμνήσια 812. εὐστοχίαν] τὰ τόξα λέγει 818. πιτύλοιν] πίτυλον λέγει τὴν συνεχῆ τῶν κωπῶν φορὰν, νῦν δὲ τὴν ὁρμήν 820. οἰνοχόαις] οὓς ἡμεῖς λέγομεν σκύφους, οἷς τὸν οἶνον ἀρύονται, ἢ κυάθους 835. βεβᾶσι] πεπόρθηνται 845. τὸ μὲν οὖν Διὸς —] πολλὰ εἴρηται περὶ τοῦ Διὸς, οὐκέτι ἐρῶ, οὐδὲ ὀνειδίσω τῷ Διί 859. φίλτρα] τὰ δὲ τῶν θεῶν φίλτρα ἀφανῆ νῦν εἰσίν 873. ἐξεμόχθησαν] μοχθήσαντες ἐκράτησαν 899. γνῶμαι τίνες] λείπει τὸ ποῖαι εἰσίν 900. τῆς ἐμῆς ψυχῆς πέρι] περὶ ἐμοῦ πέρι] ἕνεκα

958. πλεκταῖσιν —] ταῖς σειραῖς τῶν σχοινίων 962. ὁ μὲν βίᾳ γαμεῖ] ὁ Δηΐφοβος 966. βασίλει'] ὦ Ἑκάβη 967. τῆσδ'] τῆς Ἑλένης 1005. Μενέλαον ᾔνεις] ἤγουν ἔλεγες τῷ Μενελάῳ 1008. ἤσκεις] ἐμελέτας 1009. τῇ ἀρετῇ] τῇ

σωφρουσύνῃ 1023. ἐξῆλθες ἀσκήσασα] πρὸς αὐτὴν ἀποτείνεται ὡς ἂν καὶ κοσμηθεῖσαν 1025. ἐν πέπλων ἐρειπίοις] ἐριπίοις (scrib. ἐρειπίοις) τοῖς ῥάκεσι· μεταφορικῶς ἀπὸ τῶν καταρειμμένων οἴκων 1026. ἀπεσκυθισμένην] ἀπεξυρισμένην 1052. τῶν ἐρωμένων] πρὸς τὰς τύχας (ψυχὰς N.) τῶν ἐρώντων 1063. πελανῶν] τῶν πεμμάτων, τῶν πλακούντων 1066. Ἰδαῖα] ἐν γὰρ τῇ Ἴδῃ ἐτιμᾶτο ὁ Ζεύς 1067. χιόνι κατάρρυτα] πολλῇ, ὑφ' ἧς οἱ ποταμοὶ πληροῦνται 1072. εὔφημοι] ἀντὶ τοῦ αἱ περὶ ὀψίαν τοῖς θεοῖς παννυχίδες 1077. μέλει μοι] μέλει μοι εἰ φρονεῖς τῆς πόλεως καταλυομένης

1085. ἄνυδρος] ἄλουστος (sic A.N. pro ἄλουτος)· λούουσι γὰρ τοὺς νεκροὺς οἱ νομίμως θάπτοντες 1087. ἱππόβοτον] οὕτως ἐκαλεῖτο (καλεῖτο A. καλεῖται N.) τὸ κατὰ Πελοπόννησον Ἄργος 1090. κατάορα] κατήορα 1096. ἢ Σαλαμῖν'] λείπει ἡ εἰς, εἰς Σαλαμῖνα 1098. Ἴσθμιον] διὰ τὸ εἰς δύο θαλάσσας τὸν Ἰσθμὸν διῃρῆσθαι 1100. ἀκάτου] εἶδος πλοίου 1106. Ἑλλάδι λάτρευμα] δουλεῦσαι τῇ Ἑλλάδι 1112. Πιτάνας] πόλις Λακεδαιμονίων ἡ Πιτάνη 1117. Τρῳῆσιν] ἀντὶ τοῦ Τρωσίν 1118. ἰὼ ἰώ] τὸ ἐξῆς ἰὼ συντυχίαι 1148. ἐπισχόντες] ἐπιχέοντες 1150. ἀπαλλάξας ἔχω] ἀπήλλαξά σε μόχθου διὰ τὸ λελουκέναι αὐτήν 1166. ὅστις φοβεῖται] ὅστις μὴ μετὰ λογισμοῦ φοβεῖται 1195. φύλακ'] φύλακες γάρ εἰσιν οἱ φρουροῦντες 1231. ἀλάστων] ἀνεπιπλήστων 1257. φλογέας] ἁπτούσας 1284. ἐνθουσιᾷς] μαίνῃ ὑπὸ (ἀπὸ N.) τῶν κακῶν 1287. Κρόνιε πρύτανι] ὦ Ζεῦ 1292. ἄπολις] ὡς ἄπολις ὄλωλεν 1313. ἄϊστος εἶ] ἀνήκοος εἶ τῆς ἐμῆς ἄτης 1326. ἐπικλύσει] ἐπιστήσει 1327. τρομερὰ μέλεα φέρετ' ἐμὸν ἴχνος] τρόμῳ φέρεται τὸ ἐμὸν ἴχνος

HIPPOLYTUS.

76, 3. μὴ λύσῃς ἀσκόν] Duos oraculi versus affert schol. Medeae vol. 4. p. 46, 18. 83, 13. καθάπερ] Scribendum καθάπερ οἱ —. 92, 8. ποιοῦτος] Corr. ποιοῦτος. 101, 8. ἔγκλημα] Corruptum ex ἐγκύκλημα, pro ἐκκύκλημα scripto ut

lin. 6. 103, 22. Ἄιδον] Corr. Ἄιδου. 109, 1. γυμαστικῶς] Corr. γυμναστικῶς.

112, 19. μηδὲ δίκην δικάσῃς] Reliqua versus pars est πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς (conf. schol. Andr. 957. vol. 4. p. 193, 15) quem ψευδησιόδειον vocat Cicero: v. Goettling. ad Fragm. Hesiodi p. 182. ed. sec.

114, 6. Adde, 285. ἀνήσω: ἐνδώσω. οὐδὲ νῦν προθυμίας: γρ. τὴν ἐμὴν προθυμίαν. B. 115, 6. μηνυθῇ: ἀνακοινωθῇ. B. 117, 19. Adde, ἐν σοί ἐστι τὸ ζῆν. εἰ βούλει με φόνευσον· συγχωρήσω γάρ. B. 118, 6. Adde, 328. μεῖζον κακὸν λογίζομαι πάντων τῶν κακῶν τὸ μὴ εὑρεῖν σε ἀπολογουμένην μοι. B. 119, 19. Adde tria ex M. scholia, 334. δῶρον οὐ δίδως ὃ χρῆν: ὃ ζητῶ οὐ δίδως μοι. λέγει δὲ τοῦτο, ἐπεὶ οὐκ ἀνέχεται ὁμολογουμένη αὐτῇ τί ἔχει. 335. σέβας: τὴν σὴν ἱκεσίαν, τὴν ἐκ ταύτης ὁρμήν. 336. σιγῷμ' ἂν ἤδη: τὸ τέλειον σιγῷμι ἤδη. σιγῶ. λείπει (adde ὃ) ὀφεόλεις λέγειν.

121, 1. στίχας] Corr. στίχος.

135, 3. Dele πλείονα post ἔχῃς errore relictum.

145, 9. In M. τὸ προοίμιον τοῦ λόγου . . . . ἀττικόν ἐστι.

154, 16. Μακεδόνων] Scribendum Μακεδονικῶν, ut alibi hoc opus Μακεδονικά appellatur.

184, 22. παρόσου] Corr. παρόσον.

196, 10. δευτέρου typothetae error pro δεύτερον.

HECUBA.

209, 23. 213, 17. 215, 22. 216, 6, 28. προσῳδιακόν] Revocandum hic et alibi προσοδιακόν ex I. V. ad vol. 3. p. 14, 5.

212, 17.–19. τὸ δ'—δακτύλου] Corrige, τὸ δ' τροχαϊκὸν ἰθυφαλλικὸν τοῦ β' ποδὸς δακτύλου. [Verba dicit "ἀμφὶ σ', ὦ τέκνον, οὐκέτ'."] τὸ ε' παιωνικὸν δίμετρον ἐκ παίωνος α' καὶ παλεμβακχείου. ["οὔ με παρέβα φάσμα."] τὸ ς' ἀναπαιστικὸν ἑφθημιμερές. ["μελανόπτερον, ἂν εἰσεῖδον."] Nam sic haec rectum in ordinem redegit Hermannus ad Hec. p. 85. ed. sec.

220, 1.–5. Scholiorum ad v. 1. fragmenta supersunt in A. fol. 2[a]. in cujus folii pagina utraque, ut in foliis duobus proxi-

mis, plura vel evanida sunt vel charta marginibus partim defectis agglutinata perierunt. Quae nunc legi possunt ad v. 1. haec fere sunt, etsi non omni ex parte certa, . . απο .... ποιη. ου... γάρ ἐστιν . . ... | . . τη . . ζω ... γῆν ... τὸν πολύδωρον μετὰ τὴν τε ... | . . ἦλθεν .... | ... παντα ἀσώματον, ὅ ἐστι πνεῦμα μαλ (μᾶλλον?) δὲ πνεῦμα δηλαδὴ ἡ ψυχὴ ἀεὶ κινητή ἐστι καὶ στάσιν οὐκ οἶδε. διὰ τοῦτο . . | ἐστὶ δηλωτικόν. τὸ δὲ ἥκω κινήσεως εἰκότως ... ἐφθέγξατο. ἕτεροι δέ φασιν ὅτι οὐκ οἶδε .... ἥκω ἀλλ' ἱκόμην μᾶλλον .... | .... ἐστὶ γὰρ καὶ τῶν ῥητόρων .... μάλιστα δὲ τῶν ἀττικῶν τὸ τοὺς παρῳχημένους χρόνους ἐκφέρειν δι' ἐνεστῶτος ἐὰν ἀπαλι . | ..... πολύδωρος etc. (v. ad p. 220, 21.) Integriora reperiuntur in cod. Vaticano 1345. fol. 97^{b}. ἥκω: τὸ ἥκω σχῆμα τῶν Ἀττικῶν ἐστιν· οἱ γὰρ Ἀττικοὶ ἀντὶ τοῦ εἰπεῖν ἧκον ἥκω λέγουσιν. διττῶς τὸ ἥκω συντάσσεται, καὶ ἥκω καὶ ἧκον. κυρίως δὲ ἥκω, διότι, ἐὰν εἶπεν ἧκον, ἔμελλε δηλοῦν τὸν Πολύδωρον ζῶντα καὶ ἐκεῖσε ἱστάμενον, καὶ λέγων τὰ ῥήματα ἃ ἐλάλει ἀφανῶς, ἐπειδὴ ἐκεῖνος ἐφονεύθη, ὡς μανθάνομεν, καὶ οὐκ ἦν ζῶν, ἀλλὰ τὸ εἴδωλον αὐτοῦ. τὸ δὲ εἴδωλον ἔνι ὡς φάντασμα, οἱονεὶ ὄνειρον. τὸ δὲ ὄνειρον οὐ συνίσταται, ἀλλ' ἔνι συντόμως διαλυόμενον. καὶ διὰ τί εἶπεν ἥκω, οἱονεὶ ἔρχομαι; τὸ γὰρ ἧκον ἐπὶ συνισταμένου τινὸς δηλοῦται πράγματος, καθὼς λέγομεν, ἐγὼ κατελθὼν εἰς τὸν αἰγιαλὸν καὶ ἀποστραφεὶς ἧκον, ἰδοὺ πάρειμι. τὸ δὲ ἥκω ἐπὶ κινουμένου καὶ οὐκ ὄντος οὐδὲ συνισταμένου πράγματος σημαίνεται, καθὼς καὶ ἐνταῦθα λέλεκται. σφαγεὶς γὰρ ὁ Πολύδωρος λέγει ἥκω ἀντὶ τοῦ ἔρχομαι. τὸ δὲ ἥκω οὐ δηλοῖ συνιστάμενόν τι καὶ οὐσιωδῶς ἔχον τὴν οἰκείαν σύστασιν.

220, 5. ἀεικίνητον] Conf. p. 344, 15.

220, 21. In A..... Πολύδωρος ὁ γνήσιος παῖς Ἑκάβης τῆς θυγατρὸς τοῦ Κισσέως καὶ τοῦ Πριάμου λιπὼν τὸν κευθμῶνα καὶ τὰς πύλας τοῦ σκότους, ὅπου, εἰς κευθμῶνα δηλονότι (κευθμὼν δὲ λέγεται ὁ κατώτατος τόπος παρὰ τὸ κεύθω τὸ κρύπτω) κεχ .... (i. e. κεχώρισται) ὁ Ἅιδης τῶν λοιπῶν θεῶν, Περσεφόνης καὶ Πλούτωνος καὶ τῶν ἄλλων. 24. In scholio in annotatione memorato post ἐπιστολῇ pergit A..... | ὅμηρος δύμαντος αὐτὴν..... | .... φ$^{\alpha}$ τινὸς ... τος .... ἡ ... φ .. νί .... | ... πόλιν ..... μου. Tum sequitur scholion v. 4. ἐπεὶ κίνδυνος etc.

221, 11. τὰ om. A. 12. Ἑκάβης διαφόρως] ἑκάβης τὰ

π . . . . διαφόρως A. ib. μὲν γὰρ om. A. 13. δὲ om. A. recte. 14. ἐν om. A.

222, 14. Scholia ad v. 4. et sequentes sic scripta in A. ἐπεὶ κίνδυνος ἐ . . . . | ἐκρά . . . . . δορὶ φρυγῶν πόλιν φοβη . . . . . | . φαγῆ (i. e. σφαγῇ) ὑπὸ τῶν ἑλλήνων ὑπεξέπεμψεν τρωϊκῆς χθονὸς . . . . | ἀπὸ τρωϊκῆς γῆς ἔπεμψέ με πρὸς τὰ δώματα τοῦ . . . . | τοῦ θρακικοῦ φίλου τοῦ πολυμήστορος. τὸ δὲ ξένου . . . . . | φησὶν ὅστις πολυμήστωρ σπείρει ἀντὶ τοῦ δ . . . . . | τὴν ἀρίστην χερρονησίαν . . . τὸ δὲ πλάκα ἀντὶ . . . . . | εἶπεν. ἐκάλεσε δὲ αὐτὴν πλάκα ἢ διὰ τὸ τραχ . . ἢ διὰ τὸ | χρ . . ωκόδες . . | . . τὸν φίλιππον λαὸν τὸν φιλοῦντα ἱππάζεσθαι εὐθύνων καὶ ἄγων ἐν τῷ δορί. οὐκ ἀλόγως . . . . φασιν ἐστὶ τὸ (v. 9.) εὐθύνων δορί. βαρβάρους γὰρ ὄντας αὐτοὺς καὶ ἀνυποτάκτους τῇ διὰ ξίφους οἰκονομίᾳ αὐτοὺς ὑποτατ . . . . . δ' ἦν πριαμιδῶν, ὅπερ τὸ εἶναί με νεώτερον πάντων μου τῶν ἀδελφῶν καὶ μικρὸν τὴν ἡλικίαν ἐξέπεμψέ με ἀπὸ τοῦ ἰλίου. οὐ γὰρ ἠδυ . . . . . (i. e. ἠδυνάμην) ὅπλα φέρειν καὶ πολεμεῖν ἵνα εἰμὶ ἐν πολέμῳ . . . προφέρει ὁ εὐριπίδης καὶ κισσέως διὰ τὸ μὴ . . . πον . . τ. ν . . . . | ἑκάβην . . . θυγατέρα τοῦ δύμαντος. ἐπεὶ δ' ὁ δύμας ἔσχε θυγατέρα, ἐκάλεσεν αὐτὴν ἑκάβην: ubi finitur fol. 2ª. post quae folio 2ᵇ. pergitur . . . . . ερ ὁ εὐριπίδης οὔτε ἔγχος (v. 15.) ὅπλ . . γὰρ λέγεται τὰ ἐν . . . . ον . . . . . δὲ καὶ ἡ . . . . . | . . . . τινὸς πρόσφερε τὸ οὔτε ἔγχος. ἔγχος γὰρ οὐκ ε . α . . . ἡ στρατιωτικὴ . . . . . ἕως μὲν οὖν (v. 16.) etc. (quae v. ad p. 224, 20.)

223, 21. Scholii ad v. 9. modo ex A. allati, etsi non integri, fragmenta etiam in M. reperiuntur, σπείρει φίλιππον: οὐ . . λ . . . . βάρους (scribe βαρβάρους ex A.) γὰρ ὄντας αὐτοὺς τῇ διὰ ξίφους ἀπειλῇ ὑπέτασσε. post quae sequitur scholion ad τροφαῖσιν (v. 20.) Integriora sunt in Vat. 1345. διὰ τί εἶπε (v. 9.) "λαὸν εὐθύνων δορί"; οὐκ ἀλόγως. βαρβάρους ὄντας αὐτοὺς τῇ διὰ ξίφους ἀπειλῇ ὑπέτασσε. Πριαμίδων δὲ θηλυκῶς (decepit scholiastam vitiosus accentus Πριαμίδων pro Πριαμιδῶν). νεώτατος δ' ἦν ἀντὶ τοῦ ἤμην. Ἀττικῶς δέ φησιν ἦν. καὶ χωρὶς δὲ τοῦ ν ἦ (nam sic corrigenda codicis scriptura δὲ τοῦ ἦν ἢ) ἀντὶ τοῦ ἔα. οὕτω Δίδυμος. ἐν μέντοι τοῖς ἀντιγράφοις ἦν φέρεται καὶ κοινὴ ἀνάγνωσις ἦν. Ex quo colligi potest in Didymi codicibus ἦ

fuisse, in posteriorum temporum libris in ἦν mutatum, ut in aliis plurimis veterum Atticorum scriptis factum esse constat.

224, 20. Scholii ad v. 16. antiquior conformatio servata in A. ἕως μὲν οὖν τῆς Τρωϊκῆς γῆς τὰ ὁρίσματα ἔκειντο ὀρθὰ καὶ τὰ τείχη τῆς πόλεως ἵσταντο καὶ ἄθραυστα ἦν καὶ ὁ Ἕκτωρ ὁ ἐμὸς ἀδελφὸς εὐτύχει ἐν τῷ πολέμῳ, ἕως τότε ἠὐξόμην καλῶς παρὰ τοῦ Πολυμήστορος ὥσπερ τις πτόρθος. πτόρθον γὰρ αὐτὸν ἐκάλεσε διὰ τὸ νέον τῆς ἡλικίας. πτόρθος γὰρ ὁ κλάδος λέγεται. Ἄλλως. ἐκ τούτου τὸ νέον τῆς ἡλικίας καὶ τὸ ἄβρὸν τῆς ἀνατροφῆ, ὑποσημαίνει. ζῶντος γὰρ τοῦ Πριάμου πολυτελῶς ἀνετρέφετο ὁ Πολύδωρος ὑπὸ τοῦ Πολυμήστορος. Similia in M. fuerunt, ubi nunc haec tantum legi possunt, τροφαῖσιν ὥς τις πτόρθος . . . . νέον τῆς ἡλικίας καὶ τὸ ἄβρὸν τῆς τροφῆς . . . . ν . . . . . (obliterata sunt vocabula ὑποσημαίνει et ζῶντος) γὰρ πριάμου πολυτελῶς . ν . . . φ . . . λυμήστορος (exple ἀνετρέφετο ὑπὸ πολυμήστορος) ὁ πολύδωρος . . . . . τελευτήσαντος ἕκτορος καὶ πρίαμος ἀπέκτειν . . . . . τα χ . . ἕκτορος . . π . . . . αι . . . . Post quae sequitur scholion ad ψυχή (v. 22.) Quae lucem accipiunt ab scholiis cod. Vat. 1345. διὰ τοῦτο (corrige τούτου vel τούτων) τὸ νέον τῆς ἡλικίας καὶ τὸ ἄβρὸν τῆς ἀνατροφῆς ὑποσημαίνει. ζῶντος γὰρ τοῦ Πριάμου πολυτελῶς ἀνετρέφετο ὑπὸ τοῦ Πολυμήστορος ὁ Πολύδωρος. ἁλούσης δὲ τῆς Τροίας καὶ τελευτήσαντος Ἕκτορος καὶ τῶν περὶ Πρίαμον ἀπέκτεινεν αὐτὸν, ἵνα κερδάνῃ τὰ χρήματα. καλῶς (v. 20.) εἴρηται πτόρθος, διότι ὥσπερ οἱ κλάδοι αὐξάνονται ὑπὸ τοῖς δένδρεσιν ὑπὸ τοῦ ὑετοῦ τοῦ κατερχομένου ἐκ τοῦ οὐρανοῦ, οὕτως οἱ ἄνθρωποι αὐξάνονται καὶ εὐθαλεῖς γίνονται ἐν ταῖς βρώσεσι καὶ πόσεσι.

224, 29. τὸ γῆς] τῆς γῆς I.

225, 4. In Vat. 1345. (ad v. 16. ὅρθ' ἔκειθ' ὁρίσματα) τὸ κεῖσθαι σημαίνει γ', τὸ ἵστασθαι καὶ αὐτὸ τὸ κεῖσθαι. ἐνταῦθα δὲ τὸ ἔκειτο ἀντὶ τοῦ ἵστατο δεῖ νοεῖν. γῆς ἔκειθ' ὁρίσματα : καὶ πῶς ἐστι δυνατὸν τινὰ κεῖσθαι ὀρθῶς ; λέγει ὅτι τὰ μὲν ὑποκάτω τῶν τειχῶν ἔκειντο ἐν τῇ γῇ, τὰ δὲ ἄνωθεν ἵσταντο.

ib. ἀνάρρηκτα] Immo ἄρρηκτα. Nam ἀνάρρηκτος pro ἄρρηκτος dici non magis potuit quam ἀνάπνευστος pro ἄπνευστος, quod fuerunt qui crederent ab Hesiodo dictum esse Theog. 797.

225, 8. εὐοδοῦτο] Immo εὐωδοῦτο.

225, 13. In A. (ad v. 21.) ἐπεὶ δὲ Τροία: ἐπεὶ δὲ ἡ Τροία ἀπολέσθαι (scribendum ἀπώλετο, quod probabilius est quam forma novitia ἀπωλέσθη) καὶ ἡ ψυχὴ τοῦ Ἕκτορος (περιφραστικῶς αὐτὸς ὁ Ἕκτωρ) καὶ ἡ πατρικὴ ἑστία κατεσκάφη, αὐτός τε ὁ πατήρ μου πρὸς τῷ θεοδμήτῳ ναῷ πιτνεῖ (ἀντὶ τοῦ πίπτει) κεῖται σφαγεὶς ὑπὸ τοῦ υἱοῦ τοῦ Ἀχιλλέως τοῦ Νεοπτολέμου, κτείνει με ὁ Πολυμήστωρ τὸν ταλαίπωρον χάριν τοῦ χρυσοῦ. θεόδμητον δὲ βωμὸν εἶπε τὸν ὑπὸ θεῶν οἰκοδομηθέντα Ποσειδῶνος καὶ Ἀπόλλωνος. μυθεύεται γὰρ ὅτι τὸν Δία τῆς βασιλείας κρατήσαντα καὶ αὐθαδείᾳ χρώμενον ἐβουλεύσαντο οἱ . . . ρ . . . (supple οἱ θεοὶ ῥῖψαι) αὐτὸν ἀπὸ τοῦ οὐρανοῦ. μαθοῦσα δὲ . . . . ἡ Θέτις παρὰ τοῦ πατρὸς αὐτῆς Νηρέως ἀνήγγειλεν τῷ Διὶ τὴν ἐπιβουλήν. ὁ δὲ τοὺς μὲν . . . . θεοὺς ἄλλως ἐτιμωρήσατο, Ἀπόλλωνα καὶ Ποσειδῶνα πέμψας πρὸς Λαομέδοντα . . . . . | . . . Ποσειδῶνα καὶ . . . τίζεται (i. e. κτίζεται) ὁ ναός.

225, 23. In A. (ad v. 22.) τὸ αἷμα λέγει ψυχήν, ἐπεὶ ἡ ψυχὴ ἐτυμολογεῖται παρὰ τὸ ψύχω τὸ ζωογονῶ, τὸ ζωογονοῦν τὸ σῶμα. ἐπεὶ δὲ ἐκχυθέντος τοῦ αἵματος τὸ σῶμα μένει νεκρὸν, καλῶς λοιπὸν ἀπεφήνατο ψυχὴν τὸ αἷμα. In M. haec supersunt fragmenta, ... ψυχὴν φησί. πολλοὶ γὰρ οὕτως ἐδόξασαν αἷμα εἶναι . . . ψυχὴ . . . . . οὐταμένην ὠτειλὴν ἔσσυ . . . π . . . . . Quae quomodo redintegranda sint ex scholio codicis Vat. 1345. apparet. τὸ αἷμα νῦν ψυχήν φησι· πολλοὶ γὰρ οὕτως αἷμα ἔδοξαν εἶναι τὴν ψυχήν· τινὲς φασὶν αὐτὴν ἀπώλειαν ἐνταῦθα λέγειν τὸν ἀπὸ τοῦ σώματος τῆς ψυχῆς χωρισμόν. Ἄλλως. τὸ ζωτικὸν αἷμα ἐνταῦθα καλεῖ τὴν ψυχήν· πολλοὺς γὰρ οὕτως ἔδοξεν εἶναι τὴν ψυχὴν, ὡς καὶ Ὅμηρος (Il. 14, 518.) "ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν ἔσσυτ' ἐπειγομένη· τὸν δὲ σκότος ὄσσε κάλυψεν." ἔνιοι δὲ περιφραστικῶς τὸν Ἕκτορά φασι.

226, 1. In M. (ad v. 24.) . . . . . πιτνεῖ: . . . λέγεται ὅτι τὸν πρίαμον καταφεύγοντα εἰς τὸν βωμὸν τοῦ . . . . διὸς ὁ . . . . νεοπτόλεμος α . . . . . | . . ου εἶπεν. ἐσώζοντο γὰρ οἱ καταφεύγοντες ἐν ἱερῷ ἢ βωμῷ ἱκέται. ἐκ μιαιφόνου εἶπεν . . . δὲ τὸν . . . . . | ἀνελὼν τὸν πρίαμον. Quae integra exhibet A. in scholio in annotatione memorato θεοδμήτῳ: ὁ Πρίαμος καταφυγὼν εἰς τὸν βωμὸν τοῦ

Διὸς ἐφονεύθη παρὰ τοῦ Νεοπτολέμου· διὸ καὶ μιαιφόνος ἐκλήθη ὡς ἀνομήσας. ἐκ μιαιφόνου: λέγει γὰρ ὅτι τὸν Πρίαμον καταφυγόντα εἰς τὸν βωμὸν τοῦ ἑρκίου (scribe ἑρκείου) Διὸς ἐκδιώξας ὁ Νεοπτόλεμος ἀνεῖλε. διὸ καὶ μιαιφόνον αὐτὸν ὠνόμασεν. οἱ γὰρ καταφυγόντες ἐν ἱερῷ βωμῷ ἐσώζοντο. Similiter Vat. 1345. καλῶς εἶπεν αὐτὸν μιαιφόνον· ἠσέβησε γὰρ περὶ τὸ κοινὸν πρὸς τῷ βωμῷ ἀνελὼν τὸν Πρίαμον. ἐσώζοντο γὰρ οἱ καταφεύγοντες βωμοῖς ἱεροῖς. τὸν γὰρ Πρίαμον λέγεται καταφυγόντα εἰς τὸν βωμὸν τοῦ ἑρκείου Διὸς ἐκδιώξας ὁ Νεοπτόλεμος ἀνελεῖν.

226, 18.—20. Hujus scholii in M. fragmenta supersunt, ξένος πατρῷος: ἐν ἤθει καὶ εἰρωνείᾳ εἶπεν ὁ .. δωρος π . . . φ . . . α ἀντίφρ . . . . . .

226, 31.—227, 3. Exhibui hoc scholion ut legitur in M. Nam in A. haec tantum leguntur, πολλοῖς διαύλοις: ταῖς τῶν κυμάτων παλιρροίαις. δίαυλοι δὲ τὰ ἔνθεν καὶ ἐκεῖθεν τοῦ ἱππικοῦ. ἄλλως. δίαυλοι λέγονται κύματα εἰσερχόμενα καὶ ἐξερχόμενα πάλιν. κυρίως δὲ δίαυλον δρόμον ἀπελθεῖν καὶ ἐλθεῖν, τουτέστιν ἐνταῦθα κἀκεῖ ὑπὸ τῶν κυμάτων καὶ πολλοὺς σταδίους τῶν κυμάτων . . . .

227, 19.—23. In M. legitur hoc scholion ut edidi. Minus integrum in A. . . . . δ' ὑπὲρ φι . . . ὑπὲρ τῆς κεφαλῆς τῆς μητρὸς, ο . . . ὄναρ αὐτῇ ἐπιφαινόμενον. ἄλλως. ὑπερθέν τε τῆς μητρὸς φησὶ ὁρμῶ τὸ σῶμα κατα | . . . . . μετεωριζόμενον ὅσον καὶ ἡ ἐμὴ μήτηρ, et reliqua ut M.

227, 31.—228, 5. Ab hoc scholio in A. incipit fol. 3 [a] cujus summae margini charta agglutinata est, quae scholii initium absumsit: quo fit ut nunc haec tantum legi possint . . . . . ρο π . . | . . . εκει . . . . . ἔσφαξε τὸν πολύδωρον καὶ ἔρριψεν εἰς τὴν θάλασσαν. τρίτην γὰρ εἶχον ἡμέραν καὶ οἱ Ἕλληνες . . . . ὅσονπερ . . . τρίτην ἡμέραν εἶχον οἱ Ἕλληνες ἐν τῇ χερρονήσῳ τοσαύτ . . ἡμέρ . .

229, 15. Scholion in annotatione memoratum in A. hoc est (v. 37.) Πηλέως γὰρ παῖς: τοῦ γὰρ ἡλίου δύναντος καὶ τῆς νυκτὸς ἐνεστηκυίας εἶδεν ὁ στρατὸς ἅπας φάντασμα ὅμοιον τῷ Ἀχιλλεῖ λέγον, ποῦ πορεύεσθε, ἀγέραστον ἐμὲ καταλιπόντες; καὶ ᾐτήσατο σφαγιασθῆναι αὐτῷ μίαν τῶν Τρῳάδων αἰχμαλωτίδων. ἡ δὲ σύνταξις

οὕτως, ὁ Πηλέως γὰρ παῖς Ἀχιλλεὺς φανεὶς ὑπὲρ ἄνω τύμβου κατέσχε τὸν Ἑλληνικὸν στρατόν. et (ad verba ὑπὲρ τύμβου) ἡ ὑπέρ πρόθεσις τρεῖς σημασίας ἔχει, τὴν ἄνω φοράν, ὡς τὸ ὑπὲρ τύμβου ἀντὶ τοῦ ὑπὲρ ἄνω τοῦ τύμβου, καὶ ὡς τὸ "ὑπὲρ καπνοῦ τίθησι τὰ πηδάλια" (respicit ad Hesiod. Op. 45. αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο). ὁμοίως καὶ ἀντίληψιν, ὡς τὸ "ὑπὲρ σοῦ κοπιῶ" ἀντὶ τοῦ χάριν σοῦ, καὶ ὡς τὸ "ὑπὲρ τοῦ δήμου γράφω" ἀντὶ τοῦ χάριν τοῦ δήμου, καὶ σύγκρισιν, ὡς τὸ "ὑπὲρ σέ εἰμι" ἀντὶ τοῦ κρείττων σου. Est annotatio scholiastae recentioris.

229, 21. In A. (ad v. 38.) εἰπὼν στράτευμα ἑνικῶς κατέλυεν εἰς πληθυντικὸν εἰπὼν εὐθύνοντας ὡς πρὸς τὸ σημαινόμενον ἀπιδὼν στρ . . . . | . . . υμα πολὺ πλῆθός ἐστι. τοιοῦτόν ἐστι καὶ τὸ (Il. 2, 278.) "ὡς φάσαν ἡ πληθύς." Eodem spectat fragmentum scholii, quod in A. positum est post scholion versus 49. εὐθύνοντας: εὐτρεπίζοντας τὴν διὰ θαλάσσης ὁδόν. . . . ὑνοντας: σχῆμά ἐστι καινοπρεπές. οἱ γὰρ Ἀττικοὶ πρότερον τὸν νοῦν καὶ τὸ σημαινόμενον τῆς λέξεως ἀφορῶντες . . . . τὴν σύνταξιν. . . . .

229, 24. Post μιᾶς excidit νεὼς, quod est in M., vel νηὸς, quod est in A.

229, 30.—230, 1. Scholion quod in A. esse dixi in annotatione sic scriptum est in codice, τύμβῳ φίλον . . . : Γλαῦκος ἐν τῇ προηγήσει φησὶν ἐν τῇ ἁλώσει . . . . . τισθεῖσαν τὴν πολυξένην . . . ταφῆναι δὲ αὐτὴν ὑπὸ νεοπτολέμου . . . κος δὲ σφαγῆναί φησιν ὑπὸ ὀδυσσέως. ἄλλως. ὑπὸ νεοπτολέμου φασὶν αὐτὴν εὐριπίδης σφαγιασθῆναι καὶ ἴβυκος καὶ ὁ τὰ κυπριακὰ ποιήσας ὑπὸ ὀδυσσέως καὶ διομήδους ἐν τῇ τῆς πόλεως ἁλώσει τραυματισθεῖσαν ἀπολέσθαι.

230, 24. In A. (ad v. 47.) φανήσομαι γὰρ ἐν τῇ θαλάσσῃ ἔμπροσθεν τῶν ποδῶν τῆς δούλης παθούσης καὶ μελλούσης κομίζειν ὕδωρ θαλάσσιον χάριν τοῦ λοῦσαι τὴν Πολυξένην.

230, 29. In A. (ad v. 48.) ἰστέον ὅτι τὸ πάλαι νόμος ταῖς γυναιξὶ ταῖς ζευγνυμέναις μὴ νομίμοις ἀνδράσι μετὰ τὴν μίξιν κατέρχεσθαι πρὸς τὴν θάλασσαν καὶ λούεσθαι καὶ οἱονεὶ . . . . | . . ἀποκαθαίρεσθαι. τὸν αὐτὸν οὖν τρόπον καὶ νόμον καὶ ἡ Κασάνδρα συγκοιμηθεῖσα τῷ Ἀγαμέμνονι | . . . ὥστε ἀπολούσασθαι καὶ τού-

του χάριν οὐχ εὗρεν αὐτὴν ἐκεῖ εἰς τὴν τοῦ Ἀγαμέμνονος σκηνὴν ἡ Ἑκάβη.

231, 11. (v. 51.) τοὐμόν — μητρός] Similiter in A. τοὐμὸν μὲν φησὶ τὸ ταφῆς ἀξιωθῆναι ὑπὸ τῆς μητρὸς γενήσεται. ταφήσομαι γάρ. Idem ad v. 52. γεραιᾷ δ' ἐκποδών: ὁρᾷ ἑκάβην προϊοῦσαν ἐκ τῆς σκηνῆς ἀγαμέμνονος καὶ φησὶ μὴ βούλεσθαι φανῆναι αὐτῇ, ἵνα μὴ ἐκφοβηθῇ τὸ εἴδωλον τοῦ παιδὸς τοῦ δοκοῦντος . . . . .

231, 31.—232, 9. Ab hoc scholio in A. incipit folium 3 ^{b}, lineis duabus primis charta agglutinata, ut de anteriore folii parte dixi ad p. 227, 31., ita absumtis ut de linea priore nihil supersit praeter vocabulum στέγαα non procul ab initio, et infra id in linea secunda verba φησὶ κασσα . . . . : post quae sequitur linea 3. ἀγαμέμνονι συνοικοῦσαν. νοητέον δὲ (δὲ om. M.) τ . . . τὴν ἑκάβην ταραχθεῖσαν ἐξελθεῖν ἐκ τῆς σκηνῆς τῶν αἰχμαλωτίδων, εἰσελθεῖν δὲ εἰς τὴν σκηνὴν ἀγαμέμνονος εἰς ζήτησιν τῆς κασάνδρας, ἵνα αὐτῇ κρίνῃ τὸν ὄνειρον, καὶ μὴ εὑροῦσαν αὐτὴν διὰ τὸ ἴσως τὴν κόρην μετὰ τὴν κοίτην ἀγαμέμνονος χάριν καθαρμοῦ ἔωθεν εἰς τὴν θάλασσαν ἀπεληλυθέναι πάλιν τὴν ἑκάβην ἐξεληλυθέναι τῆς βασιλικῆς σκηνῆς, ἣν ἰδὼν ὁ πολύδωρος ἔφη, περᾷ γὰρ ἥδ' ὑπὸ σκηνῆς πόδα ἀγαμέμνονος, ἢ ἡ ὑπὸ ἀντὶ τῆς ἀπό. ἄλλως. νοητέον τὴν ἑκάβην μὴ ἐπέρχεσθαι ἀπὸ τῆς σκηνῆς τοῦ ἀγαμέμνονος, ἀλλὰ μᾶλλον εἰσέρχεσθαι. ἐκοιμᾶτο γὰρ ἡ ἑκάβη, ὅτε ταῦτα τὸ εἴδωλον ἔλεγε, καὶ ταραχθεῖσα τῷ φάσματι ἀνέστη καὶ εἰσήρχετο εἰς τὴν σκηνὴν τοῦ ἀγαμέμνονος εἰς ζήτησιν τῆς κασάνδρας, ἵνα αὕτη κρίνῃ τοὺς ὀνείρους, ἅτε μαντικὴ οὖσα, καὶ φησὶ τὸ εἴδωλου περᾷ γὰρ, ἀντὶ τοὺ εἰσέρχεται ἡ ἑκάβη ὑπὸ τὸ ἔσχατον μέρος τῆς σκηνῆς, τουτέστιν ὑπὸ τὴν φλιὰν αὐτὴν ἐμβαίνει τῆς σκηνῆς. Similia leguntur in Vat. 1135. qui pauca tantum ad hanc fabulam scholia continet, περᾷ δ' ὑπὸ σκηνῆς: εἰ κατὰ τὸν εὐριπίδην ἰδία γυναικῶν αἰχμαλωτίδων στέγαι ἦσαν, πῶς ἐκ τῆς ἀγαμέμνονος ἐξῄει ἑκάβη, πῶς δὲ καὶ ἐκεῖθεν ἐξιοῦσα μετέλθω φησὶ, ποῦ ποτε κασσάνδραν ἐσίδω τρωάδα, τῆς κασσάνδρας τῷ ἀγαμέμνονι συνοικούσης. νοητέον οὖν τὴν ἑκάβην τῷ φάσματι ταραχθεῖσαν προσελθεῖν (scribe προελθεῖν) ἐκ τῆς σκηνῆς τῶν αἰχμαλωτίδων, εἰσελθεῖν δὲ εἰς τὴν σκηνὴν τοῦ ἀγαμέμνονος εἰς ζήτησιν τῆς κασσάνδρας, ἵνα αὐτῇ κρίνοι

τοὺς ὀνείρους καὶ μὴ εὑροῦσα διὰ τὸ ἴσως τὴν κόρην μετὰ τὴν κείτην ἀγαμέμνονος καθαρμοῦ χάριν ἔωθεν .... πάλιν ἐξελθεῖν τὴν ἑκάβην τῆς βασιλικῆς σκηνῆς .... ἔφη περᾷ γὰρ ἤδη ὑπὸ σκηνῆς πόδα ἀγαμέμνονος.

232, 1. ἐξ . . το] Supplendum ἐξητήσατο.

232, 13. (ad v. 54.) In A. περὶ τοῦ φαντάσματος οὗ εἶδε . . . ἐμοῦ δεδοικυῖα. Quae integra sunt in M. τὸ τοῦ φαντάσματος οὗ εἶδε περὶ ἐμοῦ δεδοικυῖα.

232, 24. (ad v. 57.) In A. ὅσον ποτὲ καλῶς εὐτύχεις, τοσοῦτον βάρος ἀντίρροπον τῆς εὐτυχίας θεῶν τις παρέσχεν, ἤγουν ὅσον εὐτύχεις τὸ πρὶν καὶ εὐδαιμόνεις, τοσοῦτον νῦν δυστυχεῖς ἀντὶ τῶν καλῶν ὧν εὐμοίρεις. ἔδωκέ σοι τις τῶν θεῶν πλήθη τοσούτων κακῶν. In M. ἀντισηκώσας δέ σε φθείρει θεῶν τις ἂν .... φορτώσας κακῷ πρὸς τὴν προτέραν εὐπραξίαν, τουτέστιν ἰσόρροπα τοῖς καλοῖς τὰ πολλὰ ἄχθη ἐλάβετε κακῶς ἀτυχοῦντες. τοῦτο λέγει, βάρος τῆς εὐτυχίας ἀντίρροπον θεῶν τις παρέσχεν :—Est tamen hoc scholion in M. adeo evanidum ut singula verba praestari nequeant.

234, 4. ἡ Ἑκάβη om. Fl. 33.

238, 8. ἐκβάλλομαι om. A., sed relicto spatio.

239, 7. (ad v. 77.) χθόνιοι : ἐπίγειοι. Ἀπόλλωνα καὶ τοὺς λοιποὺς. A. 14.—16. Hujus scholii fragmentum est in M. ἀλλ' (i. e. ἄλλως) οἴεται ζῆν αὐτόν. μετουπολὺ τὸ διπλοῦν πάθος τῆς τραγῳδίας, πῆ μὲν πολυξένην ὀδυρομένης τῆς ἑκάβης, πῆ δὲ πολύδωρον.

240, 1. ἐν συντηρήσεσιν] ἐπὶ συντηρήσεσιν. A. 4. In A. ἔσται τι νέον : παραγενήσεται μέλος θρηνητικὸν ἡμῖν ταῖς θρηνούσαις καὶ πένθος ἔσται τι τοῖς προτέροις πένθεσι. ἄλλως. ἡμῖν ταῖς γοεραῖς γηραιαῖς γενήσεταί τι νέον ἐκ τοῦ ὀνείρου. δεῖ τεκμαίρεσθαι ὅτι ἔχει τι δεινὸν γενέσθαι. In M. haec duorum scholiorum fragmenta sunt, ἥξει τι μέλος : παραγενήσεται μέλος θρηνιτικὸν . . . . . | θρηνούσαις καὶ πένθος ἐπὶ τῶν προ . . . . γοερὸν ἡμῖν ταῖς γοεραῖς γενήσεταί τι νέον ἐκ . . . . . | δεῖ τεκμαίρεσθαι ὅτι ἔχει τὸ δεινὸν γεν . . . . 29.—241, 6. In A. est οὐδέποτε ἀχώριστος γίνεται φόβου ἡ ἐμὴ ψυχή. τινὲς δὲ οὕτω λέγουσιν, οὐδέποτε ἡ ἐμὴ ψυχὴ φρίσσει καὶ φοβεῖται ἢ ὑπονοεῖ τι. διὸ καὶ τούτου

ἀχώριστος γίνεται, οἷον, εἴ τι φοβοῦμαι καὶ ὑπονοῶ, τοῦτο καὶ γίνεται.

241, 3. γίνεται evanuit in M. 15. in annotatione "Hoc scholion in M." lege, Hoc scholion in M. partim obliteratum est. Quae nunc legi possunt haec sunt, ποῦ ποτε θείαν ἑλένου ψυχάν: . . . . . καὶ ὡς μέν τινες ἱστοροῦσιν ηὐτομόλησεν . . . . . | ὑπὸ τῶν πολεμίων ἐλήφθη. ὁ δὲ νοῦς . . . . | ἡ τοῦ ἑλένου ψυχὴ καὶ ἡ μαντικὴ . . ρ . . . | εἶπε ποῦ μοι ἄρα ὁ ἕλενος καὶ . . . | δρα, ἵνα μοι ὡς μάντεις . . . . | ὀνείρους.

243, 3—7. In A. est τοῦτο τὸ φάντασμα τοῦ Ἀχιλλέως πλέον με φοβεῖ. Ἄλλως. εἰς ἐμὲ ἐτράπη τὰ κακὰ Ἀχιλλέως γέρας αἰτοῦντος τοὺς Ἕλληνας μίαν τῶν Τρωϊκῶν γυναικῶν εἰς σφαγήν. Ἄλλως. τοῦτο δὲ τὸ φάντασμα τοῦ Ἀχιλλέως πλεῖόν με φοβεῖσθαι ποιεῖ. συντείνει γὰρ εἰς τὸν ὄνειρον.

243, 20. φόβισμα] Scripsit haud dubie φόβημα, quod probabilius quam φοβέρισμα.

244, 1. In A. est . . ἄδων . . ει αινω (vel simile quid) . . . ἀπ' ἐμοῦ οἶν ἀποπέμψατε, ὦ θεοὶ, τοῦτο τὸ φάντασμα τῆς ἐμῆς θυγατρὸς δέομ . . . . ἐπακ . . . Quae praecesserunt obliterata sunt charta agglutinata in initio folii 4^{b}. 3. ἀποπέμψατε, ὦ θεοί] In A. δεομένου, ὦ Πλούτων καὶ Περσεφόνη.

246, 26—30. Eadem fere in A. τὰς δεσποσύνους: τὰς τοῦ Ἀγαμέμνονος λέγει, ὅπου ἐκληρώθη εἶναι δούλη. ἦν γὰρ ἡ Ἑκάβη ἐν τῇ Ὀδυσσέως σκηνῇ, ὁ δὲ χορὸς ἐν τῇ τοῦ Ἀγαμέμνονος.

247, 25. (ad v. 105.) In A. a manu recenti, οὐκ εἶπε δορυάλωτος, ἀλλὰ δοριθήρατος· οὐ γὰρ ἐκ πολέμου παρέλαβεν τὴν τροίαν, ἀλλὰ μετὰ πανηγυρίας. δοριθήρατος ἐστὶ . . . τ̊ δ' ἡμῖν διὰ τ. τῆς λόγχης αἰχμάλωτος, τουτέστιν αἰχμάλωτος ὑπὸ πολέμου κρατηθεῖσα καὶ δούλη γεγονυῖα καὶ | . . . . . ἡμέρας ἀφῃρέθη καὶ τῷ τῆς δούλης ζυγῷ ὑπεξῆλθε καὶ ὑπέπεσεν.

249, 1. ἤγουν ποιῆσαι habet Gr., ποιήσασθαι γενέσθαι Gu. 10. αὐτοῦ] ἑαυτοῦ A. 11. Post πλοῦν A. pergit ἐκ δὲ τοῦ εἰπεῖν λαίφη προτόνοις ἐπερειδομένας ἔδει εἰ . . (εἰπεῖν ?) ὁ ποιητὴς ὅτι ἀνέμου ὄντος καὶ τῶν ἱστίων ἡπλωμένων ὑπαρχόντων καὶ τῶν νεῶν πλεόντων νηνεμία γέγονε ἡνίκα ἐφάνη ὁ ἀχιλλεύς.

250, 12.—15. (ad v. 117.) Ab hoc scholio incipit in A. fol. 5 [a]. linea prima prope evanida, *στέλλεσθαι δρα . . . . . ρι . . . . . | ἀπόπλους, καταχρηστικῶς δὲ ἀποστέλλεσθαι τι . . τὸ . . . ὑπερ . . . τινὸς ἐκπέμπω τι.* 24. In A. *πολλῆς δ' ἔριδος: φιλονεικίας κλύδων καὶ ζάλη γέγονεν, οἷα φιλεῖ γίνεσθαι ὅταν ἐν πλείονι ὄχλῳ οὐχ ἡ . . . .*

251, 12. *τὸ σὸν*] *εἰς τὸ σὸν* Fl. 25., ut Fl. 33. infra lin. 20. 13.—15. In A. *τῆς μαντιπόλου: τῆς μαντικῆς ἀνέχων καὶ αὔξων. ἔνθεοι γὰρ καὶ μαντικοὶ γενόμενοι οἱ μάντεις μαντεύονται. τὸ δὲ ἀνέχων ἀντὶ τοῦ τιμῶν, αὔξων, ἢ ἀντιχαριζόμενος τῇ Κασάνδρᾳ διὰ τὴν πρὸς αὐτὴν κοινωνίαν ὁ Ἀγαμέμνων οὐκ ἐβούλετο σφαγῆναι τὴν Πολυξένην. μαντιπόλος δὲ ἐλέγετο ἡ Κασάνδρα διὰ τὸ ἀναστρέφεσθαι αὐτὴν εἰς τὰ μαντεῖα.*

252, 8.—22. Haec in A. sic sunt conformata, *τὼ θησείδα δ' ὄζω: τοῦτο πρὸς τὸ σὸν σπεύδων ἀγαθὸν ἀγαμέμνων ἀπολ . . γ . . καὶ ἔστιν οὕτως, ἦν μὲν ὁ ἀγαμέμνων ὁ σὲ ἐκδικῶν, οἱ δὲ θησεῖδαι οἱ βασιλεῖς ἦσαν ῥήτορες δισσῶν λόγων, εἰς τὸν ὅμοιον δὲ νοῦν καταληγόντων. ἔλεγε γὰρ ὁ μὲν εἷς ὡς δεῖ τὸν ἀχιλλέα τιμᾶν καὶ θῦσαι αὐτῷ τὴν πολυξένην, ὁ δὲ ἕτερος ἔφασκεν ὡς οὐ δεῖ ἀγέραστον καταλεῖψαι τὸν ἀχιλλέα, ἀλλὰ κυρωθῆναι τὴν ψῆφον τ . . περὶ αὐτὴν ἐκρίναμεν. καὶ οἱ μὲν λόγοι δισσοὶ, εἰς ἕνα δὲ νοῦν λήγοντες καὶ εἰς μίαν γνώμην. τὼ θησείδα: οἱ δὲ τοῦ θησέως παῖδες ἀκάμας καὶ δημοφῶν, οἳ ἦσαν κλάδοι τῶν ἀθηναίων, οἳ καὶ ἐστράτευσαν ἐπὶ ἴλιον οὐχ ἡγουμενοι τινῶν, ἀλλ' ἐπὶ τὴν ἀπολύτρωσιν τῆς αἴθρας. ἄλλως. τοὺς θησέως παῖδας ἔνιοί φασι μὴ ἡγεμόνας στρατεύεσθαι ἐπὶ ἴλιον μηδὲ τῆς συμμαχίας χάριν, ἀλλὰ ἀπολῃψομένους τὴν αἴθραν. διὰ τοῦτό φησι καὶ ὁ ὅμηρος τὸν μενεσθῆα ἡγεῖσθαι τῶν ἀθηνῶν. ἱστορεῖ γοῦν διονύσιος ὁ τὸν κύκλον γράψας τάδε. δημοφῶν ὁ θησέως ἐδεῖτο αὐτῶν δοῦναι αἴθραν τὴν τοῦ πυτθέως (sic) τὴν τοῦ πατρὸς μητέρα, ὅπως αὐτὴν κομίσῃ οἴκαδε, μενέλαος δὲ πέμπει πρὸς ἑλένην ταλθύβιον κελεύσας ἄγειν αἴθραν, καὶ ἑλένη δωρησαμένη αἴθραν ἀποστέλλει παντοδαπῷ κόσμῳ πρὸς δημοφῶντα καὶ ἀκάμαντα. ἑλλάνικος δέ φησιν ἐπεστρατευκέναι αὐτοὺς, ἵνα εἰ μὲν πορθηθείη τὸ ἴλιον, ἐκ τῶν λαφύρων αὐτὴν λάβοιεν, εἰ δὲ μὴ, λυτρώσοιντο δώροις. φεύγειν δὲ*

αὐτοὺς διὰ τὸ μὴ βούλεσθαι ἄρχεσθαι ὑπὸ μενεσθέως. ἦσαν δὲ μετὰ χαλκόδοντος τοῦ ἄβαντος ἐν εὐβοίᾳ.

